ἐκ τοῦ ἀκῶ. ἀκέσω. καὶ τοῦ ὀδύνης. ἐξ οὗ ῥηματικὸν ὁ
κέστωρ. ὁ ἰατρός. ἀκεσώδυνον. τὸ παυστικὸν τῶν
Ἀκέων. ἡσυχάζων. ἔστιν ἠκέω τὸ ἡσυχάζω.
ἀκέων ἡ μετοχή. παρὰ τὴν ἀκὴν τὴν
παρὰ τὸ ἄχος. ἀχέω. καὶ ἀκέω
κέοντος. τὸ θηλυκόν. ἀκέουσ.
λέγουσι. παρὰ τὸ κείω το
κείω. καὶ ἀκέων. ἐκ
ἡ δακέουσα πε
τὸ ἀκέων ἕκα
τὸ ἐκπλήττον
ἀλλὰ κανῶ
φέρων
μνυται
οἶκα
Ἀκηδ
τι

ὅ σημαίνει τὴν ἔκπληξιν. κατα μετάμειψιν τοῦ γ εἰς κ.
ὡς ἔστι καὶ τὸ λυγαιον. ὅ σημαίνει τὸ σκοτεινόν. λυγό=
=φωνος καὶ λυκόφωνος. οὕτω καὶ ἄγη. καὶ ἄκη. καὶ κα=
=τὰ μετάθεσιν τοῦ τόνου. γίνεται ἀκή. καὶ ἀκήν. ἀντὶ
τοῦ ἡσυχως. οἷδε γὰρ ἡ ἔκπληξις καὶ ἀφωνίαν ἐμποιεῖν.
ἢ παρὰ τὸ μὴ χαίνειν. τὸ κῆν. κ. διὰ τί. τὰ ἀπὸ
διαφόρων πτωσεων. ὡς ἐπιρρηματικὴν σωτάξιν μεταγό=
=μενα, τὴν αὐτὴν ταῖς πτωσεσι φυλάττειν γραφήν.
οἷον. τὴν ἀπριάτην. ἀνάποινον. οὕτω καὶ τὴν ἀκήν.
καὶ ἀκήν. ἐπίρρημα. καὶ εἰς το ἀκηνάκην.
Ἀκὴν ἐγένοντο σιωπῆς. ἐν τῷ ακμαι
× × σιωπῆς ἐγένοντο. ἀκὴ γὰρ ἡ ἀκοή. οἱ ἀντὶ τοῦ ἀχώ. πα
× × μεταθέσει τοῦ χ εἰς κ.

Ἄκικις νεκρός. ἐκ τοῦ κι
× × τικοῦ α ἀκικῶ ὁ μὴ πορευόμενος. καὶ εἰς το μὴ
ἀφανὲς καὶ μέγα. καὶ εὐδιάλακτον.
× × × ἀ τὸ ἀχω τὸ λυποῦμαι. ἀχάζω. ὡς
μνα. ὁ παθητικός. ἤχαμαι.
× × × μετὰ ἀναδιπλασιασμοῦ.
ἀτος παρὰ τὸ γῆρας
τὰ τοῦ στερητικοῦ
× × × καθαρός. οἷον
κρυβόμενος
δοτικῆς
× × × × αἰσυτηρι
στεροι. ἡ
κηνάκ
× × × × ὀξυ
ταί
× × × × × τί

τό τοῦ βέλους ● σιδήριον. παρὰ τὸ ἀκή. ὅ σημαί=
:νει τὴν ὀξύτητα. καὶ κατ' ἐπένθεσιν τοῦ μ̄ τ λέγεται
ἀκμή. παρὰ τὸ ἀκή ὑποκοριστικοῦ ἀκίς. ὡς σκάφη. σκα=
=φίς. σάγμη. σαγμίς.

Ἀκῆ. ἡ ἀκροτάτη ὀξύτης τοῦ σιδήρου. κυρίως παρὰ
τὸ ἥκω. κυριῶν ὄνομα. ἥκη. ὅ σημαίνει τὴν ὀξύτητα.
ἡ διὰ παντὸς ἰοῦσα. ἄρχηλος.. ἑστήκει κατ' ἥκην κῦμα
:τος τε κἀνέμου. ἀάπτω. ἄκη. ἔνου. στολή. καὶ παρόνυμον
ἄκην. ἀφ' οὗ ἐπίρρημα. ἀκὴν ἐγένοντο σιωπῆς.
ἀκὴ οὖν καὶ ἀκμὴ πλεονασμῷ τοῦ μ̄. ἀκμὴ ἡ νεό=
:της. ἐξ οὗ καὶ ἀκμαῖος. ὅ σφριγῶν νεανίας.

Ἀκίχητος. ὅ ἀκατάληπτος.
εἰς τὸ κιχῶ.
Ἀκλόνητον. ἐκ τοῦ κλῶ. τὸ κλάνω
Ἀκι
τὸ ἀκμή. ὅ σημαίνει τὴν ἡλικίαν. τὸ δὲ ἀκμὴ
ἀκμὴ καὶ πλεονασμῷ τοῦ μ̄ ἀγμή. κατα
παρὰ τὸ κμῶ. ὅ ἐστι τὸ ᾱ ἐκ τοῦ μ̄
ᾱ στερήσεως ἀκμή. ἡ μὴ καμνοῦ
ὑποστῆναι.

Ἀκμᾶν. παρὰ
ἡ ὀξύτης. παρὰ τὸ ἥκω
εἰς τὸ ἀλκή
Ἀκμῆπα
ὅ ἥλιος ἀκάμας
μηνὸς ἄγαστος
καὶ αὔξων
κάμνω οἱ
πῆ ἀκμ
τὸ δὲ ἀ
ὅ σημα
ψῶ
ἐκ
α

κολάζειν τὴν ἐπιθυμί· ὅ ἐστιν ἐκκόπτεσθαι.

Ἄκνησις· ἡ ῥάχις· παρὰ τὸ μὴ δύνασθαι τινὰ συγκρίνεσθαι αὐτήνι τῇ οἰνδαχειρί.

Ἄκολος· ὁ μικρὸς ψῶμος· εἴρηται ὅ μηκέτι δυνάμε:νος κωλύεσθαι· καὶ εἰς μικρὰ τέμνεσθαι διὰ σμικρό:τητα.

Ἀκόλουθον· σημαίνει τὸ ὀπίσω τὴν κέλευθον ποιού:μενον· τὸ γὰρ ᾱ· τὸ ὀπίσω σημαίνει· καὶ ἐκ τοῦ ἐλεύθω ἔλευθος καὶ κέλευθος.

Ἀκωκή· ἐπιδορατίς· ἡ ὀξύτης τοῦ βέλους.

Ἀκόνη· ὁ λίθος· δι' οὗ τὸν σίδηρον ὀξύνομεν· παρὰ τὸ κοινῶ τὸ φθείρω καὶ λεπτύνω· καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ· ἀκονῶ· ἢ παρὰ τὸ κο × ἐνεργῶ· τὸ κῶς μικρόν· διὰ τί· ὄνη θηλυκὰ βαρύτονα· διὰ × × × γράφεται.

Ἀκονητί· ἄνευ πόνου· οἷον· ἀκονητί.

× × σήγαγετε· ἐκ μεταφορᾶς τῶν ἀθλητῶν ἀ τε μὴ κονίσασθαι· τουτέστι κόνιν ἐπι × × × ἐκβίας ἱδρῶτα γίνεσθαι· εἰς κό ονητί· εὐχερῶς σωτόμως· ὥστε εἶδος βοτάνης.

× × × Ἀκόνιτον

νέοις ὄρεσι τῆς μαρυ- καὶ ἀήττητόν ἐστιν ἀ τλητοι ὄντες ὑ κριτος· κισσός τῶν πινόντων. ωαταικς τῶν πα ατό ακ ακοσ ὑὸ

παρὰ τὸ ἵσταθαι τὰ σώματα τρεφόμενα. ἐν ἄλλῳ καὶ
ρῷ παραλαβών. βέλτιον δὲ δυσχεράνας ἐπὶ τῇ τῆς
φάτνης στάσει. φάτνη δὲ ὁ τόπος. ἐν ᾧ ἐσθίεται ἄλογα.
ἢ τὰ τετράποδα. ὥσπερ ἡ τράπεζα. καὶ εἰς τὸ φάτνη.
Ἀκοστήσας. ἤτοι παρὰ τὰς ἀκοστάς. αἵ εἰσι κατὰ γλῶσσαν
κριθαί. ἢ ἀκοστήσας. ἐπὶ τῇ στάσει δυσχεράνας. ἐπιφέρει
γὰρ δεσμὸν ἀπορρήξας. ὅτι δὲ ἀκοσταὶ αἱ κριθαί. μαρτυ
ρεῖ Νίκανδρος. λέγων.

πολλάκις δ' ἔνθρυψας ἐν ὀπταλέῃσιν ἀκοσταῖς.

Ἄκος. θεράπευμα. κυρίως δὲ τῷ σιδήρῳ θεραπεύει.
εἰς ἀκὴν ἀποξυμμένῳ. ἔνθεν καὶ τὸν ἰατρ' φύγες, ἀκεστήνλε
τὴν δὲ διὰ τῶν ὀξείων ῥαφίδων ἰομένην τὰς τῶν ἱματί
δας. ἀκεστερίαν Ἀθηναῖοι καλλοῦσιν. οὕτως εὗρον
τῆς ἡλιάδος.

Ἀκόλαστος. κυρίως ὁ ἀπαίδευ
καὶ κολάσεως τετυχηκῶς τις ἐπὶ π
περὶ ἑλληνισμοῦ. τινὲς δὲ οὔτ
σωουσίαν. διὰ τὸ μὴ καλαζ
τις.

Ακολουθῶ ἔπο καλ
παρατατικὸς ὁπιδαῖ
καὶ ξυνοπαδὸς καὶ
ἀκούσειαν. ὁ κὰ
αἰολεῖς διὰ τὸ
ψαιμι. ὑπ'
τοιαυτα
θῆναι.
ψαι
τοῦ
Ακο
α

καὶ παρὰ τὸ κραίνω κραντός. καὶ ἄκραντος ποιητικῶς.
Ἀκραιφνες. σημαίνει τὸ καθαρὸν καὶ ἀειδές. γίνεται
ἐκ τοῦ ἀκεραιος, καὶ τοῦ φαίνω. τὸ ῥαῖ, δίφθογγον.
ἐκ τοῦ κέραιος. τοῦτο ἐκ τοῦ κερῶ. τὸ μιγνύω. κιρνῶ.
καὶ ὥσπερ παρὰ τὸ πῶ παίω. καὶ πλεονασμῶ τοῦ ν̄,
παίνω. καὶ κατὰ ἀναδιπλασιασμόν. παπαίνω. καὶ
παρὰ τὸ περῶ τὸ τελεῶ περαῶ περαίνω; νέον περαί
=νεις, οὕτω καὶ παρὰ τὸ κερῶ, κιρνῶ κεραίνω. κεραιός.
καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ, ἀκέραιος. ὁ μὴ κεκραμέ
=νος κακοεῖ. ἀλλ' ἁπλῆ.
× ἀ ποίκιλος. καὶ μετὰ τοῦ φαίνω. ἀκεραιοφανής καὶ συγκο
× νής. καθαρός.
× Ἀκρασία. ἀνωμαλία. παρα το — συ
ρατος. ἐστι ῥῆμα. κερῶ. ὁ μέλλων κερῶσω. οὗ πα
× ω. κρατός. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ. ἄκρατος.
οἱοινεί. ὁ μὴ μεμιγμένος. καὶ εἰς τὸ κατὰ
× α. καὶ κατα συγκοπὴν κρῶ. οὗ [illegible] ὁμέ
κρατός. καὶ μετὰ τοῦ ᾱ στερ.
× ἀφ' οὗ κιρνᾶται ὁ οἶνος
ἀκεραιοφανής. . κί
× λλαβαις συγκοπὴ.
ἀκραιφνής. τοῦ
× ιος
× Ἀκραγας.
ιτος.
× Ακρὴ
ἀρυβής.
ἠς ἡ
× βής και
× ριβς.
φο
ρυ

οἱονεί. ἡ κάρα μὴ ἔχουσα. ἡ μικροκέφαλος. ἢ παρὰ τὸ μεγάλην κεφαλὴν ἔχειν. διάφορα γὰρ τὰ γένη τῶν ζῶ:ων.

Ἀκρὶς. παρὰ τὸ καρά. ὑπερβιβασμῶ τοῦ ᾱ. ἄκρα. ἀκρίς. μείζων γὰρ ἡ κεφαλὴ τοῦτου τοῦ λοιποῦ μέρους τοῦ σώμα:ματος.

Ἀκρὶς σημαίνει τὴν ἀκρίδα. παρὰ τὸ τὰς ἄκρας τῶν ἀστα:χύων ἐσθίειν.

Ἀκρεωνμένος. καὶ ἀκρέμονες. κυρίως μὲν οἱ βλαστοὶ καὶ οἱ κλάδοι τῶν δένδρων οἱ κάλλιστοι. καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀνῶν. οἱ ἐξοχώτατοι. παρὰ τὸ ἄκρον. ὃ σημαίνει τὸ πέρας τοῦ σώματος. ἡ κορυφή.

Ἀκροπήνιον. ἐκ τοῦ ἄκρον καὶ τοῦ πήνιον. ὅ σ × × τὸ ἄτρακτον; γίνεται ἀκροπήνιον. τὸ στρεφόμενον οἰω × νιον καλεῖται

Ἀκριτόμυθε. πολύλογε. κρίνω × × ×

καὶ ἐκ τοῦ μύθους κριτός. καὶ ἀκριτόμυθος. × × ×

τόνον. χωρὶς εἰ μὴ τὸ σωηρημένον. × × × ×

Ἄκριτον. τὸ διαχώριτον. παρὰ τὸ × × ×

ὅρως ἀκριτόφυλλος.

Ἄκρη. × × × ×

ἔσμιγον. τῶν τε τρώων. × × × ×

τοῦτο. ἀλλὰ ἄκριτον

οἶνον μετὰ τῶν ἑλλ. × × ×

ἐπιχέω. ὁ μελ

τήρ. καὶ κρητη × ×

τις

Ἀκριβ. × × × ×

ἢ ἀκοντισ

Ἀκριβόλ.

τοῦ ἀκρ. × × × × ×

τὸ κα.

εἰς δ

τ

× × × ×

Ἀκροθήνιον. σημαίνει τὴν ἀπαρχὴν γέγονε δὲ παρὰ τὸ ἄκρον. καὶ τὸ θίς. θινός. ὃ σημαίνει τὸν σωρόν. τῶν καρπῶν. καὶ τῶν χρημάτων. καὶ εἰς τὸ θηναικτίς.

Ἀκροθήνια. κυρίως ἀπαρχὴ θηνῶν. τουτ' ἐστι σωρῶν τενήματα. καταχρηστικῶς δὲ καὶ πᾶσα ἀπαρχή.

Ἀκροθίνια. τὰς τῶν ἐνιαυσέων καρπῶν ἀπαρχὰς, κυρίως δὲ. ἃς ἀνατιθέασιν ἐξ ἐμπορίας. ἀπὸ τοῦ θινὸς αἰγιαλοῦ. ἄλλοι δὲ τὰ ἀπὸ τῶν πολέμων. ἀπὸ τοῦ σίνεσθαι ἐν τῷ πολέμῳ πολλοῦ. τουτέστι κλέπεσθαι. καὶ ἀκροθίνια ἡ ἀπαρχὴ τῶν καρπῶν. ἢ τὰ ἐκλεκτά. ἄκρον — ἀρχή. ἀκροθίνια. ἀπαρχὰς προβάτων.

Ἄκρον

τὸ ἔρχομαι. οἷον εἰ τὸ ἐπὶ τῇ ἐξοχῇ ἐληλυθός.
πέρας. καὶ τὸ ἔξοχον. γίνεται δὲ παρὰ τὸ
ον καὶ ἄκρον. τὸ μέχρι τούτου διῆκον.
ντες. ἄκρον. ἄωτον. τὸ καθ' ἡμᾶς
ἦν καὶ μετάληψιν. σημαίνει δὲ
πόν. καὶ τροφὴν. ἄωτον γεγί.
δρου. ἀπὸ δὲ τὸ ἄκρον
ριον. καὶ τὸ ὕψος.
καὶ ὅμηρος. ὄϊος
ροβάτου. λε
ω. καὶ ἀλλαχ.
σανθίξη α
νι ἄλον
νῶτων
γέτον
α

ἐφ' ὑψιλῆ. καὶ γίνεται παρὰ τὸ κατάσσεσθαι εἰς αὐτὴν τὰ κύματα. σημαίνει δὲ καὶ τὸ λεπτότατον τοῦ ἀλεύρου. ὡς τὸ δημήτερος ἀκτή. γίνεται δὲ παρὰ τὸ κατάσσεσθαι αὐτὴν ἐν τῷ ἀλήθεσθαι.

Ἀκτέριστος. ἀσκύλευτος. ἄκτηρε. ἢ ἄταφος. ἐξ οὗ καὶ κτερῖσαι τὸ θάψαι καὶ ἐνταφιάσαι.

Ἀκτὶς. διὰ τοῦ ῑ μακροῦ ἀπὸ τοῦ ἄγω. ἄξω. ἦγω. ἦγμαι. ἦξαι. ἦκται. ἀκτίς. οἱονεὶ ἡ πανταχοῦ φερομένη. ἢ ἐκ τοῦ ἦκται. ἀκτός. καὶ ἐκ τούτου ἀκτίς. δεῖ γινώσκειν ὅτι τὸ ἀκτὶς σημαίνει τὴν ἀκτίνα τοῦ ἡλίου. καὶ διὰ τοῦ ῑ σφ. ἐπειδὴ δικατάληκτον ἐστί. λέγεται γὰρ ἡ ἀκτίς, καὶ ἡ ἀκτὴ θηλυκῶς. πάντα δὲ τὰ εἰς ῑς δικατάληκτα. διὰ τοῦ ῑ γράφεται. οἷον δελφίς. δελφίν. ἐλευσίν. γλωχίν. ῥίς. θίς. σημαίνει δὲ τὸν αἰγιαλόν. καὶ τὸν σωρόν. σωρὸν δὲ εἴτε χρημάτων. εἴτε σίτου καὶ κριθῆς. εἴτε ὀστέων. θηλυκῶς δὲ λεγόμενον ἡ σορός. τὸ μνῆμα σημαίνει καὶ διὰ τοῦ ο̄ μικροῦ γράφεται. οὕτω τε καὶ ἀκτὶς διὰ τοῦ ῑ. δεῖ γινώσκειν. ὅτι τὸ ἀκτὶς ἐτυμολογεῖται διαφόρως. ἢ γὰρ παρὰ τὸ ἄγω ἀκτίς. ἡ πανταχοῦ ἀγομένη. ἡ γὰρ ἀκτὶς τοῦ ἡλίου πανταχοῦ φέρεται. ἢ παρὰ τὸ ἐκτείνω ἀκτίς. καὶ ἀκτίς. πανταχοῦ γὰρ ἐφήπλωται. ἢ παρὰ τὸ ἀΐσσω τὸ ὁρμῶ. ἡ γὰρ τοῦ ἡλίου λαμπηδὼν. ὁρμητική ἐστιν. ἢ παρὰ τὸ ἄγω ἀκτὺς καὶ ἀκτίς. ὡς ἀπὸ τοῦ ῥήσω ῥηγμὸς καὶ ῥηγμὶν ὁ αἰγιαλός. παρὰ τὸ ἐκεῖ ῥήγνυσθαι. τὰ κύματα, τὸ δὲ θίς. καὶ ῥίς. ὁ Ἀρίσταρχος

διὰ τῆς εἶ διφθόγγου ἀξιοῖ γράφεσθαι. καὶ ἀκο-
-λουθῶν τὴν ἐτυμολογίαν. ἔλεγεν ὅτι τὸ θείς.
παρὰ τὸ θένεσθαι ἐστί. καὶ γὰρ ἐν τῷ αἰγιαλῷ.
θείνονται. καὶ τύπτονται τὰ κύματα. ἢ παρὰ
τὸ θέειν. καὶ γὰρ ἐν τῷ αἰγιαλῷ. τρέχει τὰ
κύματα. τὸ δὲ ῥῖς. παρὰ τὸ ῥεῖν γέγονε. καὶ
γὰρ ἐκ τῆς ῥινὸς ῥέουσι καὶ κατέρχονται τὰ
περιττώματα. τῆς κεφαλῆς. ἀκολουθῶν οὖν
ταύτην τὴν ἐτυμολογίαν. εἴρηκεν αὐτὸ διὰ
τῆς εἶ διφθόγγου. ἡ δὲ παράδοσις οἶδεν αὐτὰ
διὰ τοῦ ῑ.

Ἀκτὶς διὰ τοῦ ῑ. καὶ ὅσα διαφορεῖται περὶ
τὴν κατάληξιν. οἷον γλωχίς. θίς. ῥίς. ῥινὸς ἡ
γενική. τὰ εἰς ν̄ λήγοντα πάντα ἀρσενικά.
ἑνὶ φωνήεντι χρῆται. οἷον. ἕλλην. τέρην.
αὐχὴν. λιμήν. ἀλκμὰν. τιτάν. πῦθ?
σιδῶν. ἀμπηῶν. τὸ θῑ ἢ διατί. κἂν παρὰ τῷ
θέω ἐστί. διὰ τοῦ ῑ γράφεται. καὶ παρὰ τὸ
ῥέειν.

Ἀκτίς. παρὰ τὸ κατεαγνύσθαι τὰ κύματα.
καὶ εἰς τὸ παρὰ θίνα.

Ἄκυθος. λέγεται ὁ ἄγρυπνος.

Ἄκυστις. βρύσις. παρὰ τὸ ταχέως καὶ ἀπνευστὶ
πίνειν ἐξ αὐτοῦ.

Ἀκωκή. εἰς τὸ ἄκος.

Ἄκων. εἰς τοὺς ἀέκοντας

Ἄκλωλος. ζήτει ὀπισθεν εἰς τὸ ο̄.

Ἀκωκὴ ἡ ὀξύτης τοῦ δόρατος.

Ἄκοντις. ἡ ἄλοχος. ἢ ἑτέρου εἰς κοίτην καὶ λέχος

μὴ ἐλθοῦσα. ἀκοίτης δέ.

Ἀκῶ τὸ θεραπεύω. ἐξ οὗ καὶ ἄκος ἡ θεραπαίνα. καὶ ἀκός τὸ φάρμακον. καὶ ἀνήκεστος ὁ ἀθεράπευ=τος.

Ἅλα. εἰς τὸ ἁλάσθαι.

Ἅλα. τὴν θάλασσαν. ἀθροῶ γὰρ ὕδωρ ἐστὶν ἡ θά=λασσα.

Ἀλάβαστρον. ἡ μυροθήκη. εἴρηται κατὰ πλεονασμὸν τοῦ ρ̄. ἀλάβαστός τις ὢν οὐ λαβέσθαι διὰ λειότητα ἀδώνατον. λάβαστρον. μύρου βίβιον ἐστὶν — ὑέλουν. στρογγυλοειδὲς χωροῦν λυραγμίαν ἤγουν ἡμίναν. καὶ ἄλλως μέτρον ἐστὶ ξέστου τὸ ἥμισυ. ἀλάβαστρον δὲ λέγεται διὰ τὸ ἄθρυπτον ἁλὶ ἀπεικαζόμενον.

Ἀλάβαστρον. σκεῦος τί ἐξ ὑέλου παρὰ τὸ λήβω μετὰ τοῦ στερητικοῦ ᾱ. ἀλάβαστον καὶ πλεονασμῶ τοῦ ρ̄ ἀλάβαστρον ὁ οὐκ ἔνι λαβεῖν διὰ λειότητος.

Ἀλαβής. ὁ ἰχθὺς ὁ ἐστερημένος τοῦ λήβεσθαι, ἤγουν διὰ χειρὸς κρατεῖσθαι. λάγνω τὸ πλανῶμαι. παρὰ τὸ ἅλη ὁ σημαίνει τὴν πλάνην.

Ἀλάζων ὁ ἀπατεῶν καὶ κομπαστής. εἴρηται δὲ ὁ ἐν ἅλι καὶ πλάνῃ. καὶ ἐκ τοῦ περιϊέναι ζῶν, ἢ ὡς χρυσίππος ὁ ἄλλως ζῶν. οὐκ ἀπὸ ἐπιτηδευ=μάτων ἀλλὰ ἀπάτης.

Ἀλαζών. ὁ προσποιούμενος ἃ οὐκ ἔχει.

Ἀλαλάξατο. παρὰ τὸ ἀλαλάζω τοῦτο ἐκ τοῦ λαλῶ λαλάζω καὶ ἀλαλάζω. ἢ ἐκ τοῦ ἀλαλή. ὁ ση=μαίνει τὸν θόρυβον.

Ἀλαλάζω ἐστὶ ῥῆμα λαλῶ. οὗ παράγωγον λαλά=ζω. καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀλαλάζω ἀλαλητός.

Ἀλαλάζω οὗ ὁ μέλλων ἀλαλάξω. γέγονε παρὰ τὸ λαλεῖν. λαλαὴ καὶ ἀλαλάζω. ἐξ οὗ καὶ τὸ ἀλαλάξατε τουτέστιν ὑμνήσατε τὸν θεόν.

Ἀλαπάζω. κενῶ καὶ ἀναλίσκω. οὗ ὁ μέλλων ἀλαπάξω τὸ ἐκκενώσω. ἐξ οὗ καὶ ἀλαπαδνός. ὁ κενὸς τῆς δυναμέως. λάπαθον οὖν εἶδος βοτάνης κενωτικῆς γαστρὸς καὶ Δημόκριτος τοὺς βοθρῆ τοὺς παρὰ τῶν κυνηγετῶν γενομένη, λαπάθους καλεῖ διὰ τὸ κεκενῶσθαι. ἀλλαπάξαι οὖν κυρίως τὸ ἐκκενῶσαι καὶ εἰς τὸ κενεὼν καὶ λαπάρει.

Ἀλαλαγμός. ὀλολυγμοῦ διαφέρει. ἀλαλαγμός ἐστιν ἐπινίκιος ἐν πολέμῳ κρότος. ὀλολυγμὸς δὲ κραυγὴ θρηνικὴ εἰς ὀδυρμοῦ σημεῖον.

Ἀλαλητὸς ὁ θόρυβος. διὰ τὸ πολλῶν λάλημα εἶναι.

Ἀλαλύκτημαι τὸ ἀδημονῶ καὶ περιπεπλάνημαι ἐκ τοῦ ἀλῶ ἀλύω ἀλύσω ἀλυκτὸς γίνεται ῥῆμα ἀλυκτῶ. ὁ μέλλων ἀλυκτήσω. ὁ παρακείμενος ἠλύκτημαι. ὁ παθητικὸς ἠλύκτημαι. ὁ ἀττικοί. ἀλαλύκτημαι.

Ἀλαός. εἰς τὸ κραῶν καὶ λέων.

Ἀλαός. ὁ τυφλός. κατὰ διάλεκτον.

Ἀλαῶ. σημαίνει δύο. ἀλαῶ τὸ ληφθῶ ἤτοι κρατοῦμαι. ἀλαῶ τὸ τυφλῶ κατὰ στέρησιν τοῦ λάειν. τουτέστι βλέπειν. ἐξ οὗ καὶ ἀλάωσαν τὸ ἐτύφλωσαν.

Ἀλακάτη καὶ ἠλακάτη. ἀπὸ τοῦ ἀῶ ἄξω ἀητὸς εἴρηται καὶ ἀητὴ κατὰ πλεονασμὸν ἐν μέζῳ τοῦ ἀ ακάτη. καὶ ὑπὸς ἐλθόντος πάλιν τοῦ ᾱλ μορίου ὡς ὑπὸ ἄλλων πλείστων ὠνομάσθη ἀλακάτη καὶ ἠλακάτη κατὰ Ἰωνας: τὴν ἀωγὴν τοῦ περιάγοντος

αὐτήν· καὶ γενομένης ῥήματος εἰείου ἢ λίνου·
ἠλακάτη δὲ κατὰ ἴωνας· ὡς ἀπεδανὸς καὶ ἄπε-
δανος· οὕτως οὖν Φιλόξενος ἐν τῷ παρὰ ἀναδι-
πλασιασμοῖς·

Ἀλαπάζοντα σίκας ἀνδρῶν· πορδοῦντα φθειροῦντα·
κυρίως δὲ κενοῦντα· διὸ καὶ Ἀθηναῖοι τὰ τῆς γῆς
κενώματα ἀλάπαδα καλοῦσιν·
Ἀλαπάζειν· φθείρειν· ἄτις ἐστὶ βοτάνη κενωτική·
καθαρτική γαστρός· γίνεται παρὰ τὸ λαὶ ἐπιτατι-
κὸν καὶ πάλος· παρὰ τὸ λίαν ἀποδεῖ ἡμᾶς
ποιεῖν τὰ πάλη· ἐκ τούτου γίνεται λαπάζω·
καὶ πλεοναζόμῳ τοῦ ᾱ ἀλαπάζω· καὶ ἐξαλαπάξ-
αι·
Ἀλᾶαλαι· παρὰ τὸ ἀλῶ ὃ δηλοῖ τὸ πλανῶ·
ὁ παθητικὸς ἐνεργητικῶς ἀλῶμαι· τὸ ἀπαρέμφατον
ἀλᾶαλαι· τὸ δὲ ἀλῶ παρὰ τὴν ἄλην· ὃ δηλοῖ
γει τὴν πλάνην· τουτέστι παρὰ τὴν ἄλα ὃ
δηλοῖ τὴν δαλαάββαν· χωρὶς γὰρ ἄλης· ἢ ἐν δα-
λάσσῃ· πλάνης καὶ εἰς τὸ ἀλάσεως·
Ἀλασαί τὰ κακά· ἀνεπίληπτά τινα ὄντα ἢ πα-
ρὰ τὸ λάζεσθαι, ὃ ἐστὶ λαβεῖν· ἃ ἂν τις λά-
βοι φευκτά· ἐκ δὲ τοῦ ἐναντίου εἴρηται ἑαλόν,
ἁλόντι ὄν· ὃ δηλοῖ τὸ ἑκεῖν·

Ἀλᾶται· πλανᾶται· ἄλαλος ἐκ τοῦ λαλῶ, λάλος
καὶ κατὰ τοῦ συγκοπικοῦ ᾱ ἄλαλος·
Ἀλάσθαι χρόνος ἀόριστος ᾱ ἐξ οὗ τὸ ἐῶτα ἀλάσω
ἐκ τοῦ ἄλασος· ὡς ἄπιστος ἀπιστῶ· ἀλῶ τὸ πλανῶ
παράγωγον ἀλάζω· ὡς ἀνιῶ ἀνιάζω· δακνῶ δακ-
δάζω· διότι οἱ πλανώμενοι χαλεπαίνουσιν·
ἢ παρὰ τὸ λάζω τὸ δηλοῦν τὸ λαμβάνω·

καὶ ἡνία λάβετο χερσίν. ἀλαστὸν ὃ οὐκ ἄν τις θέλει λαβεῖν. λάστωρ ὁ φονεὺς. καὶ ὁ ἐφορῶν τοὺς πόντζας. ἀπὸ τῆς ἐλάσεως ὁ ἄξιος τοῦ ἐλαύνεσθαι. ἢ ἀπὸ τοῦ ἀλᾶσθαι. ὅ ἐστι πλανᾶσθαι ἢ ἄλητα δρῶν.

Ἀλάστωρ ὁ Ζεὺς. ὁ ἐπιπτάων τοῦ ἀλαστὰ καὶ χαλε=πὰ ποιοῦντας. οὕτως Ἡρωδιανός.

Ἀλγῖον. αἰσχῖον.

Ἀλγίων. αἰσχίων. ῑ. καθόλου τὰ τοιαῦτα συγκρι=τικὰ τύπω παρηγμένα. διὰ τοῦ ῑ μόνη γράφεται. ὅ ἐστιν ὑπὲρ δύο συλλαβάς. οἷον τοχίων. βραδῶν. ἡδίων καὶ ἡμῶν. καὶ κάκιον. ἥδιον. τάχιον.

Ἀλάστωρ. ὁ Ζεὺς. ὁ ἐπιπτάων τὰ ἀλαστὰ καὶ χαλεπὰ ἢ ἀσεβὴς καὶ κακοποιός.

Ἀλαῶς. τετυφλωμένος. παρὰ τὸ λαῶς. στερητικὸν δὲ τὸ ᾱ.

Ἀλαός. ὁ τυφλὸς κατὰ διάλεκτον. αλαῶσθαι τὸ τυφλῶσθαι.

Ἄλγος. λύπη. πόνος. παρὰ τὸ ἀλέγω τὸ φροντί=ζω. ὅ περὶ πολλοῦ ποιούμεθα καὶ φροντίζομεν. οἷον ἅ λέγει τίς καὶ ὀνομάζοι. καὶ εἰς τὸ γλωσ=σαλγίας.

Ἀλδήσκω τὸ αὐξάνω. παρὰ τὸ ἀλῶ ἀλήσω ἀλήσ=κω. καὶ πλεονασμῷ τοῦ δ ἀλδήσκω.

Ἄλδω. εἰς το δισαλθει.

Ἀλδαίνειν. τὸ αὔξειν. παρὰ τὸ ἅλασθαι καὶ πηδᾶν. κατὰ τὴν αὔξησιν.

Ἀλγηδῶν. παρὰ τὸ ἀλγῶ ἀλγήσω. ἀλγηδῶν. τὸ δὲ ἀλγῶ παρὰ τὸ ἄλγος. τοῦτο παρὰ τὸ ἀλέγω τὸ φροντίζω. ἄλεγος καὶ συγκοπῇ ἄλγος.

Ἀλεγίζεις. παρὰ τὸ λέγω τὸ φροντίζω. τοῦτο παρὰ τὸ λέγω. ἐξ οὗ καὶ λόγος ἡ φροντὶς. οἷον οὐ —

πτοοῦμαι αὐτοῦ λόγον· ἢ φροντίδα· λέγω οἷον μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀλέγω· καὶ ἐξ αὐτοῦ ἀλεγίζω τὸ παράγωγον.

Ἀλέγω· εἰς τὸ ἀπηλγέως.

Ἀλεγίζεις· ἀποστρέφεις, φροντίζεις· τοῦτο δὲ παρὰ τὸ λέγων· καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀλέγων· τὸ οὐ φροντίζων.

Ἀλείπη· πηγὴ ἐν Ἐφέσῳ· οὕτω καλεῖται διὰ τὸ μὴ λείπειν ποτέ.

Ἀλεείνω· ἐκκλίνω· ἐκφεύγω· φυλάσσομαι· σημαίνει δὲ τὴν θερμασίαν· καὶ γίνεται παρὰ τὸ ἀλέα· οἱονεὶ ὁ ἐκ ψύχους εἰς τὴν θερμασίαν ἀποφεύγων· μέλλοντα οὐκ ἔχει· ἀλλ' ἀχρὶ τοῦ παρατατικοῦ κλίνεται.

Ἀλεείνω· τὸ εἶ δίφθογγον· διάτι τὰ διὰ τοῦ εἶνω ῥήματα τὴν εἰ δίφθογγον ἔχει ἐλεείνω, φαείνω, ἀλεείνω· τὸ δὲ ἀλεείνω μέλλοντα οὐκ ἔχει· τὰ γὰρ διὰ τοῦ εἴνω ῥήματα ὑπὲρ δύο συλλαβάς, διὰ τῆς εἰ διφθόγγου γράφεται, καὶ μέλλοντα οὐκ ἔχουσι· τὸ δὲ ἀλεείνω γίνεται παρὰ τὸ ἀλέα· ὃ σημαίνει τὴν θέρμην.

Ἀλείαρ· σημαίνει τὸ ἄλαρ) ἐκ τοῦ ἀλέαρ γέγονε· κατὰ πρόσθεσιν τοῦ ῑ· ἀλείαρ.

Ἄλεισον· ἔκπομα· ἐκτὸς τορεύμενον· οἷον εὐαλίου ὑπάρχον· ἢ πλατύ· ὅθεν ἐστὶν ἅλις πιεῖν· ὁ δὲ Ἀπολλώνιος ὁ τοῦ Ἀρχιβίου· ὅτι παρὰ τὸ λεῖον γέγονεν ἄλειον· καὶ ἐπενθέσει τοῦ σ', ἄλεισον· τοῦ ᾱ ἢ μετατικοῦ ὄντος ἢ στερητικοῦ.

Ἄλεισον· ποτήριον ὅμηρος· παρὰ τὸ ἅλες πίνειν ἐξ αὐτοῦ· ἅλες δὲ τὸ ἀθρόον.

Ἄλεισον· τὸ ποτήριον· ἀπὸ γὰρ τὸ ἅλες ἐτυμολόγουσιν· ἐξ οὗ ἐστὶν ἀθρόον πίνειν.

Ἀλείτης· ὄνομα τὸ λεῖ, δίφθογγον· τὰ διὰ τοῦ ῑτης παρώνυμα διὰ τοῦ ῑ γράφεται· πλὴν τοῦ

ἀλειτης. καὶ τὰ ὁμοῖα. τοῦτο δὲ ἀντιπαρακεῖ=
=ται αὐτῷ, τὸ ο̄ ἀλοίτης. σημαίνει δὲ καὶ αὐτὸ
τὸν ἁμαρτωλόν. καθόλου δὲ τὰ ἔχοντα τὸ ο̄
ἀντιπαρακείμενον. ἔχουσι τὸ ε̄ παρακείμενον.
ἢ ὅτι κατὰ διάλεκτον αἰολικήν. οἱ γὰρ αἰολεῖς
τὴν εἰ δίφθογγον εἰς οι τρέπουσι. τὸ γὰρ ὄνει=
=ρος ὄνοιρος λέγουσι. καὶ ἐπειγω ἐποίγω. γί=
=νεται δὲ παρὰ ἀλίτω τὸ ἁμαρτάνω. ἐξ οὗ
αλιτήριος ὁ ἁμαρτωλός. παρὰ τὰς λιτὰς μὴ
τηρεῖν. ὅθεν καὶ Ἀλεξίων διὰ τοῦ ῑ γράφει. ὅτι
παρὰ τὸ ἀλιτῶ γίνεται. τοῦτο γὰρ διὰ τοῦ
ῑ. ἐξ οὗ καὶ ἀλιτρὸς ὁ ἁμαρτωλός. ἡ δὲ παρὰ
σοβῖς διὰ τῆς εἰ διφθόγγου.

Ἀλείτης. σημαίνει τὸν ἁμαρτωλόν. παρὰ τὸ
ἀλοίτης. τροπῇ τοῦ ο̄ εἰς ε̄. ἀλείτης. λείτης
πλάνος. ἢ ἁμαρτωλος. ἀλίτης δὲ ὁ ἀλιτὴς.
καὶ πόθεν γίνεται. ἐκ τοῦ ἄτη, ὅ σημαίνει
τὴν βλάβην.

Ἀλεγεινός. δίφθογγον. ε̄ ᾠ ῑ. παρὰ τὸ ἀλέγειν.
καὶ τὸ ἀλέγειν καὶ τὸ ἀλεγεῖν, παρὰ τὸ ἀ=
=λεείνω. οὕτω καὶ τὸ ἐρεείνω. φαείνω. τὸ
μέν τοι ὀρίνω, διὰ τοῦ ῑ. ὡσὺ Αἰολεῖς ὀρίνω.

Ἀλείφω. χρίω. ἤλειψεν. ἔχρισεν. λείπτης.
εῑ. παρὰ τὸ ἀλείφω. λέγεται δὲ ὁ συνήγο=
=ρος.

Ἀλεωρή. ἡ φυλακὴ καὶ ἡ φυγῆ. ἡ μὲν φυλακή,
παρὰ τὸ ἀλέαν τὴν θερμασίαν. καὶ ὠρεῖν
τὸ φυλάττειν. ἡ δὲ φυγὴ παρὰ τὸ ἀλεασθαι
ἀπαραφυλάκτως. λέγεται δὲ καὶ τὸ συνάθροισ=
=μα τοῦ λαοῦ.

Ἀλείφη. εἰ μὲν ἁπλοῦν, δίφθογγον. εἰ δὲ —

δωδετον τ. οἷον πιβαλιφή. ὑπαλιφή. ἰ. εἰ δὲ ἔχει πι διὰ διφθογγ. ἀλιπτον καὶ δυὸ ἀλιπτον. ἀδωάλιπτον ἐξ ἀλιπτον.

Ἀλίφω. τὰ γὰρ ἀντιπαρακείμενον ἔχοπα τὸ ō ἔχουβι τὸ ε ἐγκείμενον.

Ἄλιπτος. ἐκ τοῦ ἁλῶ τὸ πορθῶ. ἁλῶζω. λίβας ὁ νοτερὸς καὶ ὑγρός. ἁ μὴ ἔχων νοτίδα καὶ λιβάδα τινά. οἱ γὰρ ζῶντες ὑγροί.

Ἀλέκτωρ ὁ ἄρβην. ἀλεκτορίς δὲ ὄρνις θήλεια. λέκτωρ παρὰ τὸ λέγω λέκτωρ, ὡς κραίνω κράτωρ. ἢ παρὰ τὸ λέχω τὸ κοιμῶμαι. ἀλέκτωρ ὁ μὴ κοιμώμενος. καὶ εἰς τὸ ἀλέκτωρ.

Ἀλέκτωρ. διὰ τὸ ἀλλάσθαι καὶ τινὰ βεβαται. καὶ δηλοῖ τὴν ὥραν. τὸ γὰρ ἄλα Ῥωμαῖοι πτερύγας καλοῦβι. καταγῶν γὰρ καὶ ἀνάγων τὰς πτερύγας λέγει τὴν ὥραν.

Ἀλέκτωρ. εἶδος ὀρνέου ἀγρυπνητικοῦ ἀλεκτρυών ὠν ἀλεκτρυόνος.

Ἀλεξάνδρεια. καὶ Ἀντιόχεια. κατὰ πρωνυμον παραγωγὴν γέγονε ἀπὸ τῆς γενικῆς τοῦ ἀρχ. γενικοῦ τοῦ Ἀλεξάνδρου καὶ Ἀντιόχου. καὶ ὅσα παρεληλυθότα τοῖς εις ᾶς, διὰ διφθόγγου γράφεται.

Ἄλεξανδρος. παρὰ τὸ ἄλεξιν εἶναι ἀνδρῶν ὑπὲρ βοήθειαν. λέξω δὲ εἰς τὸ ἐπάλξεις

Ἀλωεότηβίς. ἡ κοβαλινβίς. παρὰ τὸν δήβω μετ' λοντος. δῆβις καὶ ἀρωτηβίς. λῶσατο. ἁλάω τὸ πλανῶ. καὶ ἐκκλίνω.

Ἀλύω. ποιᾶ χήματος. δυνδέτου. ἐκ τοῦ ἁλῶ τὸ πλανῶ καὶ τὸ ἐκκλίνω. τοῦτο ἐκ τοῦ λῶ τὸ

θέλω, καὶ μετὰ τοῦ γενητικοῦ ᾱ ἀλῶ. οἱ γὰρ πλανώμενοι ἀλόντες πλανῶνται. καὶ ὧν βούλονται οὐ τυγχάνουσιν.

Ἀλυδινός. ἐκ τοῦ ἄλυδις γίνεται ἀλυδινός. τὸ δῑ ῑ.

Ἀλωρή. ἡ φυλακή. σημαίνει δὲ καὶ τὴν φυγὴν παρὰ τὴν ἀλᾶσαι ὃ σημαίνει τὴν πλεμαβίαν. καὶ τὸ ὠρεῖν τὸ φυλάσσειν.

Ἀλήθεια. ἐκ τοῦ ἀληθὴς ἀρσενικοῦ τῆς θηλυκοῦ μετῆλθε. διὰ τῆς εἰ διφθόγγου ἀληθεια.

Ἄλυδις. παρὰ τὸ λύδω. τὸ μὴ τῷ δικαίου ὑποπίπτοντος

Ἀλυδινός. τὸ λῑ. ῑ. διὰ τῑ. τὰ εἰς νος ὀνόματα διὰ τοῦ ῑ γράφεται. οἷον ταχαλχονός.

Ἀλήθω. ἀλύδω.

Ἄλυδις. παρὰ τὸ λύδω. τὸ μὴ λύδει τῷ δικαίῳ ὑποπίπτον. Ἡβίοδος περὶ τῆς νηρέως.

Οὔνεκα νημερτὴς τε καὶ ἄπιος. ἠδὲ θεμιστῶν λύδεται.

καὶ πάλιν

Νηρέα, ἀλυδέα καὶ ἀψευδέα γείνατο πόντος.

Ἄλυδις. ἐπίρρημα βεβαιώσεως.

Ἄληκτος. παρὰ τὸ λήγω τὸ παύω. τὸ λῆ. γῆ. καὶ λέληκται. ληκτός καὶ ἄληκτος. ὁ ἀπαράληκτος καὶ πολύς. ἐξ οὗ καὶ ἄληκτον ὑμνεῖ τὸν κεχυμένον λόγον. ἔστι δὲ ἐπίρρημα μεθότητος. ἀντὶ τοῦ ἀλήκτως. μεταγέται γὰρ ἀπὸ ὀνόματος εἰς ἐπίρρημα μεθότητος. ἔστι τὸ ἄληκτον τὸ ητο μικρόν. καὶ ἐπίρρημα ὁμοίως. καὶ φυλάσσει τὴν αὐτὴν γραφήν. κανὼν γάρ ἐστιν ὁ λέγων. ὅτι τὰ ἀπὸ ὀνομάτων εἰς ἐπίρρημα τὴν βδ τάξιν μεταγόμενα. καὶ τὴν αὐτὴν γραφὴν ταῖς πτώσεσιν ἔχει. Κᾶν

Ἀλυπτός ἐστι· λήβω τὸ λαμβάνω διὰ τοῦ ῆ διότι ἠφώνητο ᾱ ἐν τῷ δευτέρῳ ἀορίστῳ διὰ τοῦ η̄ γράφεσθαι· οἷον λήβω ἔλαβον· δήκω ἔδακον. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀλυπτος ὁ μὴ κρα:τούμενος.

Ἀλυσία· ἡ ἀφροδίτη διὰ τὸ περὶ πᾶν ζῶον ἀλᾶσθαι· παρὰ τὸ ἀνεπίλυστα εἶναι τὸ κακά.

Ἀλύτης· ὁ Ἡρακλέους ἀπόγονος· ἀφ' οὗ καὶ οἱ Κορίνθιοι ἀλατίδες λέγονται· λαθίω τὸ θεραπεύω, παρὰ τὸ ἄλθω· τοῦτο παρὰ τὸ ἄρδω τὸ βρέχω. ἐξ οὗ καὶ ἀρδεύω· ὥσπερ ὅταν βρέχῃ ξηρὰν οὖσαν τὴν γῆν, εὔτροφον αὐτὴν ποιεῖ· οὕτω καὶ ταῦτα.

Ἄλθετο· τὸ αὐξηθῆναι· καὶ τὸ θεραπευθῆναι παρὰ τὸ ἀλδαίνειν ὅ ἐστιν αὔξειν· τὸ γὰρ ὑγιὲς αὔξεται· καὶ ὁ τῆς Κορίνθου βασιλεύς.

Ἀλύτης ὁ πλανήτης· ἀπὸ τοῦ ἄλη· καὶ ἀλητεί:α ἡ πλάνη· καὶ ἀλητεύω τὸ πλανῶμαι· ἀλή:της δὲ ὁ ἠθ̄ θηλυκόν.

Ἀλέξω· τὸ βοηθῶ παρὰ τὸ ἄλοχον· κυρίως τὸ γυναικὶ βοηθῆναι· καταχρηστικῶς δὲ καὶ τὸ ὅπερ δήποτε· ἀπὸ τοῦ ἀλδω· ἄλξω· καὶ πλεονασμῷ τοῦ ε̄ ἀλέξω· ὅτε εἰς ἐνεργητικὸν ἀνεχθὲν βαρυδέται ὑπὸ Ἀττικῶν.

Ἀλίβας· ὁ νεκρός· παρὰ τὸ λιβάδα καὶ πιό:τητα μὴ ἔχειν· καὶ εἰς τὸ ἄζω· τὸ ζωννύω· καὶ ὑγιὴς λιζῶνες οἱ βυθινοί· ὅμηρος

Αὐταρ ἀλιζώνων καὶ ἐπίστροφος ἦρχον.

διότι ἡ γῆ αὐτῶν θαλάσσῃ διεζώννυται· καὶ οἱονεὶ χερρόνησος ἐστιν· ὑπὸ τοῦ εὐξείνου τῆς προπόντιδος διεζωσμένη· λιζώνων τῶν πα:φλαγώνων· παρὰ τὸ ὑπεζῶσθαι τῇ ἁλί-

υλίζω εἰς τὸ ξυναυλιζόμενοι.

Ἅλιον τὸ μάταιον. ἅλιον δὲ τὸ θαλάσσιον. δασύνεται ἀπὸ τῆς ἁλὸς γενικῆς. ἐν οὐδενὶ λόγῳ κείμενον πρὸ τῆς τῶν νῆων εὑρήσεως. τὸ γὰρ τῆς θαλάσσης ὕδωρ ἄχρηστον.

Ἅλιος. νῶν ἐπίθετον. ἐστὶ δὲ κανῶν τὰ ἀπόμονοσυλλάβων ὀξυλόγων διὰ τοῦ ιος γινόμενα, μὴ σημαίνοντα μέρος σωματικόν, μήδε μετουσίαν, μὴ δὲ κτητικὰ ὄντα, διὰ τοῦ ι. γράφεται. οἷον φρύξ, φρυγός, φρύγιος. χθών, χθονός. χθόνιος. στύξ. στυγός. στύγιος. ἅλς. ἁλός. ἅλιος. μέρος σωματικόν. αἴγειος. βόειος. χήνειος. φλόγειος. μετουσιαστικά. καὶ εἰς τὸ ἡμῖν. Κανῶν.

Ἅλιον. τὸ μάταιον. ἅλιον δὲ τὸ θαλάσσιον. δασύνεται ἀπὸ τῆς ἁλὸς γενικῆς. ἐν οὐδενὶ λόγῳ κείμενον πρὸ τῆς τῶν νηῶν εὑρήσεως. τὸ γὰρ τῆς θαλάσσης ὕδωρ ἄχρηστον.

Ἅλιος. νῶν ἐπίθετον. ἐστὶ δὲ κανῶν τὰ ἀπὸ μονοσυλλάβων ὀξυτόνων διὰ τοῦ ιος γινόμενα, μὴ σημαίνοντα μέρος σωματικὸν διὰ τοῦ ι γράφεται. Κανῶν.

Ἅλιον. τὸ μάταιον τὸ εἰς θαλάσσαν ῥιπτόμενον ἢ παρὰ τὸ ἅλα. ἀπὸ τοῦ μὴ εὐχρηστεῖν εἰς τὴν πόσιν τὸ θαλάσσιον ὕδωρ.

Ἀλαρητήτης. σήω. σήσω. ὁ μέλλων ὄνομα ῥηματικὸν σήσης. καὶ τροπῇ τοῦ κατ' ἀρχὴν σ ἀττικῆς τήτης. καὶ πλεονασμῷ τοῦ τ ἀλαροτήτης ὁ κόσκινος. οὕτω φιλόξενος.

Ἀλητηρία. Δημήτηρ καὶ ἀλιτήριος Ζεὺς ὅτι

λιμȣ συντόνου γινομένου, τȣ̃ς ἀλήθοντας πάν-
-τας ἐφύλαττεν. διά τό μή κλέπτον τί τῶν ἀλου-
-μένων. ὡς ὀῶ ἐπόπτας καί τηρητάς τῶν ἀλου-
-μένων τȣ̃ς θεȣ̃ς οὕτως ἐπωνόμαζον.

Ἀλίαρτος ἡ πόλις. ἡ ὅτι ἐκ τῶν ἀλίεων τοῦ
ἄρτου.

Ἀλίβας ὁ νεκρός. ὁ ξηρός. ὁ μή ἔχων νοτίδα
καί λιβάδα τινά. οἱ γάρ ζῶντες ὑγροί. ἀλί-
-βας δέ καί τό ὄξος τινές φασί. καλλίμαχος.
Βηζανοί ἀλίβας τε πίνοντες. παρά τό μή
λείβεσθαι καί σπένδεσθαι. λυβδύειν τό καταβαί-
-νειν εἰς θάλασσαν. καταχρηστικῶς δέ καί με-
-ταφορικῶς καί τό ἀφανίζειν, παρά τό ἅλα
καί τό βδύειν. αἰολικῶς πλεονασμῶ τοῦ ρ̄
ὡς σίδη σίβδη. ἀλῴδύειν. ἀλιβδύειν. λιτή-
-ριος ὁ Ζεύς τό δύο η̄ ἀλιτήριος δέ ὁ ἁμαρ-
-τωλος. ἤτοι ὁ τάς λιτάς μή τηρῶν. τό λῑ. ῑ.
διά τί λιτεία. καί ἡ ἀλίτρια. ἡ ἁμαρτία.
καί ἀλιτρία. ἡ ἁμαρτωλή καί ἀλιτρός ὁ ἁμαρ-
-τωλος.

Ἀλιτήριος. ὁ ἐστίν ἀλιτρός. σημαίνει δέ τόν
ἁμαρτωλόν. το λῑ. ῑ. διά τῑ. τό τῆ η̄. ἀλιτρός
ἐστί. παρά τό στέρησιν. ἔχειν τῆς λιτῆς. τό λιτή
δέ διά τοῦ ῑ γράφεται. τά γάρ εἰς τῆ ȣ̃ θέλουσι
τῆ εῑ διφθόγγω παραλήγεσθαι.

Ἀλιτηρίου. ἀθέου. ἁμαρτωλοῦ. πλανήτȣ. θανά-
-του. ἐνόχου. λίπαστον ἀλιπάρτου διαφέρει. τό
μέν γάρ ἁλσί πεπάσμενον κρέ. ἡ ἰχθύω ἔλεγον
ἁλίπαστον. ἁλίπαρτον τέ τήν ἁλσί κατεσπαρμέ-
-νην χώραν. τῶν δέ ἀρχαίων τινῶν βαρβάρων

δυβμενές διακειμένων πρός τούς Ἕλληνας, τάς χώρας αὐτῶν ἄλλοι κατήσπειρον. εἰς τό μηκέτι δυναμένους φέρειν καρπούς. οὕτω καί ὁ βίος τῆς ἡκις μ;] δι. ρς καί δυσδιαπεράτως ἐχόντας τά ὕδατα, ἀλιπάρτης καλεῖ.

Ἀλίπεδον. τό παραθαλάσσιον πέδιον. παρά τήν ἁλός γενικήν καί τό πέδον. ἀλίπεδον. ὁμαλόν ἔδαφος παρά τό θαλάσσιον πέδιον. ἄλις ἐπίρρημα σημαίνει τό πολύ. παρά τήν ἄλα πολλήν οὖσαν.

Ἄλις. παρά τήν ἁλός γενικήν γίνεται ἄλις ἐπίρρημα. σημαίνει τό ἀρκετόν. οἱ δέ ὅτι τά διά τοῦ ἰθκω μή παρά μελλόντων παρήγμενα, διά τοῦ ι γράφεται. οἷον ἀλίσκω. προσκεῖται μή παρ ἠγεσώτων ἤ μελλόντων. διά τό κλῶ κλίνω καί κατακλίνω. γίνεται δέ τό ἀλίσκω ἐκ τοῦ ἁλῶ ἁλίσκω. καί σημαίνει τό ἁρπαγῶ ἀπό τοῦ ἁλῶ τό συναθροίζω. ἐξ οὗ καί τό χειμέριον ἄλσος ἔδωρε. μετά τοῦ ς ἐρωτικοῦ ἁλσίζω. τά ἀθροίσματα διαφθείρω. τοῦτο παρά τήν ἁλός γενικήν. ἐκτεταμένος τοῦ ᾱ. ἐν γάρ τῇ θαλάσσῃ ἅπαντα συναθροίζονται. Ἄλις. τό ἐπίρρημα δηλοῖ τό ἁρκεῖ καί πολύ παρά τό ἄλις τό ἁλίσκω. καί ἐροτῆ τοῦ ἦ εἰς ᾱ πολλήν ἐκ παραλλήλου.

Ἄλις ἱκανῶς. ἐπίρρημα μεσότητος δασυνόμενον. τό ἀλεοιστικόν ᾱ δασύνεται ἄλις. ἅπας. γίνεται ὁμοῦ τό ἄλις. ἐπίρρημα. ἐν ᾧ γάρ ἀθρόον καί ἱκανόν ἐστί τό ὕδωρ.

Ἄλις παρά τό ἄλιδα καί ἅλιδα πολλήν.

Καναδν.

Ἁλίαται. τὸ κυλίαθαι παρὰ τὸ κυλίω. τροπῇ τοῦ ῡ εἰς ᾱ καλλίω καὶ ἐν πλεονασμῷ τοῦ ν̄. καὶ δ̄. καλίνδω. ὅπερ καὶ περισπᾶται, καὶ βαρύνεται. τοῦτο κατ' ἀφαίρεσιν τοῦ ῑ, ἁλίω γίνεται καὶ ἁλίνδω. ἀπὸ τοῦ ἁλίω, ἥλικα. καὶ ἥλισει. καὶ ὡς κολυμβήθρα ἁλινδήθρα.

Ἁλιτείνης. ὁ παραλῖος τόπος. ὁ παρατετάμενος τῇ θαλάσσῃ.

Ἁλιτήριος εἰς τὸ ἀλείτης.

Ἄλκαρ. ἴαμα. καὶ βοήθεια.

Ἀλκαία. ἡ οὐρὰ κερί. ἡ τοῦ λέοντος. διὰ τὸ εἰς ἀλκὴν αὐτὸν ῥύχειν. ἔχει γὰρ ἐπὶ τῇ οὐρᾷ κέντρον. ἀφ' οὗ παροξύνεται. καθὼς φησὶν ἱερώνυμος καὶ ἐπαφρόδιτος. ἐν ὑπομνήσει ἀσπίδος ἡσιόδου.

Ἀλκὴ ἡ ἰσχύς. ἀρκὴ τις οὖσα ἡ βοηθητική. ἀρκεῖν γὰρ τὸ βοηθεῖν. ἀλκὴ παρὰ τὸ ἀρκῶ τὸ βοηθῶ. ἀρκὴ καὶ μεταθέσει τοῦ ρ̄ εἰς λ. ἀλκὴ. ἡ παρὰ τὴν ἀκμὴν. τὴν ἡλικίαν. τοῦτο παρὰ τὸ ἀκμῶ τὸ κοπιῶ. γίνεται κμή. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀκμή. ἡ μὴ ταχέως κάμνουσα καὶ κοπιῶσα. ἀλλὰ φέρειν κόπον δυναμένη.

Ἀλκμήνη. παρὰ τὸ ἀλκὴ ἀλκήνη καὶ πλεονασμῷ τοῦ μ̄ ἀλκμήνη.

Ἀλκύων. ὄνομα ὀρνέου λέγεται δὲ ὑποριστικῶς ἀλκιονίς. παρὰ τὸ ἐν τῇ ἁλὶ κύειν. ὅ ἐστι ἐν θαλάσσῃ γεννᾶν.

Ἀλκυών. ἀλκυών τις οὖσα. παρὰ τὸ κύειν τῇ ἁλὶ ἔστι δὲ εἶδος ὀρνέου.

Aristoph. Ἀλκυονίδας ἡμέρας εὐδιϊνάς.

Ἀλκυών. ἀλκυών τις οὖσα, παρὰ τὸ κύειν τῇ ἁλι. ἔστι δὲ εἶδος ὀρνέου τουτέστι παρὰ τῇ θαλάσσῃ. καὶ φασὶν ὅτι κύματος αὐτῆς

ἀεὶ τὰ ἴδα ἐπικλύζοντος καὶ οὔσης ἀτέκνου.
ὁ Ζεὺς ἐλεήσας αὐτὴν, ὥρισεν ἡμέρας τινὰς
εὐδινὰς ἃς καλοῦσιν ἀλκυονίδας.

Ἀλοίτης. ἁμαρτωλὸς παρὰ τὸ ἀλιτῶ ἀλιτός.
καὶ ἐπενθέσει τοῦ ο ἀλοίτης. ἢ ὁ ἀνδροφό-
νος. παρὰ τὸ ἀλιαν τύπτειν. ἔνθεν πατρα-
λοῖας.

Ἀλλὰ ἄλλα σύνδεσμος. ἀντί τινος παραλαμ-
βάνεται. ἀντὶ τοῦ δέ. οἷον. ἡμέρα μέν ἐστιν.
ἀλλὰ τῶν ἐφ ἡ ὀχόρω. κατὰ πόσους τρόπους
διαφέρει ὁ ἤτοι σύνδεσμος τοῦ μὲν. κατὰ δυο.
ὅτι ὁ μὲν ἤτοι ποιητικῶς λαμβάνεται. ὁ δὲ
μὲν συνήθης ἐστι. καὶ ὅτι ὁ μὲν ἤτοι κατ' ἀρ-
λὰς τίθεται. ὁ δὲ μὲν κατὰ τὸ μέσον πα-
ραλαμβάνεται:

Ἀλλ' ἄνα. ὁ ἄλλα σύνδεσμος συμπλεκτικός.
ἄνα δὲ ἡ εὐθεῖα ὁ Ζ ἄναξ. σημαίνει δὲ
καὶ τὸν βασιλέα καὶ τὸν θν. τὸ μὲν. ὡς
τὸ ἄναξ ἀνδρῶν. τὸ δὲ. ὡς τὸ ὄφρα ἱλασ-
σόμεθα ἄνακτα. Θ τὸν οἰκοδεσπότην. ὡς τὸ
αὐτὰρ ἐγὼ ἄναξ οἴκοιο ἔσομαι. καὶ ἡ κλη-
τικὴ ὦ ἄναξ. ἀπέβαλε δὲ τὸ ξ ποιητικῶς.
ἀλλ' ἄνα. ὥσπερ καὶ τὸ Ζεῦ ἄνα. ἀποκοπῇ
τοῦ κλητικοῦ ω.

Ἀλλ' ἄγετε. τὸ ἄγετε ῥῆμα ἐστὶν. ἢ ἐπίρρη-
μα. καὶ λέγεται ἐπίρρημα. ἀλλὰ κανῶν ὁ λέγων. ὅτι τὰ ἀριθμὸν ἐπιδεχόμενα μετὰ τῆς δεούσης τῶν προσώπω καταλήξεως, ῥήματα εἰσί. καὶ ὠφειλε εἶναι ἐπιρρήματα. — κανῶν

Ἀλλ' ἕτερος κανῶν ἐστιν ἰὸ ποιῶν αὐτὰ ἐπιρρή-
ρηματα. ὥσπερ τὸ δεῦρο ὁμολογουμένως — ἀπορία

ὄν ἐπίρρημα ἴσχομεν δὲ προσακτικῆς ἐννοίας
μετὰ δωτικῆς ἀφῃρόν ἀνεδέξατο. ὡς
ἐν τῷ δεῦτε ὦ φίλοι τὸν ξένον ἐρείσαμεν.
οὕτω καὶ τὸ ἄγε ἐπίρρημα ὂν κατὰ δωτικὴν
μὴν τοῦ εἴματος ἔχει παραχείμενον τὸ ἄγετε.

Ἀλλαντοπώλων. κεκοπώλων καὶ κεκοποπωλ.
βαλβϊκόπις. ἄλλᾶς. ἀλλάντος καὶ τὸ πρωτ
γίνεται ἀλλαντοπώλης. τὸ δὲ ἀλλᾶς παρὰ τὴν
ἀόλλυδιν τῶν κεῖ ἢ παρὰ τὴν ἄλυδιν. τουτέστι
δυγκοπήν. δωτάσσεται τὸ πωλῶ πώσθαι δολιχῇ
καὶ ἀττιατικῇ. καὶ ἵνα τὸ ἰμᾶς.

Ἀλλήλοισϊν. ἀλλήλοις. ἡ ἑνδεια τῶν πληθυντι
κῶν οὐκ ἔστι. διὰ τί. διότι. ἡ τοῦ εἴματος
δύνταξις, τὴν ἐν τοῖς δευτέροις προσώποις με
τάβασιν δηλοῖ. τὸ γὰρ ἀλλήλων ἤκουσι. τοιοῦ
τον τί ἐστι. ἄλλοι ἄλλως ἤκουσαν. ἀλλήλους
ἔστεψαν. οἱ ἄλλοι, ἄλλῳς. ἐγγινομένης δὲ τῆς
ἑνδειας ἐν τῷ ἀλλήλους νοεῖται τὸ ἄλλοι
ἄλλος. ὅπερ ἄλογον διὰ τὸ ἐπάλληλον τῶν
δυο τοὐλείων.

Ἀλληρόϊδιον. τὸ ἀπὸ θαλάσσης κῦμα. ἢ ὄνομα
υἱοῦ ποσειδῶνος.

Ἀλλὰ καιρὸς ἤφιει. ἵεω. ἵω δασυνεται καὶ ὁ
παρατατικὸς ἵεον. ἵουν. τὸ δεύτερον ἵεις. ἵεις.
τὸ τρίτον ἵει ἵει. καὶ ἐν συνθέσει ἀφίει. ἐξ
οὗ καὶ τὸ προΐει.

Ἀλλιλοσσέα. τῇ ἑβραΐδι διαλέκτῳ τὸ ἀλ.
μεταιὸς τὸ λῆ θς καὶ τὸ σσέα. οὗτος μόνος.
τὸ σοῦ οὗτος. καὶ τὸ ἰᾶ μόνος. καὶ ἄλλως. τὸ
ἀλ μεθ' ἥν τὸ λῆ θς. καὶ τὸ σσέα νίκος. καὶ
ἄλλως λῆ ἰσχυρός. σσέα μεταιὸς. καὶ ἄλλως

τὸ ᾱλ ἔρχεται καὶ ἐφάνη. τὸ λῆ θς. τὸ οὔϊα
ζῶν. τετρασύλλαβον. ἔχει δὲ μέρη λόγου
τέσσαρα. καὶ ἄλλως ἀλληλοῦ, αἰνεῖτε. ἰα τον
νῦν.

Ἀλληγορία. παρὰ τὸ ἄλλως ἀγορεύεσθαι παρὰ
τὸ κείμενον ἄλλον. ἀσυδαθρ) ἐστὶν. ἢ σύδαθρον.
ποτὲ μὲν σύδαθρον ποτὲ γὲ ἀσύδατρον. ἡ νίκα
τοῦ κατηγορουμένου πλήθους. ὅλον ἐστὶν ἐμπε-
ριληπτικόν. τήν τε σὺν αἵρεσιν μερικὴν ποιεῖ-
ται. ἕξε καὶ τὸ ἄρθρον παραλαμβανόμενον.
ὅτε δὲ ἀόριστον ἐστὶ, τότε ἐμποδίζει καὶ τὰς
τῶν ἄρθρων παρεμπτώσεις.

Ἄλλο τοῦτο. διά τι σεσημείωται. τὰ ἀπὸ τῶν
οὐδετέρων πραγματιζόμενα ἀρσενικὰ καὶ
ὁμοφωνοῦντα τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ.
τὸ ἄρθρον ἐστὶ τὸ διακρίνον. ἐὰν γὰρ εἴπω
σοφόν. τοῦτο ἄδηλον. ὅτι εὐθεία ἐστὶν ἢ
οὐδετέρου ἢ ἀρσενικοῦ. προσερχομένων δὲ τῶν
ἄρθρων διαφορὰν ποιοῦσιν. ἐὰν γὰρ εἴπω τὸν
σοφόν. τοῦτο ἐστὶν αἰτιατικὴ τῶν ἀρσενικῶν.
ἐὰν δὲ τὸν σοφόν. εὐθεῖα οὐδετέρων. ὑπὸ οὖν
ἡ ἄλλο τοῦτο ἀντωνυμίαι. οὐδέχεται ἄνορα
τὰ ὀφείλοντα διὰ κρίσιν ποιεῖσθαι. τῇ τε
αἰτιατικῇ τοῦ ἀρσενικοῦ. καὶ τῆς εὐθείας τῶν
οὐδετέρων, τοῦτον χάριν σεσημείωται.

Ἀλλ' ὅτι οἱ. τέσσαρα μέρη τοῦ λόγου εἰσίν.
ἀλλὰ σύδεσμος. τὸ ο ἄρθρ). τὸ τί ὄνομα
ὑστέτρ). ἐρωτηματικὸν ἢ ὄνομα ἀόριστ]. τὸ
οἱ ἀντωνυμία.

Ἀλλοδαπῶ ξένω. γίνεται ἐκ τῆς γενικῆς τῶν

πλινθυντικῶν. ἐν τῶν ἄλλων καὶ κατὰ ἀβαγω-
γήν. ἀλλοδαπός· δι' ἣν αἰτίαν ἐκ μόνων τῶν
πλινθυντικῶν ἐγένετο ἡ παραγωγὴ τῶν κτη-
τικῶν ἀντωνυμίων· καὶ ἡ καθ' ἕκαστον ἀριθμόν
καὶ λέγει ὅτι ἀντίφθογγόν ἐστιν· ἐξ ἐκείνου γὰρ
δυϊκὸς ἀριθμός· ἐνικὴν γὰρ ἀγωγὴν γενέσθαι.
οὐ γάρ ἐστιν ὠγύγιον ἔθνος ἐν ἐνὶ ἄνω ἢ δυοῖν.
ἀλλ' ἐπ' ἄπειρον· διὰ ταύτην τὴν παραγωγὴν
ἔλυσε καὶ τὸ ἄλλου ἐν τῷ ἀλλοδαπός γινόμε-
νον ἀντωνυμία· ταῦτα ὑπὲρ τοῦ ἄλλος ἀνα-
γνωσθέντα· ἀορίστως. οἷον ἄλλος ἥκει· ἄλλος
ἦν· ἄλλος ἔσται.

Ἀλλόθεος· παρὰ τὸ ἄλλος καὶ τὸ θεός· ἀλλό-
θρους γάρ ἐστιν· ὁ ἀλλοτείαν φωνὴν ἔχων.
ἤγουν ὁ βάρβαρος· ἄλλοι μέν ἐα· οἱ μὲν δὴ
ἄλλοι.

Ἀλοάω· εἰς τὸ ἀλοηθέντες· καὶ ἀλύω· ἀλ-
λοίωσις· εἰς μεταβολήν.

Ἀλλόμοτος· παραλλάγμενος.

Ἀλλοίω· καὶ ἀλλοιόω διαφέρει· ἀλλοίω δηλοῖ
γει τὸ τύπτω· ὃ δὲ τὸ

πολυ-φόρβην πολλὰ δὲ γαῖαν πολυφόρβην χερείν ἀλλοία.
καὶ περιδεδηγμένον δηλοῖ τὸ ἀλαλύβω· ὡς τὸ·
αὐτὴ ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑφίσου.

Ἀλλόκοτον· ἀνόμοιον· τὸ ξένον· ἢ ἐξ ἀνο-
μοίων δεκτός· ἀλλόκοντι ὂν καθ' ὑπερβι-
βασμόν· ἢ παρὰ τὸ ἀλλαχοῦ κεῖσθαι καὶ μὴ
κατ' αὐτό· ὡς τὸ τύπτω τυπτιλός· δηλοῖ
δὲ τὴν ὀφοδρὰν ὁρμήν· καὶ πιτυλός καθ'
ὑπερβιβασμόν· καὶ δηκτός· δηκτός· καὶ πτόητος·
δηλοῖ δὲ δέους περόβησιν.

Ἄλλομαι· εἰς τὸ ἆλτο.

ἄλλος
ἀπορία

Ἄλλος. διά τί ἐστιν ἀσύναρθρον; ἐπειδή αἱ ἀν-
τωνυμίαι πρώτην τάξιν σημαίνουσιν. οἷον ἐγώ,
σύ. τά δέ ἄρθρα, ἀναφοράν δηλοῦσιν. ἐναντία
γάρ ἡ δείξις τῆς ἀναφορᾶς. οἷον. ἄλλοι. ἀσύ-
ναρθρον ἐστίν. διότι ἄρθρω καί πλαγία πτώ-
σει νοεῖται. ὁποτέρα ὀνω πτώσει προσέλθοι
τό ἄρθρον, ἀκαταλλήλος ἡ δηλοῖ.

Ἄλλος. ἐκ τοῦ ἄλαλος γίνεται κατά συγκο-
πήν. διότι τό ἄλλος. ἀναιρετικόν ἐστιν τῶν
ὡρισμ̄ προσώπων. καί ὄνομα ἐστίν ἡ ἀντω-
νυμίας. εἰσιγάρ τινες λόγοι, οἱ ἕλκοντες
αὐτό ὡς ἀντωνυμίαν, καί μή ὄνομα. ἐπειδή
ὃν τρόπον τό ἐκεῖνος καί τό οὗτος ποιοῦσι.
τά οὐδέτερα αὐτῶν ἀποβολῇ τοῦ ν̄. οἷον
ἐκεῖνο τοῦτο, τόν αὐτόν τρόπον ἔχον καί
τό ἄλλος. οὐδέτερον ἀποβάλλει τό ν̄. σε-
σημείωται τό ἄλλο τοῦτο καί τά ὅμοια.
ἕτερος δέ λόγος ἐστί, τοῦ μή εἶναι ἀντωνυμία.
πῶς δέ ἐστιν ἀντωνυμία. λέγεται ἀντί ὀνόμα-
τος. τό δέ ἄλλος ἐστιν ἀόριστος. διότι τό
ἐκεῖνος καί τό οὗτος καί τά λοιπά, ἡ δείξιν
σημαίνει ἡ ἀναφοράν. καί ἐστιν ὄνομα καί
τό ἄλλος καί κλητικήν οὐκ ἔχει. διότι ἡ
μέν κλῆσις τῆς φύσεος μάχεται τῇ σημασίᾳ
τοῦ ὀνόματος. καί διά τί μάχεται. διότι ἡ
μέν κλητική πρός παρόν ἐστι πρόσωπον καί
γνωριζόμενον. τό δέ ἄλλος ἀναιρουμένου τινος
καί εἰπόντος.

Ἄλλος. παρά τό ἄλαλος. καί κατά συγκο-
πήν ἄλλος. τό δέ ἄλαλος παρά τό λαλῶ

λαλος· καὶ μετὰ τοῦ ς ἐρευτικοῦ ᾱ καὶ πρὸς δέ ἕτερου Λ. ἄλλος. δηλοῖ δὲ ὄνομα ἀόριστον καὶ ξένον.

Ἄλλος. ἀντωνυμία ἐστὶν ἡ ὁπ ἀόριστος. ἔστι δὲ αὐτῆς ἀντωνυμίας. ἡ δεῖξιν δηλοῖ, ἢ ἀναφοράν. ἄλλος καὶ τὴν κλητικὴν ἂν ἔχει, ἐγράφη. ἀλλ' ὅτι. οἱ καὶ ἄλλο. τοῦτο ἐγράφη ὁ πλ.

Ἀλλοπρόσαλλος. ὁ διπρόσωπος. ἢ ὁ ὢν μετάβλητος. καὶ εὐάρμοστος.

Ἀλλότειος. πλεοναζόμενου τοῦ τ. ἀλλόφιος γάρ ἐστὶν. οἷον. ὁ ἄλλων ὑπάρχων ὄφιων.

Ἀλλότριος παρὰ τὸ ἄλλος καὶ τὸ ὄρος. ὁ δηλοῖ τὸν ὁρισμόν. ἀλλόριός τις ὢν. ὁρίζει ὁ ἄλλην ὁρισμὸν ὑπάρχων. καὶ πλεοναζόμενου τοῦ τ. ἀλλότριος.

Ἀλλόφυλος. ἐκ τοῦ ἄλλος καὶ τῆς φυλῆ.

Ἄλλως ἐπίρρημα μεθότητος. δηλοῖ τὸ μάταν. ἄλλως ἄρα ἐξηπατημένοι ὑπὸ τῶν πρεσβυτέρων. Ἀριστοφάνης. παρὰ τὸ ἅλος τὸ μάταιος. δαιμόνιε φρενῶν ἅλη διεφθαρμένε. παρὰ τὸ ἅλος. ἅλων ἅλη. δηλοῖ τὸ μάταιον. καὶ ἀιολικῶς μετὰ διπλασιασμοῦ τοῦ λ. καὶ δυσολῶ. καὶ ἄλλης. ἰώλλαδι γὰρ οἱ Αἰολεῖς τὰ ἀμεταβόλα διπλασιάζειν καὶ δυσέλλειν τὰς ὑποκειμένας βυλλαβάς.

Ἄλμη. ὡς βπτε παρὰ τὸ τεύχος γίνεται τεῦγμη οὕτω καὶ παρὰ τὸ ἅλος γέγονεν ἅλμη. καὶ παρεμπίπτει τοῦ κ. ἅλμη. ὡς ἀπὸ τοῦ ἁλς

ἁλός. ἅλιμος. ἁλίμη. καὶ συγκοπῇ, ἅλμη.

Ἅλμη τὸ τῆς θαλάσσης ὕδωρ λέγει. ἅλμη καὶ τὸ ἐξ ἁλῶν. καὶ ποτίμου κεκράμμενον ὕδατος. παρὰ τὴν ἁλὸς γενικήν. ὡς παρὰ τὸ κῦδος κυ=δίμος. ἁλὸς ἅλικος. καὶ ἁλίμη. ὡς εὐφρόντος εὐφρόνη. καὶ συγκοπῇ, ἅλμη. ἅλιμος.

Ἁλμυρός. ὁ ἅλμης μετέχων. ὡς τόλμη. τολ=μηρός. ἄτη ἀτηρός. ἅλμη. ἁλμηρός. καὶ τρο=πῇ τοῦ η εἰς υ ἁλμυρός. ὡς τῆρος. τυρός. ἢ κυρίν τίθεται ἡ λέξις. ἐπὶ τῶν εἰς ἅλα μυρομένων ποταμῶν. ὅ ἐστιν ἐκχεομένων.

Ἅλμη. ὄνομα προσηγορικόν. παρώνυμον. οἱ μὲν τὴν ἁλός. ἅλιμος. ὡς κυδιμος. τὸ θη=λυκὸν ἁλίμη. ὡς κυδίμη. καὶ ἐνδεία τοῦ ι ἅλμη. γέγονε δὲ ἀπὸ τῆς ἁλός. ὡς ἄφρονος. ἀφρόνη. ἀμυμονος. ἀμυμόνη. ἐπενθέσει τοῦ μ. ἅλμη.

Ἁλοσύδνη. ἡ κατὰ τῆς ἁλὸς δυνοῦσα. εἴ=ρηται γὰρ οὕτως ἐπ' αὐτῆς. ὦ ἁλοσδυνη. καὶ ὑπέρθεσιν ἁλοσύδνη. ἐπὶ μὲν τῶν Νηρηΐδων καὶ τῶν κωφ οὕτως. ἐπὶ δὲ τῆς θαλάσσης, εἴρηται οὕτως. ὡς γηθόσυνος γηθοσυνος. καὶ ἀλόσυνος ἀλοσυνη. καὶ πλεο=νασμῶ τοῦ δ ἁλοσύδνη.

Ἁλοσύδνη. καὶ ἐπὶ αὐτῆς τῆς θαλάσσης καὶ ἐπιθετικῶς ἐπὶ κωφ. ἁλοσδυνη τίς οὖσα. ἡ κατὰ τῆς ἁλὸς δυνοῦσα. καὶ ἐν ὑπερθέσει ἁλοσύδνη. καὶ τοῦτο ὅτε ἐστὶν

ἐπίδετον ἀφαιρεῖται. ὅτε δὲ ἀφ' ἑαυτῆς τῆς
λαλάβης, παρὰ τὴν ἄλα. ἁλόδωρος. καὶ
ἁλοβωλη. καὶ πλεοναζομ τὸ δ. ἁλοδύδνη.
Ἁλμυρός. εἰς τὸ ἄτρυτος. τὸ ἁλμυρὸς τροπῇ
τοῦ η εἰς υ.
Ἄλογον. διὰ τὸ ἀμοιρον τοῦ λόγου ἢ μὴ ἔχον
λόγον. ἄλογον διὰ τὸ μὴ ἔχειν λόγον.
Ἄλοχος. τὸ ᾱ δημαντικὸν ἐστὶν τοῦ ὁμοῦ τοῦ
ἅμα. ἢ ὅθεν ἄλοχος. ὁμόλεχός ἐστι. καὶ ἀγά-
λακτες οἱ ἀδελφοί. ὁμογάλακτες τίνες. οἱ
τὸ αὐτὸ γάλα θηλάσαντες.
Ἄλοχος κυρίως. ἡ ἑτέρου λέχους ἄπειρος. ἢ
ἡ ἐκ παρθενίας. καταχρηστικῶς δὲ καὶ ἡ οἱασ-
δήποτε ὁμόλεχος. τὸ ᾱ, τὸ ὁμοῦ δηλωτικός.
Ἄλοχος γυνή. γαμετή, καὶ κατ' ἐπίβιν τὸ
ᾱ ἐνταῦθα. οἱονεὶ πολύλοχος τις ἦν.
Ἄλς. ἡ θαλάσσα παρὰ τὸ ἅλος καὶ θωρηχθε-
μένον καὶ ἡλοιθμένον. καλλιχος. εἰς τὸ
πρὸ τείχους ἱεροῦ. ἁλεῖς δικτυ. καὶ τὸ
ἅλις τὸ δημαῖνον τὸ ἀρκοῦν. καὶ τὸ ἁλεὶς
τὸ δυσεαφεῖς. ἄλλο οὖν τὸ δυσεαφὲς καὶ θωρη-
χθεισμένον ὕδωρ.
Ἁλουεγὶς. παρὰ τὸ ἐκ τοῦ κόχλου τῆς θα-
λάσσης βαφῆναι.
Ἁλοίω καὶ ἁλοιῶ. διαφέρει. ἁλοίω μὲν δη-
μαίνει τὸ τυπῶ καὶ βαφὴν ἐξ οὗ καὶ
παρεαλοίας. καὶ ὄμηρος.
γέαν. πολλοὶ δὲ καὶ γαῖαν πολυφλοίσβοιο ἁλοῖξαι.
καὶ ἁλοιᾶ περιθπωμένον τὸ μετὰ ποιῶ καὶ

μεταπλάσσω. ὡς τὸ αὐτὴ ἡ ἀλλοίωσις τῆς δεξίας.

Ἀλοσύδνης. τῆς θαλάσσης. οἱ δὲ τῆς Ἀμφιτρί:της. ἀπὸ τοῦ ἐν ἁλὶ σεύεσθαι. ὅ ἐστιν ἐν θα:λάσσῃ ὁρμᾶν.

Ἄλοξ. ἡ αὖλαξ. Εὐριπίδης. μὴ σπεῖραι τέκνα ἄλοκας. παρὰ τὸ αὖλαξ. ἐκλείψει τοῦ υ καὶ τροπῇ τοῦ ᾱ. εἰς ο̄.

Ἀλοσύδνη θαλάσσιον θήριον. παρὰ τὸ εἰς ἅλα δύειν. ἐπὶ τῶν νυμφῶν.

Ἄλοχος. ἡ γαμετή. οἷον ὁμόλεχος καὶ ὁμό:κοιτος τὶς οὖσα. καὶ εἰς τὸ λέχω

Ἀλλοιῶ τὸ μεταβάλλω. καὶ μεταμορφοῦμαι. ὡς τὸ αὕτη ἡ ἀλλοίωσις. καὶ ἀλλοίω τὸ τύπτω. ἐξ οὗ καὶ πατραλοίας ὁ τὸν πατέρα τύπτων.

Ἆλτο. ἐπειδὴ ῥῆμα χρόνιον μέσου ἀορίστου ᾱ. τρίτου προσώπου τῶν ἑνικῶν. ἅλλομαι τὸ πηδῶ. ὁ ἀόριστος ἦλα. καὶ ὁ μέσος ἀόριστος ᾱ, ἠλάμην. ἤλω. ἤλατω. καὶ ἐν συγκοπῇ ἦλτο καὶ ἆλτο. οἱ ἴωνες καὶ οἱ ποιηταί. συγκοπῇ.

Ἀλύειν. τὸ δυσφορεῖν παρὰ τὸ μὴ λύσιν τῶν κακῶν εὑρίσκειν. σημαίνει καὶ τὸ χαίρειν. παρὰ τὸ ἅλω τὸ πλανῶ ἀλύω. περιπλανῶν:ται γὰρ αἱ ψυχαὶ καὶ τῶν χαιρόντων. ὡς τῶν λυπουμένων.

Ἀλύειν. τὸ συμφορεῖν καὶ λυπεῖσθαι. σημαίνει δὲ τὸ ἐπαίρεσθαι καὶ χαίρειν.

Ἀλύειν. τὸ δυσφορεῖν καὶ λυπεισθαι. παρὰ τὸ λύσιν τῶν κακῶν εὑρίσκειν. καὶ ἀλύω τὸ χαίρω

τὸ ῡ ψιλόν· ὡς τὸ ἡ ἀλύεις· ὅτι ἶρος πτωχὸν ἐνίκησας.

Ἀλύειν· παρὰ τὸ ἀπορεῖν· καὶ ἐν πλάνῃ ἔχειν τὴν ψυχὴν ἢ τὸ ἀλύπῃ αὐτὴν ἔχειν· καὶ συνδεδεμένην.

Ἄλυς· πόταμος ἐν Παφλαγονίᾳ· κατὰ Σινώπην· χωρίζων χάλυβας καὶ λευκοσύρους τοὺς ἐν τῷ πόντῳ

Αἴριν δὲ αὐτὸν λέγει καλλίμαχος· ἐστὶ δὲ μεταξὺ Σινωπέων καὶ ἀμϊσέων· εἴρηται δὲ ἄλυς· οἱονεὶ ἄλης τίς ὤν· καὶ πλανήτης· πολλὴν γὰρ διοδεύει γῆν· τροπῇ τοῦ η εἰς υ ὡς ἅλμη· ἁλμυρός.

Ἀλύσιον· εἰς τὸ ἀλύσϊον· λύσον παρὰ τὸ τοὺς λυσσῶντας ὀνεῖν· ἐστὶ δὲ εἶδος βοτάνης ἐν ταῖς ὁδοῖς φυόμενον πορφυροῦν ἐχούσης φύλλα· λύσις· ἡ ἐκ χαλκοῦ, σιδήρου ἢ ἄλλου τινὸς πεπλεγμένη σειρά.

Ἄλφα· παρὰ τὸ ἀλφῶ τὸ εὑρίσκω· ὅθεν καὶ ἀλφεῖν τὸ ζητεῖν καὶ εὑρίσκειν· ὡς

——— πρῶτον εὕρεθεν ἀνδράσιν ἀλφιστῆσιν.

Ὅμηρος· διὰ τί ᾗ λέγεται· κατὰ τοῦ ἄρθρου τὸ ἄλφει· ἐπειδὴ δείξις ἐστὶ πρώτη· καὶ ἀντὶ τοῦ α ἄρθρου· ἀλφεῖν εἰς τὸ τϊμαλφέστατον.

Ἆλτο· μέσου ἀορίστου τρίτου προσώπου τῶν ἑνικῶν κατὰ συγκοπὴν γέγονε· ἐστὶ τὸ θέμα αὐτοῦ ἄλλω· ὁ μέλλων ἀλῶ· ὁ ἀόριστος ἦλα· ὁ μέσος ἠλάμην· καὶ τὸ τρίτον τῶν ἑνικῶν ἤλατο· καὶ κατὰ συγκοπὴν καὶ συστολὴν

του η̄ εἰς ᾱ. ἆλτο. καὶ μετὰ τὴν συγκοπὴν μετέπεσεν ἡ δασεῖα εἰς ν̄. τὸ γὰρ ᾱ καταλῆγον εἰς ν̄. ἕνος συμφώνου τῆς τρίτης συζυγίας ἐπιγενόμενος. ψλῦται.

Ἀλφειός. δίφθογγον. καὶ γὰρ ἀλφεός.

Ἀλφηστής. ζητητὴς παρὰ τὴν ἐλπίδα καὶ τὸν λογισμόν. οἷον ἀμειπτικὴ. ἀλφαίνειν γὰρ τὸ ἀντικαταλάσσεσθαι καὶ ἀμείβειν μόνοις τοῖς ἄνοις πρόσεστι τὸ ἀμειπτικοὺς εἶναι.

Ἀλφειὸς λέγει ὁπότε παρὰ τὸ θεραπεύειν τοὺς ἀλφοὺς ἤγουν τὰς λέπρας. ἢ παρὰ τὸ ἄλφειν. ὅ ἐστιν ὠφελεῖν. ὠφείλιμον γὰρ αὐτοῦ τὸ ὕδωρ.

Ἀλφηστής. παρὰ τὸ ἄλφειν. ~~ὅ ἐστιν ὠφελεῖν.~~ τὸ καταλαμβάνειν.

Ἀλφηστής. εὑρετής. ἐκ τοῦ ἀλφῶ τὸ εὑρίσκω. ἀλφήσω γίνεται ἀλφηστὴς ὁ εὑρετικός.

ἐξ οὗ καὶ ἀλφεσίβοιαι (αἱ λαμβανοῦσαι ἐδ:ναν γυναῖκες. ἀλφεσίβοιαι.

Ἄλφιτον τὸ παχὺ ἄλευρον. παρὰ τὸ ἀλφαί:νειν ἡ πρώτη εὑρεθεῖσα τροφή.

Ἀλφὸς ὁ λευκός. παρὰ τὸ ἀλλοφανὴς τις εἶναι.

Ἀλφὸς τὸ πάθος. ἀλλοφὸς τῖς ὤν. ἀλλοιο:φανὲς τὸ χρῆμα ποῖ. λέγεται γὰρ τὸ ἀλ:λοῖον καὶ ἔτρ(ι). καὶ ἐπὶ τῶν χεῖρ(ι) ἐξηλ:λαγμένων.

Ἀλωπεκίας τὸ πάθος τὸ ψιλωτικὸν τῶν τριχῶν καὶ τῶν γενείων. ἀπὸ τῆς ἀλώπεκος

μεταφορικῶς. ἡ γὰρ ἀλώπηξ τὸ ζῶον ἔνθα
ἂν οὐρήσῃ. τὸν τόπον ἄκαρπον ποιεῖ.
ξηραίνουσα τὴν προϋπάρχουσαν βοτάνην.
καὶ ἑτέραν ἀναβλαστήσασαν οὐ συγχωρεῖ.
Ἀλῶ σημαίνει τὸ πλανῶ συντιθὲν ἐκ τοῦ
λῶ τὸ θέλω, μετὰ τοῦ στερητικοῦ ᾱ. ἀ:
:λω τὸ συλλάβω. ὅμηρος. ἁλωνῆας νῶτους
τόπους ἔνθα ὁ πυρὸς πατεῖται. τουτέστιν
ἁλωνᾶται. σημαίνει δὲ τὴν δένδρόρον γῆν.
γέγονε δὲ παρὰ τὸ ἀλλοίω. ἔστιν ἄλλωῆ.
διὸ σῶ τῶ ῑ γράφεται. τὸ δὲ ἅλωας ἀπὸ
τῆς ἅλς ἐστὶν ἄνευ τοῦ ῑ.
Ἀλῶ. τὸ κρατῶ. ἀφ' οὗ καὶ τὸ ἀλώμην. οὗ
ὁ δεύτερος ἀόριστος ἤλων ἤλς ἤλω. ὃ γίνεται
ἐάλω. ἐν διαιρέσει. ἐάλω.
Ἀλώπηξ. παρὰ τὸ ἀλῶ τὸ πλανῶ ἀλώπεκος
ὁ κανῶν.
Ἀλώπηξ. ὅτι ἀλλοιωπεῖ τὰς ἕξεις. ἢ ὅτι ἀλ:
:λοιωπεῖ τὴν ὅρασιν καὶ τοὺς ὀφθαλμοὺς
Ἀλῶναι. παρὰ τὸ ἐν ἁλὶ ληφθῆναι. κυρίως
δὲ ἐπὶ τῶν ἰχθύων
Ἅλως ἡ ἅλω. ἡ λέγεται παρὰ τὴν τῶν ἀσταχύ:
:ων ἀλλοίωσιν.
Ἅλωσις. ἐκ τοῦ ἁλῶ τὸ πορθῶ τοῦτο ἐκ τοῦ
ἅλς. ὃ σημαίνει τὴν ἅλωνα. εἰς αὐτὴν γὰρ
πορθοῦνται καὶ συντρίπτονται οἱ στάχυες.
τοῦτο ἐκ τοῦ ἅλω. τὸ συναθροίζω. ἐξ οὗ
καὶ δασύνεται τοῦ ἅλς. ἁλός.

Ἄλωνη. τὰ βάρβαρα ἀνδράποδα. τοὺς γὰρ ἄλ
διδόντες τοῖς θρῄξιν, ὠνοῦνται τὰ ἀνδράποδα.
περικλίνεται ἡ ἄλων τῆς ἄλωνος. τῇ ἄλωνι.
τὴν ἄλωνα. ὦ ἄλων. εἰ δ' ἀττικῆς κλίνομεν.
φαμὲν. ἡ ἄλς. τῆς ἄλω. τὴν ἄλω. τὴν ἄλων
ὦ ἄλω.

Ἅμα. ἐπίρρημα συλλήψεως. γίνεται δὲ ἐκ τοῦ
θαμά. διὰ τί δασύνεται. ἀναχωρήσει τοῦ θ.
ἔμεινεν ἡ ἀκολουθοῦσα δασεῖα. βαρύτονον.

Ἅμα παρὰ τὸ θαμὰ τὸ συνεχές. κατ' ἀφαίρεσιν
τοῦ θ. τὸ γὰρ πικνῆς γινόμενον, κατὰ τὸν αὐ-
-τὸν τελεῖται χρόνον. ὅμηρος.

——— ἅμα δὲ ἠελίῳ καταδῶτι.

μετοχή. ἀόριστος β.

Ἅμα καὶ ὁμοῦ διαφέρει. ἅμα μὲν γὰρ ἐστιν
χρονικὸν ἐπίρρημα. ὁμοῦ δὲ τοπικόν. Σώλων
μὲν γάρ, ἅμα μὲν ἐγένετο Ἀναχάρσιδι τῷ
Σκύθει. ὥστε κατὰ τὸν αὐτὸν χρόνον ἤκμασεν.
ὁμοῦ δὲ οὐκέτι. οὐδὲ γὰρ ἐν τῷ αὐτῷ τόπῳ
ἐγεννήθησαν. ἀλλ' ὁ μὲν Ἀθήνησιν. ὁ δὲ ἐν
Σκυθίᾳ. καὶ ὅμηρος δὲ διαστέλλει.

Ἔνθ' ἅμ' οἰμωγήτε καὶ ἐυχηλὴ πέλεν ἀνδρῶν.

κατὰ τὸν αὐτὸν χρόνον. καὶ

Αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι καὶ
οἱ δ' ἅμα πάντες ἐφ' ἵπποισι μάστιγας ἦραν.

Ἅμα ἐπίρρημα συλλήψεως. ἢ ἀθροίσεως. διαφέ-
-ρει τὸ ἅμα τοῦ ὁμοῦ. ὅτι τὸ ἅμα ἐπὶ χρό-
-νου τάσσεται. τὸ δὲ ὁμοῦ ἐπὶ τόπου.

——— ἅμα δ' ἠελίῳ καταδῶτι.

ὁμοῦ. ὥς.

—— ὁμοῦ δὲ τράφεν ἠδ' ἐγένοντο.

τὸ δὲ. εἰδὴ ὁμοῦ πόλεμός τε δαμᾶ. καὶ ἐνταῦ=
=θα τοπικόν ἐστιν. τὸ δ' ἅμα δασύνεται. ὥσπερ
γὰρ παρὰ τὸ χάζω τὸ ὑποχωρῶ γίνεται. κατὰ
ἀποβολὴν τοῦ θ' ἅμα. τὸ γὰρ πυκνὸν καὶ ἐπ=
=άλληλον ἅμα γίνεται καὶ ἐν τῷ καιρῷ βαρύ=
=εται. τὰ εἰς ᾱ λήγοντα ἐπιρρήματα ἅπαντα
βαρύνονται οἷον ὦκα. τάχα. σάφα. λίγει, λιπεῖ,
χωρὶς τοῦ θαμά. ὁμοῦ δὲ σημαίνει, ὧν ἡ γένη=
=σις ἐν τῷ αὐτῷ χρόνῳ.

—— ὁμοῦ δ' ἔτραφεν ἠδ' ἐγένοντο.

Ἅμα παρὰ τὸ θαμά, ἅμα. κατὰ ἀνάδοσιν τοῦ
τόνου. διαφέρει δὲ ἅμα. τοῦ ὁμοῦ. ἅμα μὲν
γὰρ ἐστὶ χρονικὸν ἐπίρρημα. ὁμοῦ δὲ τοπικόν.
Ἅμα ἐστὶν ἐπίρρημα ἀθροίσεως. καὶ συλλήψεως.
καὶ ἡνίκα σημαίνει ἐπὶ τοῦ τόπου ἐστὶ συλ=
=λήψεως. οἷον ἅμα γενόμεθα ἐν τῷ οἴκῳ. ἢ
ἐν τόπῳ. ἡνίκα δὲ σημαίνει ἐπὶ λαοῦ ἀθροί=
=σεως.

Αὐτὰρ ἅμα κόσμηθεν ἅμ' ἡγεμόνεσιν ἕκαστος.

Ἅμα καὶ ὁμοῦ διαφέρει. ὅτι τὸ μὲν ἅμα ἐπὶ
καιροῦ τάσσεται, τὸ δὲ ὁμοῦ ἐπὶ τόπου. οἷον
ἁμὰ δ' ἠελίῳ καταδύντι.

ὁμοῦ δ' ἐτράφημεν παρ' ἡμετέροισι δόμοισι
γίνεται δὲ ἐκ τοῦ θαμὰ ὃ σημαίνει τὸ πυκνὸν.
ἀποβολὴ τοῦ θ', ἅμα. τὸ γὰρ πυκνὸν καὶ ἐπ=
=άλληλον ἅμα γίνεται. καὶ ἐν τῷ αὐτῷ καιρῷ
βαρύνεται. τὰ εἰς ᾱ λήγοντα ἐπιρρήματα
δισσύλλαβα ἅπαντα βαρύνονται. οἷον ὦκα.

ταχει. σάφα. λίγει. λίπει. χωρίς τοῦ θαμά.
ἃ δὲ σημαίνει ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ.
δασῶεται. ἀναχωρήσαντος οἰῶ τοῦ θ. ἔμεινεν
ἡ ἀναλογοῦσα τοῦ θ δασεία.
Ἀμάδιος. ἐπιρρηματικὸν ἐκ τοῦ ἅμα. ἀμάδιος.
Ἀμαζόνις. ἡ εὐθεῖα. ἡ ἀμαζών. ἐκλήθη δὲ ἐκ
τοῦ μαζός. καὶ τοῦ στερητικοῦ ᾱ ἀμαζών. πρὸς
γὰρ τὸ μὴ ἐμποδίζεσθαι αὐτὰς ἐν τῷ τοξεύειν
τὸν ἕνα αὐτῶν μαστὸν ἀπέκοπτον. ἢ ὅτι
λαμβάνουσαι ζώνην καὶ πανοπλίαν ἐξερχό-
-μεναι ἤμων καὶ ἐθερίζον. ὥστε αὐτὰς κλη-
-θῆναι παρὰ τὸ ἐν ταῖς ζώναις ἀμᾶν. ἢ ὅτι
μαζοῦ καὶ τροφῆς οὐ μετεῖχον. ἀλλ' ὄφεσι καὶ
ἄλλοις τισὶ θηρίοις ἐτρέφοντο. ἢ παρὰ τὸ
μάζαις μὴ χρᾶσθαι ἐπὶ ἡμέραις τροφαῖς.
ἀλλ' ὄφεσι καὶ σαύραις καὶ χελώναις.
Ἀμαζών. παρὰ τὸ μάζαν μὴ χρᾶσθαι μήτε
ἡμέρῳ τροφῇ. ἀλλὰ σαύραις καὶ ὄφεσιν. ὅθεν
αὐτὰς καὶ σαυροπεδίδας κληθῆναι. παρὰ τὸ
σαύρας πατεῖν καὶ ἐσθίειν. κατὰ δὲ μετάθε-
-σιν τοῦ π εἰς τὸ δ σαυροπεδίδας κληθῆναι.
Ἀμαζών ὄνομα ἐθνικόν. παρὰ τὸ ἕνα μαζὸν
ἔχειν. τὸ γὰρ ᾱ ἐν ταῦθα. τὸ ἓν δηλονότι
δηλοῖ. μαζόνες. οἱ πένητες. οἱ μάζαν μὴ
ἔχοντες, ἤτοι τροφήν.
Ἀμάδιος. ἐπιρρηματικόν. ἅμα τὸ πάρελθειν.
ἀπὸ τῆς ἅμα παραγωγῆς καὶ τοῦ διός. καὶ πο-
-λὺς ὁ τοιοῦτος χαρακτήρ.
Ἀλώ. σημαίνει τὸ παθητικὸν ἁλῶμαι

ἁλώμενος μετοχή παρὰ τὸ λώ γέγονεν ἀφαι-
-ρέσει ἀπὸ τοῦ θέλω· τὸ αὐτὸ σημαίνει· ὅπερ
κατὰ σύνθεσιν τὸ ἁλῶ· οἱ γὰρ πλανώμενοι.
ὧν οὐ θέλουσιν ἐπιτυγχάνουσιν· ἁλῶ τὸ
συλλαμβάνω· ὅπερ ὅμηρος ἁλώω ἔφη· ἧκεν
ἁλώω· παράγεται δὲ ἀπ' αὐτοῦ καὶ τὸ ἁλίσ-
-κω· εἴρηται παρὰ τὴν θάλατταν· ἀπὸ τοὺς
κατὰ θάλατταν λαμβανομένους, πρῶτον ἁλίσ-
-κεσθαι νομίζοντες.

Ἀμαθής· παρὰ τὸ μὴ ἔχειν μάθησιν μέτρου.

Ἄμαθος· ἡ τῆς πεδιάδος ἄμμος· ἢ κόνις· ἧς
οὐκ ἔστι μαθεῖν μέτρον ἢ ἀριθμόν.

Ἀμαθύνειν· παρὰ τὴν ἄμμον ἢ κόνιν ποιεῖν.

Ἀμαθύνειν· παρὰ τὴν ἄμαθον κόνιν ποιεῖν.
ὅμηρος.

Ἄνδρα μὲν κτείνουσι πόλις καὶ πῶρ ἀμαθύνει.

Ἀμάλη· ἁπαλή· ἡ δὲ λέξις Μακεδόνων· ὅθεν
καὶ προμάλη εἴρηται· ἡ πρὸ τοῦ δέοντος
αὐξομένη μυρίκη· μάλειν γὰρ τὸ αὔξειν· καὶ
ὁ τρίχων ἔχων αὔξησιν μάλη.

Ἄμαξα· ἀπὸ τοῦ ἅμα ἄγειν ἁμαάξ τίς οὖσα·
καὶ ἄλλως ἄξω, ἄξα, ἄμαξα σύνθετον.

Ἄμαξα· παρὰ τὸ ἄγω· ἄξω καὶ ἄμαξα·
παρὰ τὸ ἅμα ἄγειν· ὡς δόξω δόξα· βήσσω
καὶ βήσσα· καὶ γνώω γνώσσα· καὶ ἀμοιβῆ
καὶ διπλασιασμῶ γλώσσα· ἢ παρὰ τὸ ἄγεσθαι,
ὑπὸ τῶν ταύρων.

Ἄμαξα παρὰ τὸ ἄγω ἄξω καὶ ἄμαξα· ὡς
ὁμοῦ ἄγουσα· μαξητόν· ὁδόν· σημασίαν· καὶ

ἄλλως ἄξω ἄξει καὶ ἄμαξα σωθετον.

Ἀμαιμάκετος. ὁ μακρὸς παρὰ τὸ μῆκος. καὶ ὅμηρος ἱστὸν ἀμαιμάκετον. ἐκ γὰρ τοῦ μῆ:κος γίνεται μαμάκετος. καὶ πλεονασμῷ τοῦ ῑ μαιμάκετος. καὶ κατὰ τοῦ ἐπιτατι:κοῦ ᾱ ἀμαιμάκετος.

Ἀμαιμάκετον δὲ ἄμαχον. ἀνυπόστατον. μακρὰν. καὶ φοβερὰν ἢ ἀπροσμάχητον καὶ μεγάλην. ἀπὸ τοῦ μαιμῶ ὃ σημαίνει τὸ προθυμοῦμαι. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ. ἀμαιμάκετος.

Ἀμαλδῶσαι. παρὰ τὸ μαίρω μαρῶ. ἀφ' οὗ μαραίνω. κυρίως δὲ τὸ διὰ πυρὸς ἀφανί:σαι.

Ἀμαλδῶσω. τὸ διὰ πυρὸς ἀφανίζω. μαίρω. τὸ λάμπω. ὃ μέλλων μαρῶ. μαλῶ. ἀμαλῶ. παράγωγον ἀμαλῶσω. καὶ πλεονασμῷ τοῦ δ̄. ἀμαλδῶσω.

Ἀμαλθείας κέρας. τὸ θεῖ δίφθογγον. ἡ Ῥεα τέκουσα τὸν δία, δέδωκε τῇ ἀμαλθεῖα τρέφειν. ἡ δὲ μὴ ἔχουσα, αἰγὶ ὑπέβαλεν αὐτόν. ὅθεν αἰγιοῦχος ἐκλήθη. ὁ τοίνυν Ζεὺς τὴν μὲν αἶγα καθιστόρησεν ἐν τῷ ὀυῶ. τὸ ἓν τῶν κεράτων ἀφελῶν τῇ Ἀ:μαλθείᾳ δέδωκε. παρασκευάσασα αὐτὴν γενέσθαι πᾶν ὅπερ αἰτήσει διὰ τοῦ κέρατος. ὅθεν καὶ τοὺς εὐδαίμονας ἀμαλθείας κέρας ἔχειν φαμέν.

Ἀμαλθεία. ἡ τροφὸς τοῦ Διός. Καλλίμαχος

——— σὺ δὲ θήσας πίονα μαζὸν

Αἰγὸς Ἀμαλθείας

εἰσί δ' οἵ φασί πεπλᾶσθαι τό ὄνομα.
εἶναι γὰρ αὐτήν ἀμαλακιστίαν. παρὰ τό μή
μαλάσσεσθαι. διά τοῦτο καί τόν Ἡρακλέα
καρτερικώτατον γενόμενον ἔχειν αὐτῆς τό
κέρας ἐμυθολόγησαν.

Ἀμαμαξύς. ἡ ἀναδενδράς. παρὰ τό ἀμμίξ
:αι. ἡ συνδεδεμένη. ἀναδεσμοῦται γὰρ
αἱ ἀναδενδράδες. ἀμαξύς. καί πλεονασ
:μῷ τοῦ ᾱ ἀμαμαξύς.

Ἀμᾶν. εἰς τό ἅμη. καί ἀμῶ.

Ἀμᾶν. παρὰ τό ὁμοῦ ἐπισπᾶν. ἤτοι κόπιειν
ἐπί τό θερίζειν. μάρα. ἁμάρη. ἡ ὑδρορρό
:ας. παρὰ τό μή ἐᾶν τά πεφυκότα αὐτῇ
μαραίνεσθαι. καί εἰς τό ἀμαρυγάς.

Ἀμάραντον. παρὰ τό ἀμβρεῖν. ὅτι οὐκ ἐᾶ
τά πεφυκότα αὐτῇ μαραίνεσθαι. μάρας. ὀ
:χετός. ἢ τάφρος. ἢ ὑδρορρόη. διά τό ἐν
αὐτῇ ὄντα φυτά. ἀμάραντα. ἢ παρὰ τό
ἅμα καί ὁμαλῶς ῥεῖν. ἢ παρὰ τό τῇ
ἄμῃ αἴρεσθαι. καί ὀρύττεσθαι. ἄμη δέ ἐστιν
ἐργαλεῖον οἰκοδομητικόν.

Ἁμαρτή. ἐπίρρημα τό ὁμοῦ. καί φησίν
Ἀρίσταρχος, ἐκ τοῦ ἁμαρτήδην. κατά ἀπο
:κοπήν ἁμερτή. καί ὀξύνεται. ἀντίκειται
δέ αὐτῷ ἡ παραδοσίς. μετά τοῦ ῑ οὖσα.
ὁ δέ Ἡρωδιανός, ἐκ τοῦ ἅμα καί τοῦ ἀρτῶ
ἁμαρτή καί ὁμαρτή. πόθεν ἁμαρτία. ἐκ
τοῦ βροτός βρωτία. καί μετά τοῦ στερητικοῦ

ἀ ἀβεωτία· καὶ ἁμαρτία· μαρτία· ἢ ἀπο-
στοχία τοῦ ἀγαθοῦ· παρὰ τὸ μάρπτω τὸ
καταλαμβάνω· μερτία· καὶ ἁμαρτία· ἢ
ὃ βούλεται μὴ μὴ πλέον· ὅ ἐστιν ἐπιτελέ-
σαι· ἔνθεν καὶ μάρτυς ὁ μάρψας καὶ εἰδώς·
τὸ ἁλιεύς· ἢ ἀπαρτία παρὰ τὸ ἄρω τὸ
σημαῖνον τὸ ἁρμόζω· πόρρω ὤν τε
συνεμβαλεῖν ὃ βούλεται· τῆς ἀπὸ τοῦ ἀπόλλυ-
μι ὀλοθρεύς· μαρτοκτῆς· ζώντι εἰς τὸ δαίφρων·
τὰ παρὰ τὸ ἁμαρτῶ συντελούντα· διὰ τοῦ
ο μικροῦ καὶ διὰ τοῦ ι γράφεται· διὰ μὲν
γὰρ τοῦ ο· μικροῦ· ὡς τὸ ἁμαρτοκτόνος διὰ
δὲ τοῦ ι· ὡς τὸ ἁμαρτίνοος·

Ἁμαρτῶ· εἰς τὸ νημερτής·

Ἁμαρτωλοί· ἐκ τοῦ ἅμα ἐπιρρήματος καὶ
τοῦ ἀρτῶ ῥῆμα τὸ συμαῖνον τὸ ἀποχωρίζο-
μαι· ἅμα ἀρτῶ· καὶ ὢν συγκοπῇ ἁμαρτῶ· καὶ
ἁμαρτωλός· ἔχει δέ καὶ τὸ ι προσγεγραμμένον·
καὶ ὁμηρος·

——— ἁμαρτὴ δ' ἔζετο πατρί·

Ἁμαρτάς· ἡ ἁμαρτία·

Ἁμαυγάς καὶ ἀμαυρώματα· τὰς τῶν ὀφθαλ-
μῶν ἐκλάμψεις· σημαίνει δὲ καὶ τὰς τοῦ
προσώπου εὐτιδάς· αἵτινες φέρονται διὰ τὸ
ἁμαυραὶ καὶ ἀλαμπεῖς εἶναι· ἢ παρὰ τὸ ἀμά-
ειν ἐοικέναι· τουτέστιν ὀχετοῖς· ὥσπερ γὰρ
ἐκεῖναι τὸ ὕδωρ· οὕτως αὗται τὸν ἱδρῶτα
μετάγουσιν ἐπὶ τὰ κατώτερα μέρη τῆς —

κεφαλῆς. ἡ δὲ ἔκλαμψις εἴρηται, παρὰ τὸ ἁμα-
-ρύσσω. ἀπὸ γὰρ τὸ μαίρω τὸ λάμπω γίνεται
μαρμαίρω. ἐν διπλασιασμῷ. εἶτα παράγωγον
μαρύσσω. πλεονασμῷ τοῦ ᾱ ἁμαρύσσω. καὶ
ἐξ αὐτοῦ ἀμάρυγμα.

Ἀμαρίσσειν. φωτίζειν. παρὰ τὸ μαρίσσω. καὶ
κατ' ἐπέκτασιν ἀμαρύσσω. παρὰ τὸ μαρμαρ).
τοῦτο δὲ παρὰ τὸ μαρμαίρω τὸ λάμπω. ἢ
παρὰ τὸ μαίρω. μαρμαίρω. κατὰ ἀναδιπλα-
-σιασμόν. καὶ εἰς τὸ μαρφῶ.

Ἀμαυρός. ἐκ τοῦ μαίρω τὸ λάμπω. ἐξ οὗ καὶ
μαρμαίρω. ἐκ τοῦ οὖν μαίρω τὸ λάμπω. γί-
-νεται μαιρός. καὶ τροπῇ τοῦ ῑ εἰς ῡ μετὰ
τοῦ στερητικοῦ ᾱ, ἀμαυρός. ἢ ὁ ἀλαμπὴς
καὶ σκοτεινός. ἐξ οὗ γίνεται ῥῆμα ἀμαυρῶ.

Ἄμαυρον. ἤτοι τὸ μὴ ὁρώμενον. ἢ τὸ μετ' αὔ-
-ρας φερόμενον. ἢ τὸ ἀλαμπὲς. παρὰ τὸ
μαίρω τὸ λάμπω. ὅθεν καὶ τὸ μαρμαίρω
τὸ λάμπω. ἢ ἐκ τοῦ μαῦρος, μαυρῶ. καὶ κατὰ
στέρησιν ἀμαυρὸς ὁ ἀλαμπὴς. ἢ παρὰ τὸ μαί-
-ρω μαρμαίρω. ὡς καίω καύσω. καὶ κλαίω
κλαύσω.

Ἄμβη. τὸ χεῖλος τῆς λοπάδος. ἢ χύτρα. παρὰ
τὸ ἐν ἀναβάσει εἶναι.

Ἄμβλυς. σίδηρος. ὁ μὴ ὀξύς. παρὰ τὸ μῶλος,
μόλυς. μετὰ τοῦ στερητικοῦ ᾱ, ἀμῶλυς. ὁ
μὴ ἐπὶ μῶλον ὁ σημαίνει τὸν πόλεμον ἐπι-
-τήδειος. καὶ συγκοπῇ τοῦ ω καὶ διὰ τὴν

ἀσυνταξίαν. προσθέσει τοῦ β̄ ἀμβλυς. ὁ μὴ εὐθετ᾽ εἰς πόλεμον. καὶ εἰς τὸ ἀμπλακήματα.

Ἀμβλυωπία. ἡ τυφλωσις ἐκ τοῦ ἀμβλυωπὸς. τοῦτο παρὰ τὸ ἀμβλυ. ὃ σημαίνει τὸ ἀσθενὲς. καὶ τοῦ ὤψ. ὠπὸς. οἱονεῖ ὁ μὴ καθαρ᾽ φς ἔχων, ἀλλ᾽ ἀσθενὲς βλέπων.

Ἀμβλυωπέστερος. ἐκ τοῦ ἀμβλυς. καὶ τοῦ ὦπα.

Ἀμβλυώπειν. τὸ τυφλώττειν καὶ μαραίνεσθαι τοὺς ὀφθαλμοὺς. ἀπὸ τοῦ ἀμβλυς καὶ τοῦ ὄσσω τὸ βλέπω. ἀμβλυόσσω. καὶ Ἀττικῶς ἀμβλυώττειν.

Ἀμβλυώττειν. τὸ μὴ ὀξυδερκεῖν Ἀττικῶς παρὰ τὸ ἀμβλεῖς ἔχειν τοὺς ὄσσους. τῶν δυο σσ εἰς τ̄ μεταβληθέντων.

Ἀμβροσία. παρὰ τὸ ἄβροτος. τοῦτο παρὰ τὸ βροτός. καὶ τοῦ στερητικοῦ ᾱ καὶ πλεονασμῶ γίνεται ἄβρωτος. καὶ τρέπεται τὸ ν̄. εἰς μ̄. τὸ θηλυκὸν ἀμβροσία. καὶ σημαίνει τὴν ἀθανασίαν. ἀμβροσία δὲ, ἡ ὄντως σοφία θεοῦ. δεῖ γινώσκειν τὴν λέξιν, ὅτι. ὅταν μὲν προπαροξυτόνως ἀναγινώσκεται, τὰ θεῖα δηλοῖ. ὅταν δὲ παροξυτόνως βρῶσιν θεῶν παρὰ τὸ βροτοὺς μὴ μετέχειν αὐτῆς.

Ἀμβρόσϊα. οἱονεὶ ἀμβροσια.

Οὐ γὰρ σῖτον ἔδουσιν. οὐ πίνουσιν αἴθοπα οἶνον. ἢ παρὰ τὸ μὴ βροτοῖς δεδόσθαι ὃ καὶ βέλτιον.

Ἀμβρόσιος. τὰ διὰ τοῦ ῑος κτητικὰ ἀπὸ τῶν πρωτοτύπων εἰς ος γινομένων εἰ μὲν

μεταβάλλουσι τὸ τ̄ εἰς σ̄ διὰ τοῦ ι γράφον-
-ται. οἷον ἀκηρατός. ἀκηράσιος. ἄμβροτος
ἀμβρόσιος. εἰ δὲ φυλάττοι τὸ τ̄. διὰ τῆς εἰ
διφθόγγου γράφονται. οἷον ἀρχέστατος. ἀρ-
-χεστατεῖος. καλλίστρατος καλλιστρατεῖος.
χωρὶς εἰ μὴ ὦσιν ἐθνικά. ὡς τὸ βοιωτὸς βο-
ιώτιος. γίνεται δὲ παρὰ τὸ ἄμβροτος.
καὶ τροπῇ τὸ ν̄ εἰς μ̄. τὸ θηλυκὸν ἡ ἀμ-
-βροσία. καὶ σημαίνει τὴν ἀθανασίαν.
Ἀμβρόσιον. ἀθάνατον. παρὰ τὸ βρότος ὃ
σημαίνει τὸ αἷμα.
Ἀμβροσία. τὸ τῶν θεῶν βρῶμα. ἧς οὐκ οἷον
τὲ τὸν βροτὸν ἅψασθαι.
Ἀμαυρούμενον. σκοτιζόμενον. ὅθεν καὶ μαῦρον
τὸ διαφανές.
Ἀμβλῶσαι. τὸ ἀτελὲς βρέφος ἀποβαλεῖν.
καὶ τὰ πρὸς τούτοις φάρμακα, ἀμβλωθρίδια
καλοῦσιν ἰατροί. ἀπὸ μεταφορᾶς τῶν ἀμπέ-
-λων. ὁπότε γὰρ αὗται τοὺς λεγομένους ὀφ-
-θαλμοὺς ἀποκαυθεῖεν, λέγομεν αὐτὰς ἀμ-
-βλυώττειν. ἀντὶ τοῦ οὐ τελεσφορουσι καρπόν.
καὶ ἐπὶ τῶν γυναικῶν τῶν ἀτελῆ τὰ βρέφη
ἐκβαλλούσων. λέγομεν διαλύττειν. καὶ κατὰ
συγκοπὴν ἀμβλύττειν. ἢ ἐκ τοῦ ἀμαλῆς.
ὃ ἐστὶ τὴν γόνην. ἀφανίαν.
Ἀμβλῆσαι; καὶ τροπῇ τοῦ η̄ εἰς ω̄, ἀμβλῶσαι.
Ἄμβων. παρὰ τὸ ἄνω βαίνειν.
Ἀμείβω εῑ. διὰ τὸ ἔχειν ἀντιπαρακείμενον
τὸ ο̄. οἷον. ἀμοιβή. ὥσπερ λείβω, λοιβή.
ἀλείφω, ἀλοιφή; οὕτω καὶ ἀμείβω, ἀμοιβή.

Ἄμειψις. ὁμοίως.

Ἀμειδές. σκοτεινόν. ἐκ τοῦ εἴδω. τὸ βλέπω ἢ ἐκ τοῦ μειδῶ τὸ γελῶ. ἀειδές καὶ ἀμειδές.

Ἀμείνων. εἶ. ἤτοι παρὰ τὸ μεῖον. ἢ διὰ τῆς εἶ διφθόγγου γράφεται. ἀμείων γὰρ ὃ μὴ ἐλάσσων τινός. καὶ πλεονασμῷ τοῦ ν. ἀμείνων.

Ἀμειδές. συγνόν. σκυθρωπόν. μειδιᾶν γὰρ τὸ γελᾶν. ἀμείδητον γὰρ ἐστίν. ἐφ' ὧ οὐκ ἄν ποτε χαρείη τίς ἢ γελασείη.

Ἀμείβω. ἤμειψα. καὶ ἡ μετοχὴ ἀμεῖψας. σημαίνει δὲ τὸ ἀλάσσω καὶ ἀποκρίνομαι. ἢ περιπατῶ

Ἀμαχί. ἄνα ἀγῶνος καὶ μάχης. καὶ εἰς τὸ ἀκονητί.

Ἀμέγαρτον. παρὰ τὸ μεγαίρω. δηλοῖ δὲ τὸ μὴ φθονούμενον. καὶ τὸν μέγαν. κατ' ἐναλλαγὴν πῆς.

πῆ δὲ τὸν μολωβρὸν ἄγεις ἀμέγαρτε συβῶτα. καὶ πόνον δε ἀμέγαρτον.

Ἀμειδεῖς τε καὶ συγνοί. ἐν βαθεῖ βουλευόμενοι. ὁμοῖοι σκυθρωπεῖς (οῖς). σημαίνει δὲ καὶ τὸ ἀγέλαστον καὶ ἀχαρεῖς. ἀπὸ τοῦ μειδῶ. ἢ μειδιῶ. τοῦτο παρὰ τὸ ἥδω. ὃ σημαίνει τὸ εὐφραίνομαι. Βοιωτοὶ τροπῇ τοῦ ἢ εἰς τὴν εἶ δίφθογγον, καὶ πλεονασμῷ τοῦ μ μειδῶ καὶ μειδιῶ. τὸ γὰρ ἐπὶ τοῦ βουλεύομαι. διὰ τοῦ η. γράφεται. καὶ βαρύνεται. παρὰ γὰρ τὸ ἄδω γίνεται ὃ σημαίνει τὸ ἀρέσκω.

Ἀμέγαρτον. ποτὲ μὲν δηλοῖ τὸ ἀτελὲς καὶ μὴ δὲ ἄξιον φθόνου. ὡς τὸ ἀμέγαρτε συβῶτα. ποτὲ δὲ τὸ πολύ. ὡς τὸ

——— φόνον δ' ἀμέγαρτον ὤφελλεν.

Ἀμείλικτος. ἀπὸ τοῦ μειλίσσω. μειλικτὸς καὶ ἀμείλικτος. τοῦτο ἀπὸ μεταφορᾶς τοῦ μέλιτος. μελίσσω. καὶ πλεονασμῷ τοῦ ῑ μειλίσσω. μειλικτὸς καὶ ἀμείλικτος. ὁ ἀσυμπαθὴς καὶ ἀδυσώπητος καὶ σκληρός.

Ἀμείνων. μετοχή. ἐκ τοῦ μέρος. μερίων. καὶ ἐκβολῇ. τοῦ ρ̄. καὶ ἐν συναιρέσει μείων καὶ ἀμείων. καὶ πλεονασμῷ τοῦ ν. ἀμείνων. — κλέπτει δὲ νυκτὸς ἀμείνω. χωρὶς τοῦ ν̄. γένη θηλυκοῦ αἰτιατικῆς πτώσεις. ὡς ἐλάσσονα ἐλάσσα. ἐλάσσω. ἐξ οὗ καὶ ἀμείνων. τῆς ἀμείνονος. καὶ ἡ αἰτιατικῇ ἀμείνονα.

Ἀμείνων. ὁ κρείττων παρὰ τὸ μένων γέγονεν ἀμένων. καὶ πλεονασμῷ τοῦ ῑ ἀμείνων. τοῦτ' ἐστιν ὁ μὴ μένων. ἀλλ' ὑπὸ πάντων περιάρπαστος γινόμενος δι' ἐξοχήν.

Ἀμέλγων. παρὰ τὸ ἅμα καὶ τὸ ἕλκω. γίνεται ἀμέλκω. καὶ ἀμέλγω καὶ συγκοπῇ καὶ τροπῇ τοῦ ᾱ εἰς γ̄. ἀμέλγω. ἅμα γὰρ τῷ τὸν μαστὸν λάβειν. τὸ γάλα ἐξέρχεται.

Ἀμενῆνος. παρὰ τὸ μένος ἄμενος. καὶ ἀμενηνός. σημαίνει δὲ τὸν ἀσθενῆ.

Ἀμέργω. εἰς τὸ ἀπομόρξατο.

Ἀμέρδειν. παρὰ τὸ μερίδα τινὸς ἀφαιρεῖσθαι.

Ἀμερές. τὸ μὴ ἐκ μερῶν συγκείμενον.

Ἀμηγέπη. εἰς τὸ ἀμοσγέπη.

Ἅμη. τὸ σκαφεῖον. εἰς τὸ ἁμάρα.

Ἀμεριμνία. ἐκ τοῦ μὴ μερίζεσθαι εἰς πολλὰ τὸν νοῦν.

Ἀμενηνός. ἄμενος. κατὰ στέρησιν ὁ ὠδυνόμενος. καὶ πλεονασμῷ τῆς νῆ συλλαβῆς.

Ἀμπάμενος. εἰς τὸ ὑπαμπάμενος.

Ἄμπτος. εἰς τὸ ἄμω τὸ θερίζω. τὸ ἀμῶ βοτ. θυ-
σίας τῶν περιστωμένων. ὁ μέλλων ἀμήσω.
ἐξ οὗ τοῦ ἄμπτος. διαφέρει δὲ ἄμπτος καὶ ἀμη-
τός. ἄμπτος γὰρ ὁ καιρὸς τοῦ θέρους. ἀμητὸς
δὲ αὐτὸς ὁ θερισμός. οἱονεὶ ὁ καιτὸς ὁ ἀμώ-
μενος. τὸ ᾶ μακρόν. τὸ ἀ πρὸ τοῦ β. ἢ μ.
συγκλίνεται. θηλυκλίνεται τὸ ἄμπτος καὶ ἀμώ.
Ἀμῖνεις τὸ ἀμῖν.

Ἄμπτος. προπαροξύτονος μέν. ὁ ἀμώμενος καὶ
θερίζόμενος καιτὸς τοῦ θέρους. ἀμητὸς δὲ ὀξυ-
τόνως. ὁ μέσος τοῦ θέρους. ὡς καὶ τευχητὸς ὁ
καιρὸς τῆς τεύχης.

Ἀμνὶς. ἀμνῖτος ὁ πλακοῦς.

Ἀμίς. οὐροδόχον ἀγγεῖον. ἢ τὸ κλοπίον. παρὰ
τὸ ὁμίχω. ὁμὶς καὶ ἀμίς. ὡς ὀκειόεις ἀκειόεις.
ἢ παρὰ τὸ ἄρμ. ἁρμὶς. ὡς σκάφη σκαφίς.

Ἄμιλλα. ἡ ἔρις καὶ ὁ δρόμος. παρὰ τὸ ἅμα
εἰλῆσθαι. καὶ ἡ φιλονεικία. καὶ εἰς τὸ ὅμιλος.

Ἀμυδίς. ἡ φυσλλη. ἐξ ἧς ἐστὶν ἅμα πίνειν.
χωρὶς τῆς διαπυρώματος. οἷον ἀπυρωτί.

Ἀμιδὸς πόλις Ὀπ. παρὰ τὸ εἶναι καιτοφόρος
εἰς ὑπερβολὴν παντοίαν.

Ἀμιχλαλόεσσα. ἀπρόβιτος καὶ ἀμίγης. καὶ
ὀμιχλώδης ὡς ὁ ποντός. καὶ

———— Λῆμνον ἀμιχλαλόεσσαν.

ἀπρόβιτος δὲ διὰ τῶν ἐνοικουμένας. ζωΐων πι-
νομένων. μίβω μιβήσομαι. ὡς ἵππος
ἵππαλος. μίκκος, μίκκαλος. οὕτω καὶ μικτὸς
μικταλὸς καὶ ἀμίκταλος. καὶ ἐν οὖν λέγει —

ἀμικταλόεις. καὶ τροπῇ ἀμιχθαλόεις. καὶ τὸ θηλυκὸν ἀμιχθαλόεσσα.

Ἄμαξις. εἰς τὸ ἀμάμαξις.

Ἄμμες. ἀντωνυμία. Αἰολεῖς. πτωσεζ αἰτιατικῆς. ἀντὶ τοῦ ἡμᾶς.

Ἄμμε οὐ πληθυντικοῦ ἀλλὰ δυϊκοῦ ἀριθμοῦ. καὶ τινὲς μὲν ἀπὸ τοῦ ἄμες αἰολεῖς πλη:θυντικοῦ φασὶν ἀποβολῇ τοῦ σ. τὸ δυϊκὸν γένεσθαι. ὡς ἄιαντες. ἄιαντε. τινὲς δὲ ἄλλο:θεν λέγουσι. τὸ ἄμμες. ἄμμε. Αἰολεῖς δὲ ἐκ τοῦ ἡμεῖς. ἠδωρικῶς. ὅτι αἷμα ἡ ψυχὴ κατ' Ἐμπεδοκλῆν. τινὲς δὲ καὶ ὅμηρος. οἷόν τι ταῦ:της εἶναι τῆς δόξης. ἐν τῷ λέγειν.

——— ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν ἔσυτ' ἐπειγομένη ———

οὐκ ἐστὶ δὲ ἀληθές. ὁ γὰρ ὅμηρος ἀθάνατον αὐτὴν καὶ ἄφρονα. διὸ καὶ τὰς τῶν τεθνεότων ψυχὰς ὀδυρομένας παρεισάγει.

ὃν πότμον γοόωσαν καὶ ἀνδρότητα καὶ ἥβην. καὶ ἐν τῷ ἄσῃ κολαζομένῃ. καὶ τῶν οἰκείων πα:ραπτωμάτων. ὀδυρομένῃ ἕνεκα.

Ἀμείβω τὸ ᾱ βραχυ. διὰ τί. τὸ ᾱ πρὸ τοῦ β̄. ἢ μ̄. συστέλλεται.

Ἀμνίον. ἐστὶ μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις. σημαίνει ἀγγεῖον. ὅπου τὸ αἷμα τοῦ ἱερείου δέ:χονται. καὶ ἐστὶ κατὰ τὸ ἔτυμον ἀμένιον. στερη:τικὸν τοῦ μένη. τουτέστι τῆς ψυχῆς. οἱ δὲ Ἀττι:κοὶ σφάγιον αὐτὸ καλοῦσι. καὶ ἄλλως ἄμνιον τὸ αἱμοδόχον ἀγγεῖον παρὰ τὸ αἷμα αἵμνιον

καὶ ἀμνί). ὡς ἄκτον ἄκτον. φασὶ δὲ διὰ τῆς αἱ διφθόγγου γράφεσθαι.

Ἀμνηστεία. τὸ μὴ μηστεύεσθαι. ἀμνηστία δὲ ἡ ἀλή:θεια.

Ἄμη τὸ γεωργικὸν καὶ οἰκοδομϊκὸν ἐργαλεῖον. παρὰ τὸ ἅμα. ὅτι πλατὺ ὂν ἅμα καὶ ὑφ' ἓν πολλὰ ἕλκει. ἢ παρὰ τὸ ἁμᾶν. ὅ ἐστι κόπτειν καὶ θερίζειν.

Ἁμᾶς καὶ ἡμέας. ἡμᾶς ἰωνικῶς. ἁμᾶς δὲ δωρι:κῶς. καὶ εἰς τὸ ἡμῖν. ἀμήσειον τὸ πτῶον. ἡ ἀξίνη.

Ἄμμι. ἀντωνυμία. διότι μὴ τῶν πληθυντικῶν παρὰ τρισὶ διαλέκτοις γίνεται. οἱ ἴωνες συστέλλου:σι τὸ ι. καὶ βαρυτονοῦσι. καὶ πλεονάζουσιν — ἕτερ) σύμφων). καὶ συστέλλουσι τὴν ἄρχουσαν. καὶ ψιλοῦσιν αὐτό. ὡς τὸ ἄμμι δὲ ἔργον. οἱ δὲ δωριεῖς συστέλλουσι τὸ ι. καὶ ὀξύνουσι.

Ἄμμη. τὸ χεῖλος τῆς λοπάδος. παρὰ τὸ ἐν ἐναβάσει εἶναι.

Ἀμνός. τὸ ἐνιαυσιαῖον πρόβατον.

Ἄμμιν. εἰς τὸ ἡμῖν.

Ἄμμος. παρὰ τὸ ἄμικτον αὐτὴν εἶναι.

Ἄμνιον. αἱμοδόχον ἀγγεῖον. ὅμηρος.

περσεὺς δ' ἄμνιον εἶχε. . . αἴμνιον τὸ τοῦ αἵματος δεκτικόν. ἀποβολῇ τοῦ ι. ἄμνιον. παρὰ τὸ αἷμα αἴμνιον. καὶ ἄμνιον. ὡς αἴκτον καὶ ἄκον. ἐστὶ μὲν τῶν ἅπαξ εἰρημένων ἡ λέξις. σημαίνει δὲ ἀγγεῖον. ὅπου τὸ αἷμα τοῦ ἱερείου δέχονται. καὶ ἐστὶ κατὰ τὸ ἔτυμον.

Ἀμνὶς. καὶ ἀμνὸς τὰ πρόβατα. τὰ μικρὰ. πα:ρὰ τὸ μένος καὶ τοῦ α τοῦ στερητικοῦ.

Ἀμενηνός. ὁ ἀσθενής. καὶ ἐκ τούτου ὑποκοριστι:κὸν ἀμνὶς καὶ ἀμνός.

Ἁμνός· τὸ μικρὸν πρόβατον· ὁ ἁπαλός· καὶ τρυφε-
-ρός παρὰ τὸ μὴ ἔχειν μένος· ἢ παρὰ τὸ μνῦς,
μετὰ τοῦ στερητικοῦ ᾱ καὶ ἀποβολῆ τοῦ ῡ ἁμνός.
μνῦς δὲ ἐστὶν ἡ ἀπολωτάτη θρίξ τῶν ἀρτιγεν̄.
ζώων.

Ἀμόθεν· εἰς τὸ ἀμοσγέπης.

Ἀμολγός· τὸ μέσον τῆς νυκτός· καθ' ὃ οὐκ ἀμέλγου-
-σιν.

Ἄμοργον· παρὰ τὸ μὴ ἀμέλγειν εἰς τοιαύτην
ὥραν· καὶ ὅμηρος.

——— μολῶν ἐν νυκτὸς ἀμολγῷ.

τουτέστιν ἀωρία.

Ἀμολγός· εἰς τὸ ἀπομόρξατο.

Ἄμοτον· ἀπλήρωτον· ἢ ἀκόρεστον· ἀφ' οὗ καὶ
ἄμοτα τὰ πληρωτικὰ τῶν τραυμάτων·
εἴρηται ῥάκη.

Ἀμορραῖος· διὰ τὸ ο μικρόν· ἀμωραῖος ὁ ἀπὸ
τῆς μρο πόλεως· διὰ τοῦ ω μεγάλου· καὶ ἐν
ρ· κατὰ παράδοσιν.

Ἀμορραίων· γενικὴ τῶν πληθυντικῶν· ὄνομα
ἔθνη· ὁ ἀμορραῖος τοῦ ἀμορραίου· ὁ δὲ τό-
-πος· το ω μέγα· καὶ ἐν ρ· οἷον τὸ ἀμωρι-
-ον.

Ἀμοργίς· πρῶτος σύμβουλος· λέγεται καὶ ἀμερ-
-μουμνίς.

Ἀμόργη· ἡ τρυγία· τρυγὴ δέ.

Ἁμνός· στερητικὸν τὸ ᾱ ἔγκειται· ὁ ἐκ τοῦ
μνῦ μεταβεβηκός· μνῦς δὲ λέγεται ἡ μα-
-λακὴ θρίξ· ἡ ἐκ γενετῆς πάντος ζώου.

τὸ ᾱ μετὰ τοῦ ῡ.

Ἀντιάσας· ἀπαντήσας· ἐκ τοῦ ἀντιάζω· τοῦτο

ἐκ τοῦ ἀντιῶ. καὶ ἐκ τοῦ ἀντιῶ, ἀντιάζω.
Ἀντίβιον. τὸ ἐναντίον τόξευμα. ἐπίρρημα
τοπικόν. τὸ ὄν μικρόν. διὰ τί τὰ ἀπὸ διαφό-
-ρων πτῶσε. εἰς ἐπιρρηματικὴν σύνταξιν
μεταγομένη. καὶ τὴν αὐτὴν γραφὴν ταῖς πτῶ-
-σεσιν ἔχει. γίνεται δὲ ἐκ τῆς ἀντι προθέσεως
καὶ τοῦ βία. ὃ σημαίνει τὴν δυναμίν. ση-
-μαίνει δὲ ἡ ἀντὶ πρόθεσις, ἐξ ἐναντίας
χέσιν.
Ἄντικρυς. καὶ ἀντικρυ διαφέρει. ἄντικρυς
σημαίνει τὸ διαρρήδην. τὸ φανερόν. ἀντικρυ
δὲ τὸ ἐξ ἐναντίας. παρὰ τὴν ἀντὶ καὶ τὸ κά-
-ρα. ἀντίκαρα. ἀντίκαρυ καὶ συγκοπῇ ἀν-
-τικρυ. τὸ κατεναντίον. τὸ ὡς ἂν εἴποι
τίς. ἀντικέφαλον ἐξ ἐναντίας. τοιοῦτον. ἐν
συγκοπῇ καὶ τὸ κρᾶναι τὸ ἐπιτελέσθαι. διὰ
τοῦ νεύματος τῆς κεφαλῆς. τὸ κρυ μακρὸν
φύσει. διὰ τί τὰ εἰς υ λήγοντα ἐπιρρήματα,
βραχυ ἔχουσι τὸ υ. μεσσηγυ. μεταξυ. χω-
-ρίς τοῦ ἀντϊκρυ. καὶ ὤφειλεν εἶναι ἀντι-
-κρυ. ἀλλὰ τα εἰς δ λήγοντα ἐπιρρήμα-
-τα εἰ μὲν φυλάσσει τὸ αὐτὸ σημαινόμενον,
καὶ τὸν αὐτὸν τόνον φυλάττει. οἷον. οὕτος
οὕτω, μέχρι, μέχρι. ἐπεὶ οὖν τὸ ἀντϊκρυ,
ἐ τὸ αὐτὸ σημαινόμενον ἐφύλαξεν. οὕτως οὐδὲ
τὸν αὐτὸν τόνον ἀνεδέξατο. διὸ τὸ μὲν ὀξύνε-
-ται, τὸ δὲ προπαροξύνεται.
Ἀντιβολῶ. οἱονεῖ ἀντιμολῶ. κατὰ συγγένειαν
τοῦ β πρὸς τὸ μ. σημαίνει δὲ τὸ βοηθῆσαι.
καὶ παρακαλέσαι. καὶ ὑπαντῶ.

Ἀντιβολῆαι· κατὰ μετάθεσιν τοῦ μ εἰς τὸ β οἷον ἐναντίον μολῆαι.

Ἀντιλάβοιτο ὑπερμαχήσει ὁ. ἐκ τοῦ λήβω τὸ λαμβάνω. ὃ μέλλων λήψω. ὁ δεύτερος ἀόριστος ἔλαβον. τὸ ὑκτικὸν λαβοίμι. καὶ τὸ γ΄. λάβοιτο.

Ἀντιμένη· μαντικὴ διονυσιακῶς διαφέρει. ὅτι ἡ μὲν παρὰ τῶν ἀνέμων οἰωνοῖν εἴρεται. ἡ δὲ παρὰ τὴν ἀνθρ) μανίαν. μανικὴ τις οὖσα. καὶ πλεονάσμῳ τοῦ τ.

Ἀντίξοον· ἐναντίον. ἢ ἀερόξοον ἢ ἀντιδομένον. ἢ ναὶ ἀντὶ προθέσεως ὁ μόν) τὸ ἐναντίον δηλοῖ· ὡς ἐν τῷ ἀντισάτης. ἀλλὰ καὶ τὸ ἴδιον. ὡς τὸ ἀντίθεον. τροπῇ δὲ Αἰολικῇ τοῦ δ εἰς ξ. οἱ Αἰολικοὶ δύμβολον. ξύμβολον λέγουσι.

Ἄντιον· παρὰ τὸ ἄντω· βαρύτονον ῥῆμα. ἔστι δὲ καὶ ἀντὺς πρεσβυτέρου· ἀφ' οὗ ἀντύω. καὶ ἄντην ἐπίρρημα καὶ ἀντίος.

Ἀντιόωσαν· παρὰ τὴν ἀντὶ προθέσεως γίνεται ἄντιος· ἐκ τούτου ἀντιόω ἀντιᾷς· ἀντιόωμι καὶ ἡ μετοχή· καὶ τὸ θηλυκὸν ἀντιόωσα· καὶ πλεονάσμῳ τοῦ ο ἀντιόωσα· ὡς γελόωσα κύδιόωσα.

Ἀντίον τὸ π, ῑ· τὰ διὰ τοῦ ῑος ὀνόματα πρὸ μιᾶς τὸν τόνον ἔχουσα· ἀναπέμπει τὸν τόνον ἐν τῇ συνθέσει· οἷον ποικίλος· παμποίκιλος. ἁβρόϊλος· μεσαύλοιλος· ἀθηναῖος· Φιλαθήναιος· πλήθιος· παραπλήθιος χωρὶς εἰ μή σύνθετα ὑπάρχει· ἕνεκα ἐνεργείας παροξυνόμενα· οἷον· τὸ γὰρ κορυθαίολος οὐκ ἔχει ὑγκείμενον

τὸ ὅλος. ἀλλὰ τὸ αἰόλω. ῥῆμα τὸ κίνω. παρ-
θένος ἀειπάρθενος. πρὸς κεῖται χωρὶς οὐ μὴ
συνθετα. εἴη. διὰ τὸ βουκόλος. ἱππο βουκόλος.
τοῦτο γὰρ ἕνεκα ἐνεργείας. τὸν αὐτὸν τόνον
ἐφύλαξεν ἐν τῇ συνθέσει. ὅ τους ἵππους βόσ-
κων. τὸ ἐναντίος παρέλκουσαν ἔχει τὴν ἐν
πρόθεσιν. τὸ γὰρ ἀντίος. ἐναντίος. τὸ αὐτὸ
σημαίνει. καὶ τοῦτον χάριν, τοῦ ἁπλοῦ τὸν
τόνον ἐφύλαξεν. ὡς σχεδὸν μὴ γενόμενος
συνθέσεζ. καὶ εἰς τὸ ἐναντίος
Ἀντϊοχεια. κατὰ παρώνυμον παραγωγὴν
γέγονεν. ἀπὸ τῆς γενικῆς τοῦ ἀρσενικοῦ
τοῦ Ἀντιοχου.
Ἀντϊόωσαν. ἐκ τῆς ἀντιῶ δευτέρας συζυγίας
τῶν περισπωμένων. καὶ ποιεῖ τὴν κράσιν.
καὶ οὕτω προσλαμβάνει τὸ ο. ἀντιάω. ἀντιῶ.
ἀντιόω. βοάω. βοῶ βοόω. γελάω. γελῶ γελόω.
ὁράω. ὁρῶ. ὁρόω. καὶ ἡ μετοχὴ, ἀντϊόων. καὶ
τὸ θηλυκὸν ἀντιόωσαν.
Ἀντιόωσαν. παρὰ τὴν ἀντὶ πρόθεσϊν γίνεται
ἄντιος. καὶ ἐκ τοῦ ἀντιῶ. ἀντιᾶς, τὸ ὑπαντῶ.
ἀντιῶ οὖν καὶ ἡ μετοχὴ θηλυκὸν ἀντϊῶσα.
ὡς γελόωσα. καὶ κυκόωσα. ἡ γαυριῶσα. ἔστι
δὲ δευτέρας συζυγίας τῶν περισπωμένων.
καὶ ἔστιν ὁμώνυμος ἡ λέξις. ὅτε δὲ δηλοῖ τὸ
ἀντιλαμβανόμενον αἰτιατικὴ συντάσσεται.
ὅτε δὲ τὸ ἀπαντῶσα. γενικὴ. οἷον.

Ἀντιόων ταῦρωντε καὶ ἀρνειῶν ἑκατόμβη.
τὸ δὲ πλεονασμῶ τοῦ ο, βοῶντες ἐφᾶρ)
Ἀντίπαις. εἰς τὸ γέρων.

Ἀντιῶ. ἀντιᾶς. ἄντιον.

Ἀντιβήκωβϊς. ἐκ τῆς ἀντί προθέβες καί τοῦ βάκος. ὅ βημαίνει τήν ἀβπίδα.

Ἀντίπηξ. παρά τής ἀντί προθέβες καί τοῦ πήσβω.

Ἀντιβηκοῶτα. βημαίνει τόν ἀντειβάγοντα. καί γίνεται ἐκ τοῦ ἴβος ῥῆμα ἰβῶ. ὁ μέλλων ἰβώβω. ὁ παρακείμενος ἴβωκα. καί ἐξ αὐτοῦ ῥῆμα ἰβηκῶ. καί ἀντιβηκῶ. ἤ παρά τό βώκειν. ὅ βημαίνει τό ἰσχύειν. ἐξ οὗ βώκος ὁ ἑρμῆς — τουτέστιν ὁ ἰσχυρός. βώκος ἐρϊούϊος.

Ἀντίστοιχον. τό ἴβος. βκιᾶς γάρ ἀντίστοιχον φωνήν ἔχεις. τουτέστιν ὡς βκιᾶς. ἴβος φωνήν ἔχεις. ἐκ τοῦ στείχω. τόστοι δίφθογγον. ὅβα ῥήματα. ἐν κϊνήβεβιν εὑρίβκονται γεννῶντα τό ο τό ε προεῖχον. ἔστϊ ῥῆμα στείχω. καί στιχῶ τῆς δευτέρας βυζυγίας τῶν περιβπωμένων ἀπό τοῦ στίξ. στιχός. καί ἀπό τοῦ στοιχός καί ἀντίστοιχον.

Ἀντίπαλος. ὁ ἐναντίος. ἤ ὁ ἀπό ἀντιπάλων. ἤ ὅτι ὁ κατά πάλον τουτέστι κλῆρον ἐναντιούμενος.

Ἀντιτορήβας. διατρήβας. διορύξας

——— πυκνόν δομον ἀντιτορήβας.

ἀπό τορῶ. τορήβω.

Ἄντυγες. αἱ ἄνω περιτετυγμάτων περικεφαλαῖαι. καί γάρ εἰς τό κάτω τετυγμή, καταῖτυξ καλεῖται.

Ἀντίχειρ. ἤτοι ὅτϊ ἀντίκειται τοῖς ἄλλοις

ἢ ὅτι τὸ ἰσὸ δύναται τὴ ἄλλη χειρί. ἀργοὶ γὰρ
εἰσὶν οἱ ἄλλοι χωρὶς αὐτοῦ

Ἀντιφερίζει. ἀνθίσταται. ἀντιλέγεται ἢ ἐξί- ἀντιφερίζει
:σουται.

Ἀντιφερίζω. τὸ ἐξισοῦμαι. παρὰ τὸ φέρω.
φερίζω. καὶ ἀντιφερίζω.

Ἄντυξ. ἡ ἀψὶς ἀπὸ τοῦ ἄνω τετᾶχθαι. καὶ
ἡ περιφέρεια τοῦ ἅρματος.

Ἀντίχειρ. μέγας τῆς χειρὸς δάκτυλος. ἰσὸ
αὐτὸν δυνάμενον τῇ ὅλῃ χειρί.

Ἄντλημης. ἐκ τοῦ ἀντλῶ. τοῦτο παρὰ τὸ ἄν-
:τλον. τοῦτο ἐκ τοῦ ἀναντλᾶν καὶ κατερεῖν
ἐκείσε τὸ ὕδωρ. τὸ διὰ τῶν ἐσφιγμένων πό-
:ρων εἰσερχόμενον.

Ἄντρον. παρὰ τὸ ἄνω τετρῆσθαι. ἢ τετρυσῆσθαι.
καὶ εἰς μάνδραν.

Ἄντυγες. οἱ τροχοὶ τοῦ ἅρματος παρὰ τὸ ἀνω-
:τάτω τετεῦχθαι. ὁμοίως καὶ τήτυξ.

Ἀντῶ. εἰς τὸ ποδαρκης.

Ἀντώνιος. ἄνθος ὠνήσες. ἢ ἀντὶ ὠφέλει. ἀντὶ
γὰρ ἀνδρὲ ἀνδρὲ ἀνδρέου ὁ διὰ χν̄ σαλός.
ἀντὶ δὲ καὶ παρὰ παῦλου, παῦλος ὁ ἁπλούστα-
:τος.

Ἀντωνυμίος. ἀντὶ οὗτος παρῆν καὶ οὗτος.

Ἀνυποιστος. ἀνυποφόρητος. ἀνυπομόνητος. ἀ-
:πὸ τοῦ οἴω τοῦ σημαίνοντος τὸ φέρω, γί-
:νεται οἰστός. καὶ κατὰ τῆς ὑπο προθέσεως, ὑ-
:ποιστος. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ καὶ πλεο-
:νασμῶ τοῦ ν̄. ἀνυποιστος.

Ἀνυστής. εἰς τὸ ὑπόδρα. ὁμοίως καὶ ἀνυτης.

Ἄνυσω σημαίνει τὸ πράττω· τὸ δὲ ἄνω διφορεῖ=
=ται· κατὰ τὸν χρόν)· ἔστι γὰρ παρὰ τῷ ποιητῇ
καὶ μακρὸν καὶ βραχύ· μακρὸν μέν· οἷον·
μάλα γὰρ νῦξ ἄνεται· βραχὺ δὲ ὧς ἐν τῷ
ὅπῃ ἥφαιστος γὲ θέλοι καὶ ἔργον ἄνυτο·
τὸ δὲ ἄνυσω ἀιεὶ ὁ ποιητής· ἐν συστολῇ παρα=
=λάμβανει· καὶ εἰς τὸ μήνυμα καὶ ὠκεανός·
Ἄνω· ἐκ τοῦ ᾱν συνδέσμου γίνεται ἄνω· καὶ
σημαίνει τὸν ὑψηλὸν τόπ)· ὥσπερ καὶ ἡ κατᾱ
πρόθεσις προσλαμβάνει τὸ ω̄ γίνεται κάτω·
ὁμοί· καὶ ἡ ἐξ προσλαμβάνουσα τὸ ω̄· γίνε=
=ται ἔξω· καὶ ἡ ἐν ὁμοίως· ἔνσω· καὶ ἔσω· τὸ
δεξιὰ καὶ ἀριστερὰ εἴρηται·
Ἀνώγαι)· ἐκ τοῦ ἄνω καὶ τοῦ γαία· γίνεται ἀνώ=
=γαιον· τὸ ἄνω ὂν τῆς γῆς·
Ἀνώγειον· παρὰ τὸ ἄνω ἐπίρρημα καὶ τὸ γαῖα
ὄνομα γέγονε· καὶ κατὰ κρᾶσιν· ἀνώγαι) εἰς
ψιλόν·
Ἀνώγω· κελεύω· τὸ γῶ μέγα· ἐκ τοῦ ἀνώγω·
τοῦτο ἐκ τοῦ ἄναξ· ὁ μέλλων ἀνάξω· ὁ μέ=
=σος παρακείμενος ἀνῆγα· καὶ ὥσπερ ἐκ τοῦ
πέπληγα μέσου παρακειμένου ἐγένετο πεπλή=
=γω· οὕτω καὶ ἀπὸ τοῦ ἀνήγα μέσου παρακεῖ=
=μένου, γίνεται ῥῆμα ἀνήγω· καὶ τροπῇ
τοῦ μακροῦ εἰς μακρὸν γίνεται ἀνώγω·
τοῖς γὰρ ἀνάσσουσι καὶ ἄρχουσι· πέφυκε τὸ
κελεύειν· ἔχει δὲ μέλλοντα·
πληθῶ δὲ ποτίνῆας ἀνάξομεν ἀπονέεσθαι·
Ἀνωϊστί· κρυφῆ· ἀπροσδοκήτως παρὰ τὸ

οἴω · ὀΐω · ἐξ οὗ καὶ ἰασάμενος · ὀϊστί καὶ ἐπεκτά:
:σει τοῦ ο εἰς ω · ὠϊστί · καὶ μετὰ τῆς ἀνα
προθεσ, ἀνωϊστί.

Ἄνωγεν · ἀόριστος δεύτερος · τρίτου προσώπου
κατὰ συστολήν τοῦ η · ἔστι πρώτη συζυγία
τῶν περισπωμένων · ἔστι δὲ τὸ θέμα αὐτοῦ
ἀνωγώ · ὁ παρατατικός, ἠνώγουν · καὶ τὸ
τρίτον ἠνώγει · ὁ μέλλων ἀνωγήσω · ὁ ἀόριστος
ἠνώγησα · ὁ δεύτερος ἤνωγον · ὥσπερ ὀλιαθω
ὤλιαθον · καὶ ἁμαρτω ἁμαρτήσον ἥμαρτον. ὀλιαθω ὤλιαθ.

Ἄξιος · καὶ ἀξία · παρὰ τὸν ἔξω μέλλοντα.

Ἀξιέραστος · ὁ ἄξιος τοῦ ἐράσθαι.

Ἀξῖος · εἰς ἰξίων.

Ἀξίνη · παρὰ τὸ ἄγω τω κλάνω · ἄξω, ἀξίνη.

Ἄξιον · ἄγω τὸ κλάνω · ὁ μέλλων ἄξω · ἦξα.
καὶ τὸ προστακτικόν · ἄξον.

Ἀξιώ · τὸ παρακαλώ · καὶ ἀξιώ τὸ τιμώ καὶ
δοξάζω · καὶ ἀξιώ · τὸ ἰσώ καὶ τὸ εὐπρεπώ · καὶ
τὸ ἐπισυγχωρώ.

Ἄξυλος · ὁ ἠθ κυρτον · παρὰ τὸ ἄξω μέλλοντες.
τὰ διὰ τοῦ υλος τρισύλλαβα το/κίλλα περὶ
τὴν τάσιν ἐυρίσκονται · δάκτυλος · δέρκυλλος,
κάμπυλος · κρώβυλος.

Ἄορες · αἱ γυναῖκες κατὰ ὑπέρθεσιν · παρὰ τὸ
ἀορίζειν · ὅθεν καὶ τὸ ἄρο/ ἕνεκα.

Ἀοίδιμος · ὥσπερ παρὰ τὸ βουλή γίνεται βου:
λιμος · οὕτω καὶ ἀοίδιμος παρὰ τὸ ἀοιδή.
ὡς τροφὴ τρόφιμος · καὶ ὁ ἀοίδιμος ὁ περι:
:βόητος.

Ἀοίδιμος · ἀοιδῆς ἄξιος · ἢ ὠδῆς.

Ἀοίδιμος. μακάριος. διαβόητος παρὰ τὸ ἀείδω.

Ἀοιδός ὁ ἐπίθετον. παρὰ τὸ ἄειδω. ἀοι-
-δός. τὸ ἄειδω κατὰ συναλοιφὴν γέγονεν ἄδω.
ὁμοίως καὶ τὸ ἀοιδός. ᾠδός. καὶ τὸ ἀοιδή. ᾠδή.
ἀπὸ τοῦ ἀοιδῶ ῥῆμα παρῆκται. εἶτα ὡς τὸ
κνήθω κνηθιῶ. μείδω μειδιῶ. οὕτω καὶ ἀοιδῶ.
κατὰ παραγωγὴν ἀοίδιμος. ἐξ οὗ καὶ ἐπάοιδος.

Ἀόρ τὸ ξίφος. παρὰ τὸ ἀείρω. καὶ ἄορ. καὶ
ἀείρηται ἀορτήρ. τὸ ἀπηωρημένον.

Ἀοσσητήρ. ὁ βοηθός. ὁ μὴ περιμένων ὄσσαν
καὶ φήμην. ἔθος γὰρ τοῖς παλαιοῖς αὐτομά-
-τως βοηθεῖν.

Ἀοσσητήρ. βοηθός. ὁ ἄνευ ὄσσης καὶ κληδόνος
αὐτόματος βοηθός. παρὰ τὴν ὄσσαν. καὶ ὁ
ἀοσσητήρ.

Ἀοτήρ. καὶ σφαιροτήρ καὶ ἱμὰς καὶ κεστὸς καὶ
μάσθλης, ἓν εἰσῖν.

Ἀοιδός. ὁ φήμιος δηλονότι ὁ κιθαρῳδός.

Ἀπαινής. εἰς τὸ ἀπηνής.

Ἀπαιωρήμενος. ἐκ τοῦ αἴρω τὸ κουφίζω. καὶ
πλεονασμῷ τοῦ ω̄ αἰωρῶ. αἰωρήσω. ὡς ἐπὶ
τοῦ εἴωθα. ὅπερ ἐστὶν ἀπὸ τοῦ ἔθω. ἔσω. εἶκα.
εἶθα. καὶ ἀφέηκα. πλεονασμῷ τοῦ αῑ αἰώρη-
-κα καὶ ὤρηκα. ἀπαιωρῶ, ἀπαιωρήσω. ὁ
ἀόριστος ἀπηώρησα. καὶ ἡ μετοχὴ ἀπαιωρή-
-σας.

Ἀπαγορεύειν. ἐκτὸς γενέσθαι τοῦ λέγειν. ἡ
ἀπο̄προθεσῖς, δηλοῖ τὸ χωρίζεσθαι. ὁ γὰρ

ἀπαγορεύων, ἐκτός ἐστί τοῦ λέγειν. παρὰ τῆς ἀπὸ ἀπὸ προθέσεις καὶ τοῦ λόγος.

Ἀπαλόν ἐκ τοῦ ἁπαλός. τοῦτο ἐκ τοῦ ἁφή. ἀφαλόν καὶ ἁπαλόν. οἷον τὸ εὐαφές καὶ τρυφερόν. διό καὶ δασύνεται.

Ἁπαλύνω. ἐκ τοῦ ἁπαλός. τοῦτο ἐκ τοῦ ἁφή ἁφαλός καὶ ἁπαλός.

Ἁπαλός. παρὰ τὸ ἁφή. ἁφαλός καὶ ἁπαλός. ὃ τῇ ἁφῇ εἴκων. ἀσφαλής τις ὤν. ὡς ἐξαπί=νης ἐξ αἰφνης.

Ἅπαξ. ἁπλῆς εἰς τὸ ὑπόδρα.

Ἅπαξ. ἐπίρρημα ἀριθμητικόν.

Ἀπάνευθεν ἐπίρρημα τοπικόν. ἐκ τῆς ἀνα προθέσεις. ἄνευ ἄνευθεν καὶ ἀπάνευθεν. ὡς ἀπὸ τοῦ ἄτερ ἄτερθεν. καὶ ἀπάτερθεν. σημαίνει δὲ τὸ χωρίς.

Ἄπαστος ἄγευστος. παρὰ τὸ πῶ τὸ ἐσθίω. ἐξ οὗ πόα ἡ βοτάνη. καὶ πηγός καὶ φηγός. ἡ πρώτη γὰρ τροφὴ ἀπὸ δρυῶν. ὡς οὖν ἀπὸ τοῦ μῶ τὸ ζητῶ γίνεται μαστός. οὕτω καὶ παρὰ τὸ παστός καὶ ἄπαστος.

Ἀπαγορεύειν. ἐκ τούτου γίνεται τὸ λέγειν. ἰστέον ὅτι παρὰ τὸ ἅπτω ἐστὶ τὸ ἀψίνθιον. καὶ παρὰ τοῦτο δασυνόμενον εὕρηται.

Ἀπαλθήσεαιον. ἀλθέω ἀλθῶ. πρώτης συζυ=γίας. τῶν περισπωμένων. ὃ μέλλων ἀλθή=σω ἀλθήσομαι. ἀλθήσῃ ἀλθησόμεθα. ἀλ=θήσεαιον. σημαίνει δὲ τὸ ἰαθήσεαιαι. τὸ δὲ ἄλθω παρὰ τὸ ἄλδω. ὃ σημαίνει τὸ αὐξά=νω.

Ἀπαρτία. ὃ κατὰ τὸν οἶκον κόσμος. τὰ

λεγόμενα ἐπίπλα. καὶ ἀπαρτὸν παραγωγον.
ἀρτὶς δυμπλῆρε. καὶ ἀπαρτία.
Ἀπαρέβκευον. καὶ ἀπαρεβκευάσῃ. διαφέρειν
φασίν. ὁ μὲν γὰρ δι' αὐτῆς τὴν χορηγίαν ἔχων
ἀπαρέβκευος ἂν λέγοιτο. ὁ δὲ ἑτέρῳ ἀπα-
ρεβκευάσας. ὁ μὲν ἄρχων ὁ μονομάχων
δοῦναι δηλῶν. ἀπαρέβκευος λέγεται. ὁ δὲ μο-
νομάχος, ἀπαρεβκευάσας. τὸ μὲν γαρ διὰ
παθητικὴν ἔχειν ἔμφασιν. τὸ αὐτεξουσίου
ὁ δὲ. τὸ παθητικήν.
Ἀπαρκτίαις. ταῖς ἀπὸ τοῦ ἄρκτου πνοαῖς.
ἀρφμῆ, τῶν τελειδνῶν. καὶ γίνεται
παρὰ τὸ ἄρχω ἀπάρχω. ἄπαρχμα. πάρχμα
τα αἱ μεγάλαι ἀπαρχαὶ τῶν δυδιῶν. παρὰ
τὸ ἄρχω ἄρχμα. καὶ ἄπαρχμα. ὅμηρος.
Ἀρχματα δυαῳ δερῆς ἀκιγκρήτηδίν.
Ἀπαυλαδίζη. ἀπὸ τοῦ αὐλαδὴς αὐλαδιάζω.
τοῦτο κακὴν κακὸς. ἀπελπλαρῦῳ. ἐκ τοῦ ἐλῶ
ἐλάζω. ἐλήλακα. ἐλήλαμαι.
Ἀπάτη. ἡ πλάνη. ἀάτη καὶ πλεοναβμῷ τοῦ
π ἀπάτη. ἐκ τοῦ ἀπατηλός.
Ἀπατῶ. πλανῶ. βουκολῶ. καὶ ἀποβουκολῶ.
Ἀπαυλαδιάζω. ἐκ τῆς αὐλάδης. ἐκ τοῦ ἀρῶ
τὸ ἀρόω. καὶ τῆς ἀρότος. ἀρτωνυμίας. ὁ
ἑαυτῷ ἀρόων.
Ἀπάλαμνος. ὁ μὴ δυνάμενος παλαμᾶσθαι.
ὁ ἐσὶ παχυήδαλος. ἢ ὁ ἐν μὴ παλαιόντων
ὁ ἐσὶ μάχῃ.
Ἀπαμνίεται. ἀποκεχώρισται. ἐκ τοῦ μνίω
τὸ μερίζω. καὶ μετὰ τοῦ σχετικοῦ ἀ,

Ἀμείρω· καὶ μετὰ τῆς ἀπὸ προθέσεως.

Ἀπέδου· ὅ ἐστι δίδωμι· ὅ μέλλων δώσω· ὅ δεύ-
-τερος ἀόριστος ἔδων· ὅ μέσος παθητικὸς ἐδό-
-μην· τὸ δεύτερ) ἔδοσο· καὶ ἔδου· καὶ μετὰ
τῆς ἀπὸ προθέσεως ἀπέδου.

Ἄπελος· τὸ τραῦμα· οὗ ἀπείληπται τὰ ἡδέα
τὸ ἀφῃρῆσθαι τῆς σαρκός· ἢ ἀπὸ τῶν θετα-
-λικῶν ἀπελ. ἅ ἐστι πολυφάρμακα· ἵνα δηλοῖ
τὸ ἀθεράπευτον.

Ἀπέλος τὸ ἕλκος· παρὰ τὸ μὴ προσπελάζειν
τὴν σάρκα ἀλλὰ διηρεῖσθαι· καὶ γὰρ ἕλκος,
παρὰ τὸ διείλκεσθαι τὴν σάρκα ἐκ τῆς τομῆς.

Ἀπαρκτίαις· πρϊστῆρος αἴσθωτο πνοαῖς.

Ἀπειθὴς· εἰς τὸ πείθω· καὶ δυσπειθὴς.

Ἀπειλὴ παρὰ τὸ ἄπωθεν εἶναι ἐλέους.
ἀπειλεῖν ἐστι τὸ ὑπϊσχν φ. σημαίνει καὶ τὸ
ὑπϊσχνεῖσθαι· τὸ πεῖ, δίφθογγον· τὰ εἰς λῆ
θηλυκά· ὀξύτονα τῶ εἶ διφθόγγω παραλήγε-
-ται· οἷον ἀπειλὴ· ὠτειλὴ· ὀφειλὴ.

Ἀποπατοῦρια· τῶ πανεψϊόνϊ τῶ διονύσω.
φασί δε καὶ τὸν Διόνυσον καὶ τὴν ἑορτὴν,
ἀπατοῦρια· ἢ ἀπὸ τῆς ἀπάτης· ἢ ἐπειδὴ
ἐν ταύτῃ τῇ ἑορτῇ τοὺς γεννωμένους ἐν
τῶ ἐνιαυτῶ ἐκείνω παῖδας τότε ἐνεγραφ).
ὀμνῶντες οἱ τρεῖς περὶ τοῦτο ἀπάτη ἐόντες,
τότε πρᾶς ἔχειν παῖδας· ἢ Ἀθηναίων ἐδό-
-κουν.

Ἀπαυλία· ἑορτὴ παρὰ Ἀθηναίοις· ὅτι τότε
ἄρχεται ἡ κόρη χωρὶς προσαυλίζεσθαι.

Ἀπειλῶ· ὅτι διὰ τῆς εἶ διφθόγγου γράφεται.

ἐφανέρωσαν γὰρ τὸ ε̄ οἱ αἰολεῖς, εἰποντες ἀπελλω. ὡς κείρω κερω. ἀπειλω ὅπερ σημαίνει τὸ εὔχομαι ἢ ὑπισχνοῦμαι. γίνεται παρὰ τὸ ἀπέλας ὃ σημαίνει τὰς φιάλας. δι' ὧν σπεύδοντες εὔχονται. ἢ τὸ ἀπειλεῖν. σημείωσαι ὑπόσχεσις ἐστὶ κακοῦ. καὶ εἰς τὸ πέλας.

Ἀπειλή. ἡ μετὰ ὀργῆς ἐπίπληξις. παρὰ τὸ ἀπέλλειν ὃ ἐστιν ἀπείργειν. ὁ γὰρ ἀπειλῶν τὸν θέλοντα τι πράττειν ἀπείργει. ἢ παρὰ τὸ ἄπω καὶ τὸ εἰλω. ἢ ἀποκλείουσα τῶν δεόντων. ἐστὶ γὰρ ἀπειλή. λόγος συστρέφων τὸ δέον. ἢ λόγος ἀπείργων τῶν ἁμαρτημάτων.

Ἀπειλλήμενοι. συνειλλήμενοι. συγκεκλείσμενοι. κεκρατήμενοι. ἀπὸ τοῦ λήβω τὸ λαμβάνω. ὃ σημαίνει. ὃ παθητικὸς παρακείμενος λέλειμαι. ἀπολέλειμαι καὶ ὃ Ἀττικὸς εἴλημμαι.

Ἄπειρος. ὅτε τὸν ἀμαθῆ σημαίνει. γίνεται ἀπὸ τοῦ πεῖρα. ἄπειρος. οἱονεὶ ὃ ἐστερήμενος τῆς πείρας. ὅτε δὲ τὸν μέγαν. ἀπὸ τῆς πρῶ γίνεται ἄπερος. καὶ κατὰ πλεονασμὸν τοῦ ῑ ἄπειρος. οἱονεὶ ὃ μὴ ἔχων πέρας.

Ἀπειρητός. ἀμαξιτός. ἀτράπιτος

Ἀπέκτατο. ἐκ τοῦ φονῶ φονεύω. παράγωγον κτῆμαι, ἔκταμαι, ἐκτάμην, ἔκταντο. ἀπέκτα ἐφόνευσεν. πελάτης, κλέπτης, ἀπὸ τοῦ ἀπελαύνειν τὴν ἀγέλην.

Ἀπελεύθερος. μὲν γὰρ ἐστὶν ὁ ἐκ δούλου ἠλευθε=
=ρώμενος. ἐξελεύθερος δὲ, ὁ γενόμενος διὰ
χρέος προσήλυτος. ἢ κατὰ ἄλλην τινὰ αἰτίαν
δουλώθ.

Ἀπεμυθεόμεω. ἀπηγόρευον. ἐκώλυον. μυθέω
μυθῶ.

Ἀπερρογώς. ἐκ τοῦ ῥήσσω τὸ ῥήγνυω

Ἀπεκτείνει. ἐκτείνει.

Ἀπελεύθερος. εἰς τὸ ἐξελεύθερος.

Ἀπέλεθρ). δυναμῖν ἀπ. ἔτρητον.

Ἄπενος. εἰς τὸ ἄφενος.

Ἀπεοικότα. ἐκ τοῦ εἴκω. τὸ ὁμοιῶ.

Ἀπερείσιος. ἐκ τοῦ πέρας. ἄπερος ἄπειρος.
ἀπειρέσιος. καὶ καθὑπερβιβασμῶ τοῦ ῑ.
ἀπερείσιος.

Ἀπερύκειν. κωλύειν. κατέχειν. κρατεῖν.
ἐρύω ἐρύκω. ἀπὸ τοῦ ἔρα. ὁ σημαίνει τὴν
γῆν. ἐράκω ἐρύκω. κατὰ τροπὴν τοῦ ᾱ εἰς
ῡ ἢ παρὰ τὸ εἴργω τὸ σημαῖνον τὸ κωλύω.
ἐργύω καὶ ἐρύκω. κύριως γὰρ ἐρύκειν τὸ ἐν
τῇ γῇ κατέχειν.

Ἀπεμόρξατο. ἀπενίψατο. ἀπὸ τοῦ ἀμέλ=
=γω, ἀμέλξω, ἤμελξα, ἠμελξάμην. ἠμέλξατο.
καὶ τροπῇ τοῦ ε̄ εἰς ο̄. καὶ τοῦ λ̄ εἰς ρ̄.
καὶ μετὰ τῆς ἀπὸ προθέσεως. ἀπεμόρξατο.
τὸ ἀπεδακρυσε σημαίνει.

Ἀπεμόρξατο. ἀπενίψατο. ἢ ἐδάκρυσεν. καὶ
εἰς τὸ ἀπεμόρξατο.

Ἀπερίσια. ἐκ τοῦ πέρας. ὧν οὐκ ἐστὶ πέρας.

Ἀπεστύπαζον. τύπτω ἀπετύπαζον καὶ πλεονασ=
=μῶ τοῦ σ̄ ἀπεστύπαζον.

Ἄπεσαν. ἀπέβαλον. διατί προπαροξύνεται. πᾶν ῥῆμα εἰς ἂν λῆγον χρόνῳ βραχεῖ παρα λήγει, ἁπλοῦν ἢ σύνθετον. ὃ ἐστὶ ῥῆμα δισύλ=λαβον προπαροξύνεται ἢ μὴ δωρικόν ἐστι. προπερισπᾶται δὲ μακρᾶς οὔσης. ὅθεν τὸ μὲν ἄπεσαν. τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν. τὸ δὲ ἀπεῖσαν ὀκέτι.

Ἀπεσκοράκιζεν. ἐξέρριπτεν ἢ ἐξέβαλεν. εἰς ἐρημίαν ἔπεμπον. Ἀριστοτέλης φησὶ λοίμου καταχόντος, καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας, καὶ περικαθαίρον=τας ἐᾶν ζῶντας. καὶ ἐπιλέγειν τῷ λοιμῷ φεῦγ' ἐς κόρακας. Ἀριστείδης ἀποδίδωσι. διὰ τὸ ἐν τραχέσι τόποις καὶ κρημνώδεσι νεοτ=τοποιεῖσθαι. λέγειν ἡμᾶς τὴν παροιμίαν. φεῦγ' ἐς κόρακας.

Ἀπέχθεια. ἐκ τοῦ ἀπεχθής. ἀπετίννυον. ἐκ τοῦ τίω τὸ ἀνταποδίδωμι. γίνεται δὲ κατὰ πλεονασμὸν τοῦ ν τύννω.

Ἀποσκορακίζω ἐκ τοῦ κόραξ. σημαίνει δὲ τὸ καταλιμπάνω. ζήτει ἑτέραν ἐπὶ τοῦ κόρακος ἱστορίαν ἐν τοῖς ὠζμερισμοῖς. εἰς ψαλμὸν κᾶ.

Ἀπέχθηεν. ἀπεχώρησεν.

Ἀπεχθής τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν ἀπεχθής. γέγονε δὲ παρὰ τῆς ἀπὸ προθεσ καὶ τοῦ ἔχθος. σημαίνει δὲ τὴν ἔχθραν.

Ἀπέχω. εἰς τὸ ἀποῆς.

Ἀπη. εἰς τὸ αἰπόλος.

Ἀπηγόρευσεν. ἀπείπεν. παρεκελεύσατο.

γίνεται ἐκ τῆς ἀπὸ προθέσεως καὶ τοῦ ἀγορεύω.
ἐξ οὗ καὶ ὁ ἀόριστος. ἀπηγόρευσε. σημαίνει
δὲ τὸ ἀπαγορεύω. τὸ ἀπαναίνομαι. ἐστὶν
ἀρνοῦμαι. τοῦτο ἐκ τοῦ ναὶ ἐπίρρημα. καὶ
ἐξ αὐτοῦ ναίνω. καὶ μετὰ τοῦ στερητικοῦ
ᾱ ἀναίνω τὸ ἀπαρνοῦμαι. καὶ μετὰ τῆς
ἀπὸ προθέσεως, ἀπαναίνομαι. καὶ εἰς τὸ
ἀπήνης. ἐκ τούτου οἶω τὸ ἀπαγορεύω.
Ἀπαλγηκὼς ἀναισθητήσας. παρὰ τὸ περι-
φροῆσαι τοῦ ἄλγους.
Ἀπεκαίνυτο. καινῶ. καινύω. καίνυμαι, ἐκκαι-
νόμην. ἐκαίνυτο.
Ἀπηλεγέως. ἐπιρρηματικόν. σημαίνει τὸ
ἀποτόμως. ἔστιν ἀλέγω τὸ βοηθῶ. ἐκ τούτου
γίνεται ἀλεγής. καὶ μετὰ τῆς ἀπὸ προθέσεως,
ἀπηλεγής. καὶ τὸ ἐπίρρημα ἀπηλεγέως.
ἢ παρὰ τὸ ἀλέγειν ἤγουν ἀφροντιστεῖν.
Ἀπηλειώτης ἄνεμος. διὰ τὸ πνεῖν ἐκ τῆς
ἡλίου ἀναφορᾶς. ἤγουν ἀνατολῆς.
Ἀπηνήνατο. ἐστὶν ἐπίρρημα συγκαταθέσεως
ναῖ. καὶ ἐξ αὐτοῦ γίνεται ῥῆμα ναίνω.
καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀναίνω. τὸ
ἀπαρνοῦμαι καὶ ὁ ἀόριστος ἐνεργητικός.
ἤνηνα. καὶ ὁ μέσος ἠνηνάμην. ἠνήνατο.
καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀπηνήνατο.
Ἀπηλεγέως. ἀποτόμως σκληρῶς κεκρυμμένως
ἀπαγορευτικῶς. διαρρήδην. ἢ ἀπὸ τοῦ
λῶξαι. ὅ ἐστιν ὑποπαύσασθαι γημερῶς.
φιλοσύντομος γὰρ ἡ δεινοπαθεῖα. οἱ γὰρ

λύπην θέλοντες διαφυγεῖν τὰς χρηστὰς κόπτουσιν ἐλπίδας.

Ἀπηλγηκότες. ἀποκάμοντες, ἀπελπίσαντες. καὶ ἀμεριμνήσαντες ἢ ἀναιαθήτως ἔχοντες.

Ἀπηνής. ὁ σκληρός. αἰνῶ καὶ κατὰ τῆς ἀπὸ προθέσεως. ἀπαινῶ. καὶ ἐκ τούτου ἀπαινής καὶ ἀπηνής. ὁ ὢν πόρρω τοῦ αἰνεῖσθαι. ἢ ἀπὸ τοῦ αἶνος ὁ σημαίνει τὸν ἔπαινον. γίνεται αἰνής καὶ προσηνής. ὁ εὐπροσήγορος, καὶ πρᾶος. παρὰ τὸ ἐγγὺς εἶναι τοῦ αἰνεῖσθαι. οὕτως ἐκ τοῦ ἐναντίου. παρὰ τὸ αἶνος. ὁ σημαίνει τὸν ἔπαινον, μετὰ τῆς ἀπὸ σηλοῦντος τὸ πόρρω. γίνεται ἀπηνής. ὁ πόρρω ὢν τοῦ αἰνεῖσθαι. ἢ ὁ μὴ ἡνίαις εἴκων. οἱονεὶ ὁ σκληρὸς ἀπὸ μεταφορᾶς τῶν ἵππων. ἔστι δὲ τριγενές.

Ἀπηνής. ὁ σκληρός. ἀπήνης δὲ ὁ καθαρός.

Ἀπηθημένος. μεμισήμενος. παρὰ τὸ ἄχθος, ὁ ἐστὶ μῖσος. καὶ εἰς τὸ ἀπεχθής.

Ἀπία. ἡ πελοπόννησος. καὶ τὸ δένδρον. τὸ πῖ ῑ διὰ τί. ἀπὸ Ἄπιδος τοῦ φρονεῦ. παιδός, ἢ ἀπὸ τοῦ ἄπιδος. ὁ σημαίνει τὴν ἀπιδέαν. ἢ ἐν καταξήροις τόποις ὑπάρχουσα. ἐκ τοῦ πίω γίνεται. ὁ σημαίνει τὸ πίνω. ἐκβολὴ τοῦ ν̄. ἐκ τούτου ὄμω γίνεται ἄπιος, καὶ τὸ θηλυκὸν ἀπία, ἢ ἐν πολλοῖς ἔτεσι

διψήσασα. καὶ ὅμηρος.

πολυδίψιον Ἄργος ἱκοίμην.

ἡ γὰρ πόλις ἐστὶν ἡ ἔλλας. ἡ δὲ χώρα Ἀπία. ἥτις ἡ τις ὕστερον ἀπὸ τοῦ πέλω καὶ τοῦ νῆσος ἐκλήθη πελοπόννησος. οἱ δὲ ἀπὸ τοῦ ἐκεῖ πρῶτον πεφυτᾶσθαι ἀπίους.

Ἄπιον. τὸ ἀπίδιον. παρὰ τὸ ἐν ξηρᾷ γῇ θάλλειν τὴν τοιαύτην ὀπώραν.

Ἄπιος. ἡ ὄχνη καλουμένη γενικῇ· ὅτι πρῶτον ἐν πελοπονήσῳ γέγονε. παρὰ τὸ ἐν διψηροῖς τόποις φύεσθαι. ἢ διὰ τὴν πιότητα τοῦ χυλοῦ αὐτῆς. ἀπία δὲ ἡ πελοπόνησος.

Ἀπίθησεν. ὁ ἀόριστος πρῶτος. ἔστι δὲ τὸ θέμα πιθῶ πρώτης συζυγίας τῶν περισπωμένων, καὶ γράφεται. διὰ τοῦ ι. ὁ μέλλων πιθήσω. ὁ ἀόριστος ἀπίθησας. ὅθεν καὶ ἐν τῷ κατὰ τῆς.

Ἀλέλεκται ἐν δούλοις τῷ καίσαρος δόγματι ἀπγράφης πιθήσας καὶ ἀπειθῶ ῥῆμα. τὰ λοιπὰ δῆλα.

Ἄπιος. ἡ ἥκιστα πίνουσα. ἥδεται γὰρ ὄνω παρὰ ξηρᾷ γῇ ἡ τοιαύτη ὀπώρα. ἔστι δὲ ὀπώρα οὕτω λεγομένη.

Ἀπίθησεν. ἀπεώθησεν. τὸ πι ι οἱ μὲν ὅτι ἐκ τοῦ ἀπειθὴς ἐστί. καὶ οἱ μὲν ἐν τῇ συνθέσει διὰ τῆς εἰ διφθόγγου γράφουσιν. ὁ δὲ κανὼν διὰ τοῦ ι. ὁ δὲ ἡροδίανος λέγει. ὅτι τὰ ἀπὸ βαρυτόνων μεταγόμενα, εἰ περισπώμενον γράφεται διὰ τοῦ ι. φιδῶ. καὶ φιδήσεται.

οὕτω δὲ ἐστὶ τὸ ἀπιθῶ, διὰ τί περισπᾶται.
τὰ δὲ θῶ ῥήματα ἔχοντα ὅτι προϋποκεί-
-μενον περισπώμενον οἷον μισῶ.

Ἁπλότης. μωρίᾳ διαφέρει. ἁπλότης γὰρ ἐστι
φρόνησις ἀπηλλαγμένη πανουργίας. καὶ οἷον
ἁπλῆ τις οὖσα. καὶ μὴ μεμιγμένη δυστροπία.
μωρία δὲ, ἠρεμία φρενῶν.

Ἁπλοῦς. ἀντὶ μία γράφομεν ᾱ οὕτω ἐκ τοῦ ᾱ,
γίνεται ἁπλοῦς. οὐχὶ κατὰ σωθέσιν. ὁμοίως
καὶ ἀπὸ τοῦ δύο διπλοῦς καὶ τριπλοῦς. ὁμοίως καὶ
τὰ θηλυκὰ αὐτῶν. οἷον διπλῆ, τριπλῆ. τετρα-
-πλῆ. οὐ γίνεται δὲ ἀπὸ συναρεῖς. οἷον ἄπλοος.
ἁπλοῦς. ἐπειδὴ τὸ θηλυκὸν αὐτῶν ἁπλόϊα
εἶχεν εἶναι ἁπλοῦς. ἁπαλὸς δασύνεται. ἡνίκα
δὲ γένηται κατὰ τροπὴν ψιλοῦται.

Ἁπλοῦς. παρὰ τὸ ᾱ τὸ σημαῖνον τὸ ἕν, καὶ τὸ
πέλω τὸ ὑπάρχω, ἄπελος ἀπελοῦς, καὶ ἐν συγ-
-κοπῇ ἁπλοῦς. ἀποβολῇ τοῦ ν καὶ τροπῇ εἰς
σ. ὁ πέλων εἰς ἁπλοῦς, τὸ μὴ ἐκ πλειόνων
ἔχον τὴν σύστασιν. πλῆτα. οἷον ἄπλησα
κατὰ διάλεκτον. λέγεται δὲ τὸ ἄπλετον συγ-
-κοπῇ τοῦ σ. σημαίνει δὲ τὰ ἄμετρα καὶ
πολλὰ ἐπιτάσιος τοῦ ᾱ.

Ἄπλησος. ἐκ τοῦ πλῶ τὸ πληρῶ. ἄπλετον
μέγα.

Ἀπλησία. διὰ τοῦ ῑ. γράφεται οὐ γὰρ εἴρηται
ἀπλησεύομαι. ἵνα ἐκ τούτου γράφοιτο διὰ τῆς
εἰ διφθόγγου. ἀντὶ δὲ παρὰ τοῖς ἰδιώταις
λεγομένου ἀπλησεύομαι. πλησηριαζόμενον
εἴρηται τοῖς ἀρχαίοις.

Ἀπὸ ἄρσεων καὶ ἀπὸ βασταγμάτων. πόθεν ἄρ-
σις. παρὰ τὸ αἴρω τὸ βαστάζω. τὸ εἰς ὕψος βας-
τάζωμενον. ὁ μέλλων ἀρῶ. ὁ παρακείμενος
ἦρκα. ὁ παθητικὸς ἦρμαι, ἦρσαι, ἄρσις.
Ἀποβρίζω. τὸ ἀπὸ βορῶ νυστάζω. παρὰ τὸ βορά.
καὶ τὸ ἴζω τὸ κατανεύω.
Ἀποαίρεο. αἴρω καὶ τὸ παθητικὸν αἴρομαι,
ὁ παθητικὸς παρατατϊκος. αἱρόμην τὸ δεύ-
τερον αἱρῶ. καὶ τὸ προστακτικὸν αἱρῶ. καὶ
κατὰ διάλυσϊν ἐρέω. καὶ ἐν συνθέσει ἀποαί-
ρεο.
Ἀποαιρεῖσθαι. ἁρπάζειν, ὅ ἐστιν ἀφαιρεῖσθαι
κατὰ τὸ τιλῆρες τῆς ἀπὸ προθέσεως μὴ
συγκοπήσης. ὅμηρος.
Ἀποαίρεο. παθητικός, παρατατικός. ἀπὸ
τοῦ αἴρω τὸ καταβάλλω. τὸ προστακτικὸν
αἱρῶ καὶ κατὰ διάλυσϊν αἱρεο. καὶ μετὰ
τῆς ἀπὸ προθέσεως. ἀποαίρεο.
Ἀποβουκολῶ. συμαίνει τὸ ἀπατῶ καὶ ἀπο-
πλανῶ.
Ἀποβρίξαι. τὸ ἀπὸ βορᾶς νυστάξαι.
Ἀπόγονος. εἰς τὸ ἔκγονος.
Ἀπὸ δόξης. ἄποθεν ἣς ἔχομεν διαθέσεως.
Ἀπεμόρξατο. τὸ θέμα ὁμόρω. ὁ μέλλων
ὁμόρξω. ὁ ἀόριστος ὤμορξα. ὁ παθητικὸς
ὠμορξάμην. ὠμόρξω. ὁμόρξατο. καὶ μετὰ
τῆς ἀπὸ προθέσεως, ἀπεμόρξατο.
Ἀποδαρθεῖν. μήτ' ἄρτον αἱρεῖσθαι μήτ' ἀπο-
δαρθῆναι. τουτέστϊ κοιμηθῆναι ἔστι ῥῆμα
δρῆθω τὸ κοιμῶμαι. ὁ β̄ ἀόριστος ἔδραθον.

καὶ ὑπερβιβασμῶ τοῦ ᾱ ἔδραθον. καὶ ὃ μέλλων
ᾱ ϟ δαρθῶ τὸ ἀπαρέμφατον δαρθεῖν κατὰ
ἀντίφρασιν. δρῶ γίνεται τὸ ἐνεργῶ. οὗ παρά=
γωγον δρήθω. οἱ δὲ κοιμώμενοι οὐδὲν ἐνεργοῦσι.
συντάσσεται τὸ δρῶ μετὰ δοτικῆς.

Ἀπόδειξις. ἀπὸ τοῦ ἀπόδεξῖς κατὰ ἡρόδοτον κα=
=τὰ πλεονασμὸν τοῦ ῑ. ἀπόδειξῖς.

Ἀποδημία ἐπιδημίας διαφέρει. ἀποδημία μὲν
γὰρ ἐστῖν. ἡ ἀφ' ἑτέρου ἐφ' ἕτερον ἔξοδος. ἐπι=
=δημία δὲ ἡ εἰς τὸν αὐτὸν τόπον ἐπάνοδός τε
καὶ ὑποστροφὴ ἢ ἐξῆλθε τίς.

Ἀποδοκῖμος. εἰς τὸ ἀπόνοια.

Ἀποδοῦναι. εἰς τὸ δοῦναι.

Ἀπόειπε ἀόριστος δεῦτερος. προστακτικὸν ἐνερ=
=γητικόν. ὃ κανῶν. πᾶν προστακτικὸν δισσύλλα=
=βον βραχυκατάληκτον ἐνικὸν ἐν τῇ συνθέσει
ἀναβιβάζει τὸν τόνον. οἷον ἐλθὲ πρόελθε.
εἰπὲ ἀπόειπε. ὃ ἐστῖν ἀπάρνησαι.

Ἀπόειπε. διὰ τί προπαροξύνεται. τὰ γὰρ
προστακτικὰ εἰ μὲν ὦσι δισύλλαβα καὶ βρα=
=χυκατάληκτα. ἐν τῇ συνθέσει ἀναβιβά=
=ζουσι τὸν τόνον. οἷον ἐλθὲ πρόελθε.
καθ' προειπῆ.

Ἀπὸ ῥῆς. ἀπὸ τῆς γῆς. οὐκ ἀναστρέφεται
ἡ πρόθεσῖς. ἐπειδὴ ἡ ἀπὸ πρόθεσις συν=
=τασσομένη μετὰ γενικῆς, τὸν οἰκεῖον τόνον
φυλάσσει. ὡς ἐν τῷ φίλης ἀπὸ πατρίδος.
καὶ δηλοῖ χωρισμόν. ὡς ἐπὶ τοῦ ἀπέχω
πόρρωθεν ἐμαυτὸν καὶ καθιστῶ καὶ ἀποβάλλω.

καὶ ἀπορριπτω καὶ τῶν ὁμοίων.

Ἀποθέσθαι. ἀποβαλεῖν. διὰ τί μὴ ἦν ἀπόθεσθαι. πᾶν ἀπαρέμφατον φυλάττει τὸν ἴδιον τόνον.

Ἀπόθου. εἰς προ οὗ.

Ἀποθανεῖται. ἀπὸ τοῦ θνῶ θνήσω. ὁ δεύτερος ἀόριστος ἔθανον. καὶ ἐξ αὐτοῦ ἔθαν. καὶ γίνεται θανῶ. θανοῦμαι, καὶ θανεῖται.

Ἀποθανεῖν. εἴρηται ὅτι ἀποχωρισμὸν δηλοῖ. οἷον ἀπέρχεσθαι. αἱρεσθαι. τὸ χωρίζεσθαι τινὰ ἀπερχόμενον. ἀπ' οὔατος εἴη. ἀνεύ=επος. ἀντὶ τοῦ ἐκτὸς γένοιτο. καὶ τὸ ἀποθανεῖν οὕτως ἔχει. καθόχωρίζονται οἱ τεθνεῶτες τῶν ζώντων. οὕτως Ἀπολλώνιος. ἐν τῷ περὶ προθέσεως.

Ἀπεῖπεν. ἀντὶ τοῦ ἀπηόρευσεν. ὅμηρος

Ἀποθυμία. ἀπὸ τοῦ θῶ θυμός. ἀπόθυμος. ἀφ' οὗ τὸ ἀποθυμῖον. ἀηδῆ καὶ οὐκ ἀρεστά. ἐξ οὗ καὶ ἀποθυμία ἔρδοις. σημαίνει δὲ ἐχθρὰ πράξ=οις. ὅμηρος

Ἄποινα. ἀντίδοτα λυτρά. οἱ μὲν ἐκ τοῦ φό=νος ἄφονος. καὶ πλεονασμῷ τοῦ ι. ἄφοινος, ἄφοινά τινα ὄντα τὰ ὑπεξαιρούντα τοῦ φονη=τικοῦ. οἱ δὲ ἐκ τοῦ ποινὴ ἢ τιμωρία, γίνεται ἄποινος. ἢ ἐκ τοῦ φονὴ ὃ σημαίνει τὸν τόπον τῶν ἀναιρουμένων.

Ἂν δὲ ἀπαίροντας ἐν ἀγαλέησι φονῆσι. καὶ προπαροξύνεται. τὰ γὰρ ἀπὸ τῶν εἰς ᾱ καὶ εἰς ῆ δηλυκ. εἰς ος γινόμενα ὀνόματα ἀρσενικὰ προπαροξύνονται. οἷον ὥρα ἄωρος

ποινή ἄποινος. τὸ δὲ ποινή ἐκ τοῦ φόνος γίνεται. ἄφονος πλεοναζμὸ τοῦ Ι. καὶ προ-
σπῇ τῇ δαΐκος εἰς φιλόν γίνεται ἄποινος.
τετραχῶς γὰρ τὰ εἰς η λιγυκά· ἢ γὰρ φυλάτ-
τεθαι, ἢ προσλαμβάνουσιν· ἢ τρέπουσιν· ἢ
μεταποιοῦσιν εἰς ου δίφθογγον· λέγεται δὲ αἱμα-
τικόν καὶ τὸ ἄποινα, ἀποινᾶς· δευτέρας
συζυγίας τῶν περισπωμένων· τουτέστι τὰ
χεύματα εἰσπράττομαι. τὸ δὲ φόνος παρὰ τὸ
φένω τὸ ἀναιρῶ. ὃς λέγω λόνος· τὸ δὲ
φένω παρὰ τὸ ἔνω τὸ φονεύω· ἐξ οὗ καὶ
ἐνυάλιος ἐνυάλιος· καὶ ἐνυώ· ἡ πολεμική θεός· τὸ
δὲ ἔνω παρὰ τὸ ἐῶ· τὸ τελεῖω· πλεοναζ-
μὸ δὲ τοῦ ν· πολλαχῶς ἐν ταῖς περιόδοις
οἷον ἄξιος· ἀνάξιος· αἰσχυντηρός· ἀναίσχυ-
ντος· αἰδοῦς· ἀναιδοῦς· εἴρηται δὲ ἀπὸ
τῶν τοξῶν.

Ἀπὸ δοξῆς· ἄποθεν ὧς ἔχομεν διαλύσεις.
ὄμηρος ἀπὸ καὶ κλιβίαων· ἔξω τῶν
βελῶν· πότε ἀναιρέφεται· καὶ πότε οὐκ
ἀναιρέφεται· ὧδε ἀναιρέφεται· διατί·
ἐπειδὴ αἱ ἀναιρεφόμεναι προθέσεις· ὅτε
μεταξὺ δύο· κυρίων ἢ προσηγορικῶν ὡρι-
σθεῖσι συνδέσμῳ μεταλαμβανομένῳ μετὰ
τὴν πρόθεσιν· ἀποιρέφεται οἷον· ἀπὸ καὶ
κλισιάων· Ἀγαμέμνονος περὶ καὶ Ἀχιλλέος·
καὶ ἐὰν μεταξὺ δύο ὀνομάτων ἡ πρόθεσις·
τοῦ μὲν κυρίου ὄντος· τοῦ δὲ ἑτέρου προση-
γορικοῦ ἢ ἐπιθετικοῦ ἐν πᾶσι τούτοις ἀ-
ναιρεῖσθαι δεῖ τὴν πρόθεσιν· οἷον
— μάχη ἀν κυδιανείρα·

Ἀποκαραδοκία. ἀντὶ τοῦ ἐλπίδα. παρὰ τοὺς ἀποσκοποῦντας τὶ ἐλπίζοντας τῇ κεφαλῇ. τὸ ἦθος ὑποσημαίνειν. κάρα δὲ ἡ κεφαλῇ. δοκοῦσι δὲ τὸ ἀποβλέπειν καὶ ἐλπίζειν.

Ἀποκήρυκτος. ὁ ἐκποίητος. διαφέρει. ἀποκήρυκτος μὲν γὰρ ἐστὶ ὁ ἐπ' ἀδικήμασι τῆς οἰκίας ἐκβληθεὶς. ἐκποίητος δὲ ὁ δοθεὶς ἑτέρῳ. οὕτως Ἐρατοσθένης.

Ἀποκναιόμενοι. διαφθειρόμενοι. ἀποκοπιόμενοι. ἀπολυόμενοι. λυπούμενοι. ὀδυνώμενοι. ἔστι ῥῆμα κτῶ. ὁ σημαίνει τὸ φονεύω. οὗ παράγωγον κταίνω. ἀποβολὴ τοῦ τ καίνω. καὶ μεταθέσει κναίω. τὸ δὲ συντάσσεται κατὰ αἰτιατικῆς.

Ἀποκναίεις. λυπεῖς δίφθογγον. εἴρηται παρὰ τὸ κταίνω. ὅθεν καὶ τὸ ἀπέκτα. ἀποκταίεις.

Ἀπολαύσω. παρὰ τὸ λῶ τὸ θέλω. οὗ τὸ παράγωγον λαύσω, καὶ ἀπολαύσω. ἀποκτέννω διὰ δύο νν. καὶ ε ψιλοῦ. οὐ γὰρ ἐστὶ κταίνω κτανῶ, ἀλλὰ κτέννω κτανῶ.

Ἀπὸ κοπρίας. πόθεν γίνεται. ἀπὸ τῆς ἀπὸ προθέσεως. καὶ τοῦ κόπρος. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐκεῖ ῥεῖν τὴν κόπρον ἡμῶν.

Ἀποκλήρωσις. ἡ οἰκειώτης καὶ σχέσις τοῦ πράγματος. εἴρηται δὲ καὶ ἀποκλήρωσις. ἀπὸ τοῦ κλήρου. εἴτε τῆς κληρονομίας, εἴτε τοῦ μέτρου τῆς γῆς. ἐν ἀμφοτέραις γὰρ σχέσις ἐστὶν. οἰκειώτης τοῖς κληρονόμοις καὶ κληροῦχοις.

Ἀπολαύω · τοῦ φιλέω · κατὰ διφθορὰν · καταδολ
: λοῦ ἐστὶ τὸ ἀθέλω · Θεόκριτος ·

Λῦς ποτὶ τὰν ὑδρίαν — οὐ παράγωγον
λαύω καὶ ἀπολαύω · τὸ ἀπέχειν καὶ ἀπελαύειν
ὅτις δέλει ·

Ἄπολλον · ὅταν προπαροξύνεται ἡ κλητικὴ
διὰ τοῦ ο μικροῦ γράφεται · οἷον Ἀγάμεμνον.
ἐνόδιχθον · εἰ δὲ παροξύνεται διὰ τοῦ ω με
: γάλου γράφεται · οἷον χαλκοχίτων · ὦ πλα
: τών · δεδημεύσθω ὦ λακεδαίμον καὶ παλαι
μνῆ · δυμαίνει δὰ τὴν πύλην ·

Ἄπολλον καὶ ἡ ὠιδὴ τῶν · ὁ ἀπόλλων καὶ κλίνε
: ται ἀπόλλωνος · τὰ εἰς λων ὀνόματα διβδλ
: λαβα · εἴτε ὑπὲρ δύο βυλλαβάς · φυλάββει
τὸ ω ἐπὶ γενικῆς · οἷον ἀδκάλων · ἀπόλλων
δόλων · καὶ ἔστιν ἡ κλητικὴ ἄπολλον διὰ
τοῦ ο μικροῦ · καὶ ἀναβιβάζει τὸν τόνον ·
ἐπεὶ τὰ εἰς ον δύνδετα λήγοντα διδύλλαβα
ὅταν εἰς ο λήγῃ ἡ κλητικὴ · ἀναβιβάζει τὸν
τόνον · ἐπὶ τῆς κλητικῆς / ὅταν ἔχωσι τὴν
κλητικὴν εἰς ο διὰ τοῦ ο μικροῦ · διὰ τί
τὸ ω μέγα ὦ χαλκοχίτων καὶ ὦ φιλιππάτων,
ταῦτα γὰρ εἰς ων ἔχουσι τὴν κλητικήν,
ἀλλὰ διὰ τοῦ ω · καὶ ἀναβιβάζει τὸν τόνον
ἐπὶ τῆς κλητικῆς · τί ἐστὶν ὅταν εἰς ον ἡ
κλητικὴ ἀπόκειται · διωξακούεται τὸ ω
εἰς μικρόν · οἷον ἀγαμεμνον ὀλβιόδαιμον ·
καλὸς ὕπν) · προσκεῖται ὑπὲρ δύο βυλλαβάς,
διὰ τὸ ἄκμων ὦ ἄκμων · τοῦτο γὰρ δισύλλα
βον ἐστί, παρὰ τὸ ἀ ἐπιτατικὸν καὶ τὸ κάμων

ἀκάμων. καὶ ἄκμων. ὁ πάνυ κάμνων. ἔχει
οὖν τοῦτο διὰ τοῦ ο τὴν κλητικήν. καὶ οὐ
προπαροξύνεται κατὰ τὴν κλητικήν. ἐπειδὴ
δισύλλαβον ἐστὶ. προσκεῖται σύνθετα. διὰ
τὸ ἱκετάων καὶ μαχάων. καὶ ἀρετάων. ταῦ-
-τα γὰρ οὐ προπαροξύνεται κατὰ τὴν κλητι-
-κήν, ἀλλὰ προπερισπῶνται. ἐστὶ σύνθετον καὶ
τὸ ὦ Λακεδαῖμον. συσημειώμενον. οὕτω γὰρ
φασὶ λέγεσθαι τὴν πόλιν. ἐπειδὴ πρῶτον οἱ θεοὶ
ἔλαχον καὶ ἐκληρώσαντο τὰς πόλεις. οἷον
λαχεδαίμων τίς οὖσα τροπῇ τοῦ δασέος εἰς ψι-
-λόν. καὶ τὸ παλαίμων παρὰ τὸ πάλη. ὁ
σημαίνει τὴν παλαίστραν. καὶ τὸ αἵμων. ὁ
σημαίνει τὸν ἔμπειρον. γίνεται παλη αἵμων.
καὶ συγκοπῇ παλαίμων. θέλουσι δὲ τὸ εὐδαί-
-μων ὄνομα κυριονμὴ προπαροξύνεσθαι ἐν
τῇ κλητικῇ, ἀλλὰ προπερισπᾶσθαι. πρὸς
ἀντιδιαστολὴν τοῦ ἐπιθέτου. ἐκεῖνο γὰρ προ-
παροξύνεται κατὰ τὴν κλητικήν. εὔδαιμον
ὡς κακόδαιμον καὶ ὀλβιόδαιμον. ἔμπροσθεν
εἰρήκαμεν. ἐνοῖι. ἐστὶ δὲ Ἀπόλλων ὁ ἥλιος
παρὰ τὸ ἀπολύειν, ἢ πάλλειν τὰς ἀκτῖνας.
ὁ δὲ λεγόμενος θεός. παρὰ τὸ ἀπολύειν
τοὺς ἀνοῦς τῶν κακ. ἰατρὸς γὰρ καὶ μάντις
ἦν. ὁ κανών. τὰ εἰς λῶν ὑπὲρ δύο συλλα-
-βὰς διὰ τοῦ ω κλίνεται. οἷον ἀσκάλων.
ἀσκάλωνος. ἀπόλλων ἀπόλλωνος βαρύνε-
-ται. τὰ εἰς λῶν λήγοντα ὑπὲρ δύο συλ-
-λαβὰς, βαρύνεσθαι θέλει, εἰ μὴ ἦ περι-
-εκτικά. ἀσκάλλων. ἀπόλλων τὸ

Ἀμπέλων καὶ μηλῶν περιεκτικά. σεσημείωται τὸ βαβυλῶν. καὶ τὸ μὴ βάλλων θηλυκὸν ὃ σημαίνει τὴν μονωδίαν. οὕτω καλλίμαχος.

Ἀπόλλων. παρὰ τὸ ἀπόθητα βάλλειν. ἢ παρὰ τὸ ἀποθὲν βάλλειν. τὴν ὀργήν. ἢ ἀπελαύνων καὶ ἀπολύων ἀφ' ἡμῶν τὰς νόσους. ἢ παρὰ τὸ ἁπλοῦν καὶ λύειν τὸ συνεστὸς τῆς οὐσίας. καὶ τὸ σκότος. καὶ εἰς τὸ φίλος.

Ἀπόλλων ὄνομα κύριον βασιλὰς φεγών. ἐκ τοῦ ἀπολύειν τοὺς ἄνους τῶν κακῶν. ἰατρὸς γὰρ καὶ μάντις.

Ἀπολογεῖσθαι τοῦ ἀπολογήσασθαι διαφέρει. ἀπολογεῖσθαι μὲν γὰρ ῥητέον. τὸ ἀποδιδόναι τὸν λόγον τῶν δαπανημάτων. καὶ τὸ ἁπλ. λογίζεσθαι. οἱ ἀριθμητικοί. ἀπολογήσεσθαι δὲ ἐπὶ τῷ λόγῳ τὴν κατηγορίαν ἀνασκευάζειν.

Ἀπόνασθαι. ἀπολαύεσθαι. ἀπὸ τοῦ ὀνῶ τοῦ σημαίνοντος τὸ ἀπολαύω. γίνεται ῥῆμα εἰς μι. ὄνημι. ὁ παθητικὸς παρατατικὸς ὠναμῶν. καὶ τὸ ἀπαρέμφατον ὄνασθαι, καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀπόνασθαι. τὸ δὲ ὀνῶ σημαίνει τέσσαρα. ὀνῶ τὸ ὠφελῶ.

ἔπειτα καὶ αὐτὸς ὀνήσεαι αἴκε πίηαθα. συντάσσεται μετὰ αἰτιατικῆς. ὠνῶ τὸ ἀγοράζω ἐξ οὗ καὶ τὸ ὠνητός. αἰθαλωτὸς εἰς πάτραν μολῶν καὶ ὠνησάμην δούλην. ἀμφότερα πρώτης συζυγίας τῶν περισπωμένων. ὀνῶ τὸ ἀπολαύω. ἔστι δευτέρας συζυγίας

τῶν περιεστραμμένων. ὀνομ. τὸ ἀπόλαυσις. εἰσὶ δὲ τέτρασι δυσχερείας τῶν περιεστραμμένων. ἀταξία ἀχιλλεὺς οἷς τῆς ἀρετῆς ἀποκήδεται. καὶ ὀνομ. τὸ μέμφομαι. ἐξ οὗ ὁ μέλλων ὀνόσω. ὡς τὸ

ἔνδαλεν ὡκέτι ἔτεγον ἀκὴν ὀνήσαι τομιτελῶν.

συντάσσεται δὲ τὸ μὲν ὀνομ. τὸ μέμφομαι. πτωσὶ αἰτιατικῇ. τὸ δὲ ὀνομ. τὸ ἀπόλαυσις, πτωσὶ γενικῇ. τὸ δὲ ἀγοράζω δοτικῇ. τὸ δὲ ὠφελῶ πτώσει αἰτιατικῇ.

Ἀπονοσήσειν ἀναχωρήσειν. ἀπὸ τῆς νόσου τοῦ δυσαίνοντος τὴν ἀναχώρησιν. ἢ μεταφορὰ δὲ ἀπὸ τῶν ἐδεσμάτων. ὡς Φιλίτης ὁμηρος.

ὡς ἡδὺν γλυκερῶν πεῖδος ἐπῆς. ἠδὲ τὸ κιόνων.

Ἀπόρημα παρ' Ἑβραίοις μέτρον καλεῖται. εἰσὶ δὲ τὸ ἥμισυ τοῦ ὅλου.

Ἀπονοια καὶ ἀπονοσία διαφέρει. ἡ ἀπὸ προσθέσεως χωρισμὸν δηλοῖ. ἀπονοσία δὲ. οἷον ἀπόσαβιν ἔχειν τῆς νῆς. ἀπόνοια δὲ. ἡ χωρίζουσα τῆς δέοντος. καὶ ἀποδόκιμος λέγεται. ὁ κεχωρισμένος τῆς δοκούσης δόξης.

Ἀπορίου. ἀπὸ τοῦ ἀπορουμένου τοῦ ὄρους.

Ἀπομαστόμενοι. ἀναλαμβάνοντες. μιμούμενοι. οἱ δὲ, παρὰ τὸ ἀποπάλλειν τὰς ἀκτῖνας.

Ἀπομάγματα. καὶ ἀπομάξεις διαφέρει. ἀπομάγματα μέν εἰσιν, τὰ ἀποτυπώματα. καὶ ἀποβρογχίσματα. ἀπομάξεις δὲ, καὶ ἀπαυγάσματα, καὶ ἀκτινοβολίαι.

πόπαρος.

Ἀπόπατος. ἡ τῶν βιτίων διὰ γαστρὸς

μένωσις. καὶ ἀποπατηα διὰ τὸν πάτον. ὅ ἐστι τὴν ὁδὸν, τὸ ἀπόθεν τοῦ πάτου γινόμε-νον.

Ἀπόπατος. κόπρος

Ἀπόρυμα παρ' Ἑβραίοις μέτρον καλεῖται ἐστὶ δὲ τὸ ἥμισυ τοῦ σάτου. τὸ δὲ σάτον, παρ' ἄλ-λοις δὲ ιη καὶ ιδ καὶ εἰς τὸ σάτον. ἐστὶ δὲ ἐν τύπῳ κεραμεῖν.

Ἀπόνοια. πόηλητος. ὅ ἀποστὰς τοῦ βάρη καὶ δέοντος.

Ἀποπλεῖν. εἰς τὸ πλεῖν.

Ἀποπνεῖν. εἰς τὸ πνεῖν.

Ἀπορία ἀφορίας διαφέρει. ἀπορία μὲν γὰρ κυρίως. ἀργυρίου σπάνη. ἀφορία δὲ, ἐνδεῖα καρπῶν.

Ἄπορος πρὸς ὅ μηχανὴν ἀδώνατον εὑρεῖν, πορῶ. παρὰ τὸ ἄπορος. τοῦτο παρὰ τὸ πό-ρος. ὅ σημαίνει τὸν ἀδιάβατον τόπον.

Ἄπορος κυρίως ὅ ἀδιόδευτος. πόρος γὰρ ὅ περάσιμος τόπος.

ἀλλότε δὴ πόρον ἥξον. —

καὶ ὅ μὴ χρήματα ἔχων. τουτέστιν ὅ μὴ διά-βασιν ἔχων χρημάτων. ἐξ οὗ καὶ γίνεται ἀπορία.

Ἀποσκορακίζω. ἀπὸ τοῦ κόραξ, κόρακος, κο-ρακίζω καὶ σκορακίζω. σημαίνει δὲ τὸ κατα-λιμπάνω ὕστερ). λέγουσι γὰρ τινες, ὅτι ἐδόθη χρησμὸς τισὶ παρακαθημένοις πόλει τοῦ λαβεῖν αὐτὴν. ἵνα ἐὰν ἴδωσι λευκοὺς κόρακας ἐν τῇ πόλει, ἣν ἔμελλον πορθῆσαι καὶ κρατῆσαι, μὴ πορθεῖν αὐτὴν, ἀλλ' οἴκοι

ὑποστρέφειν. λαβόντες δὲ οἱ ἐν τῇ πόλει κό-
-ρακας, τοῦτο πυθόμενοι καὶ λευκάντες αὐ-
-τοὺς μετὰ ἀσβεστίου, ἀπέλυσαν ἔξω τῶν
τειχῶν. οὓς θεασάμενοι οἱ ἐναντίοι, ἀπόρ-
-θητον αὐτὴν κατέλειψαν. καὶ εἰς τοὐπίσω
πλανηθέντες, ὑπέστρεψαν. καὶ λοιπὸν ἐκ
τούτου λέγουσιν ἀποσκορακίζω.

Ἀποσκορακισμός. ὕβρις. ἐξουδένωσις. ἐντε-
-λισμός. δίωξις. ἐξωρία.

Ἀποτέλεσμα. εἰς τὸ ἀποφορά.

Ἀποτρέπω. διώκω. ἐξ οὗ καὶ ἀποτρόπαιος,
καὶ δεινός. καὶ κακός καὶ μισητός καὶ φευκ-
-τός. καὶ τὴν ὄψιν φοβερός.

Ἀποστύσεις. ἀπὸ πρόθεσις στύσεις ῥῆμα.

Ἀπούατος. ἄπωθεν τοῦ ὠτός. οἱονεὶ ὁ
μὴ ἀκούων ἐκ διαστήματος. ὅμηρος.

Ἀπούρας. ἀφελόμενος. αὐρῶ τὸ ἀπολαύω.
πρώτης συζυγίας τῶν περισπωμένων. ὁ
μέλλων ἐπαυρήσω. ὁ ἀόριστος ἐπήυρησα.
συγκοπῇ ἐπῆυρα. ἡ μετοχὴ ἀπαύρας.
καὶ τροπῇ. τοῦ ᾱ εἰς ο̄ ἀπούρας. καὶ
τί μετέχει. τὴν ἀπόλαυσίν μου ἀφελόμε-
-νος κατέχεις.

Ἀπούρας. παρὰ τὸ ἀπαίρειν. ὅ ἐστιν ἀπο-
-λαύειν. τροπῇ τοῦ ᾱ εἰς ο̄.

Ἀπούρας. ἀπαυρ. καὶ τροπῇ τοῦ ᾱ εἰς
ο̄. αὔρειν καὶ τὸ ἀπολαύειν. ἔνθεν σύν-
-θετον ἐπαυρήσεσθαι. οἴω. ἀπαύρειν οὖν
καὶ ἀπούρας. οἷον ἀφελόμενος. τὴν ἀπό-
λαυσιν τοῦ γήρους. οἱ δὲ φασίν. ἀπὸ —

μεταφορᾶς τῶν ἀποβαινόντων τῇ ὀργῇ τινός.
ἀπουρήβας καὶ ἀπόρρας.

Ἀπότομον. τὸν ἀπόκρημνον καὶ ἀπότομον. ἢ
τὸ ἄδοτον πρὸς τὸ ἐνδόβιμον. παρὰ τὸ
ἐνδιδόναι καὶ παραχωρεῖν. ἐν ἑτέροις δὲ
δυμαίνει τὴν πρώτην.

Ἀπὸ δκοπου. ἀπωθῶν, ἔξω τοῦ δκοποῦ. ἐξ
ἀπεικασμοῦ. εἴρηται δὲ ἀπὸ τῶν τοξοτῶν.

Ἀπότροπος οἶνος. τρέπειν γὰρ αὐτὸ τὸ
πατῆσαι. ὅθεν τό καὶ πρὸ τῆ παλιλῆναι
γινόμενον ἀπόταγμα τῆς σαφυλῆς. ἀπό-
τροπος οἶνος λέγεται. οὕτως ἐπαφρόδιτος ἐν
ὑπομνήσει ἀβπίδος ἠδιόδου.

Ἀποφλαυρίζοντες. ἐπιπωλάζοντες. ἐξευτελί-
ζοντες. ἢ ὡς πονηρὸν ἀποσκευαζόμενοι. ἀεὶ γὰρ
τὸ φλαῦρον ἐπὶ τῆ πονηρᾶ τάττεται. φαῦλ)
γάρ ἐστιν ὑπερβιβάσμῳ τοῦ λ καὶ πλεονα-
σμῷ τοῦ ē φλαῦ) ἐπὶ τοῦ πονηροῦ. καὶ τὸ
φαῦλον δηλοῖ ποτὲ μὲν τὸ μέγα καὶ ἀδρὸν
καὶ καλὸν καὶ παχύ. ἔνι οἱ φαῦλ), τὸ ὁλοχε-
ρές. παρὰ . . . τοῦ ῶ μεγάλῳ. τοῦτο
παρὰ τὸ φάος, ὃ δυμαίνει τὸ λάμπω. ὅμηρος
——— φάε δὲ χευδόμενος ὡς.

Ἀποφορὰ καὶ εἰσφορὰ διαφέρει. ἀποφορὰ μὲν
γάρ ἐστὶ τὸ ὑποτεταγμένον τελεσμένον τοῖς δεσ-
πόταις. τὸ δὲ ὑπὸ τῶν πολιτῶν δημοβία δι-
δόμενον, ἀποτέλεσμα καὶ εἰσφορά.

Ἀποφράδες. οὕτως ἡμέρας προσηγορεικῶς κα-
λουμένας. καὶ ἡμέρας κάδες πελασβίῃ. φθίνοντος τῆ

μηνός. τετράδα. τρίτην, δευτέραν. ἐν οἷς καὶ
τὰς φονικὰς ἐδίκαζον δίκας. διὰ τὸ οἷον ἀπο-
φράττεσθαι τὸ τῆς σελήνης φῶς ἐπ' ἐν αὐταῖς
καὶ τοὺς πονηροὺς, καὶ ἀποφράδας ἐπιθετικοὺς
ἐκάλουν. ἄνος ἀποφράς. καὶ βλέπων ἀπιστί-
-αν.

Ἀποφράδες. ἀπηγορευμέναι οὖν ὅτι κακαὶ
παρὰ τὸ ἐν αὐταῖς φωλεύειν καὶ ἐνδιατρίβειν.
κυρίως δὲ φωλεός. ὁ σκοτεινὸς τόπος. παρὰ
τὸ ἀπολελωκέναι τὸ φῶς. καὶ γίνεται τὸ
φρῶ φράζω. καὶ ὠνόμασται φράς, φραδός.

Ἀποφωλία. παιδευτρία παρὰ τὸ ὀφωλῖα.
οὕτω γὰρ ἐκαλοῦντο τὰ παιδευτήρια.

Ἀποφώλιος ὁ ἀπαίδευτος. ὅμηρος.

ἤδη ἀλιτρός τ' ἐστὶ κἀποφωλῖα εἰδώς.
παρὰ τὸν φωλεόν. φωλεοὶ γὰρ τὰ παιδευτήρια
καὶ τὰ διδασκαλεῖα. τοὺς δὲ ἀδιδάκτους, ἀπο-
-φωλίους ἐκάλουν. ἢ παρὰ τὸν φυλόν. ὁ ση-
-μαίνει τὸν ἀπαταίωνα.

Ἀφήλιος δὲ συνήθης. ἀποφήλιος καὶ τροπῇ
ἀποφώλιος. ἀρήγω, ἀρωγός. ῥήσσω, ῥηγμός.
καὶ ῥωγμός.

ἔλω γαίης. θήσω θωμός ὁ σωρός. λέγονται
καὶ ἀποφωλῖοι, ἀδόκιμοι. ἄγονοι. ἄπαιδες.

Ἀποχρώντως. ἱκανῶς. ἀρκούντως. ἀπὸ τοῦ
χρῶ συζυγίας δευτέρας τῶν περισπωμένων.
ἢ μετοχὴ χρῶν. ἢ εὐθεῖα τῶν πληθυντικῶν.
χρῶντες. ἢ γενικὴ χρώντων. καὶ τὸ ἐπίρ-
-ρημα χρώντως. καὶ μετὰ τῆς ἀπὸ προθέσεως,

ἀποχρώντως. ὅμηρος.

Ἀπριώτην. ἄπρατον. ἐπίρρημα μεβότητος ἢ ἐπιρρηματικοῦ δεῖ ἀκούειν. ἀπράκτως καὶ ἀποίνῃ. τουτέστιν ἄνα πρᾶσις. ἢ ὁ ἠθῶς θηλυκόν. ἀπὸ τοῦ ō ἀπρίατος, καὶ ἡ ἀπρι-

ἡ ἀπριάτη

-άτη. προΐημι τὸ πωλῶ. τοῦτο δὲ παρὰ τὸ πριῶ. ἐξ οὗ καὶ τὸ πριῶμαι φησὶν ὁ κωμῳδὸς σελάχιον. ἐκ τοῦ πριῶ, πριάσω. πεπρία-κα. καὶ πεπρίαται. πρῖατός. καὶ ἀπρία-τος. ὁμοφῶνς τῶν ἀρσενικῶν. τὰ γὰρ εἰς ōς σύνθετα, κοινὰ εἰσὶ τῶν γένει.

Ἀπρίλλιος οἱονεὶ. ὁ ἀνοικῖτός τοῦ καιροῦ. ἢ τοῦ ἀέρος.

Ἀπρίξ. συμφυῆς. ἰσχυρόν. παρὰ τὸ πρίζω, πρίσω. πρὶς κατὰ ἀποκοπήν. καὶ ἀπρίς. καὶ τροπῇ ἀπρίξ. καὶ θήσω, θής. δώσω, δῶς. ὁ πρῖας ἀδώσατον. ἢ ἀπὸ τοῦ πρίζω, πρίξω, πρίξ. μίξω, μίξ. καὶ ἔστι μίξ. ὀκλάζω ὀκλάξω. ὀκλάξ. πτύξω, πτύξ, πύξ. ἐπίρ-ρημα ποιότητος.

Ἀπρίξ. ὅλη δυνάμει. ἰσχυρῆς. ἀσφαλῆς. προσ-περυκότως. κατόχῃ. κυπρῖοι δὲ γένος τι ἀκάνθης. γέγονε δὲ ἀπὸ τοῦ πρίζω. οὗ ὁ μέλλων πρίξω. ἀποβολή. γένος τι ἀκάν-θης ἀποβολῇ τοῦ ω̄. πρίξ κατὰ δωριεῖς. ὡς ἁρπάζω, ἁρπάξω. καὶ μετὰ τοῦ στερη-τικοῦ ᾱ ἀπρίξ ὁ ἰσχυρῆς. κρατ. ὥστε μὴ πρίεσθαι οἷον ἀποσχίζεσθαι τοῦ κρατουμέ-νου τὸ κρατοῦν καὶ εἰς τὸ ὑπόδρα.

Ἀπροσεξία. ῥᾳθυμία. παρὰ τὸ μὴ προσέ-χειν τινὰ ἑαυτῷ ἢ τοῖς πρακτέοις.

Ἀπρόσϊτον. παρὰ τὸ μὴ προσϊέναι. ἔστιν

εἴω τό πορεύομαι. τοῦτο ἐν μέν τοῖς ἑνικοῖς
γράφεται διά διφθόγγου, ἐν δέ τοῖς πληθυν-
-τικοῖς, διά τοῦ ῑ. τό πρῶτον τῶν πλη-
-θυντικῶν ἴμεν. τό δεύτερον ἴτε. καί ἐξ αὐ-
-τοῦ ἰτός. πρός ὅν τίς εὐχερ. πορεύεται.
καί μετά τοῦ στερητικοῦ ᾱ, ἄϊτος. πρός ὅν
τίς πορευθῆναι οὐ δύναται. καί πλεονασμῶ
τῆς πρ̄ος προθέσεως, ἀπρόϊτος.
Ἀπροτίμαστος. ἀπρόσψαυστος. ἄθικτος, μα-
-σᾶσθαι γάρ τό ἅψασθαι παρά τό μαστεύειν.
ὅ ἐστ ζητεῖν. διό καί μαστός ὅ ἐπιμασσώμε-
-νος. ἐπιλαβόμενος. καί ἐσμᾶτο καθῆψατο.
καί εἰς τό αὐτομάτως.
Ἀπτήν. πετωμένην. παρά τό πέτω, πτήν.
καί ἀπτήν.
Ἅπτω. τό προσαγίζω. οὗ ὅ μέλλων ἅψω.
ἐξ οὗ λέγει ἀφαψοά τά μέλη.
Ἅπτω. ῥῆμα. καί συντάσσεται μετά γενικῆς.
ἐπειδή ἡ ἐκ τῶν αἰσθήσεων γενομένη ἐνέρ-
-γεια μετά γενικῆς συντάσσεται.
Ἀκούω σου γεύομαί σου. πλήν τῆς ὁράσεως.
καί εἰς τό ἐφῆπται.
Ἁπτῶς. εἰς τό ἀπροβλῆτι.
Ἀπύλωτοι. οἱ πύλας ἐν τοῖς στόμασι μή ἔχον- Aristoph.
-τες.
Ἄπυρ) ψυχρόν. ἀνεῦ πυρός.
Ἀπώλεια. ἐκ τοῦ ἀπώλλω ῥήματος, διά τῆς
ει διφθόγγου γράφεται. πρῶτον μέν τῶ
λόγω τῶν διά τοῦ εια προπαροξυτόνων
ἔχοντες ἀντί τοῦ παρατατικοῦ ἐνεστῶτα,
διά τῆς ει διφθόγγου γράφεται. τό δέ ἀπώλεια

ἐξέτεινει τὸ ο εἰς ω μέγα. ἐπειδὴ τὰ παρὰ
τὸ ὄλω ἢ ὅλω. συνθετα ἐκτείνουσι τὸ ο εἰς
ω. οἷον ἀπώλεια. παρώλεια. ἀρχὴν δὲ τὸ
προοιμῖον. ἐν γὰρ τοῖς χοροῖς ὁ χοροδιδάσ-
καλος ἐπαυλήσω τῷ καλουμένῳ ἐπὶ τὸ ἐνίω
τοῦτο τοῖς ἀπὸ τοῦ χορου τὴν ἀρχὴν τῆς
ἁρμονίας καὶ συμφωνίας ἐνδίδωσι. λέγομεν
δὴ προοίμιον καὶ τὸ ἐμβατήριον κατ' ἄλλην
μεταφορὰν. ὡς τῶν ὀρχουμένων. ὁ ὁ
κατακρουσας τοῖς προτέροις χρησάμενος
κρουσμασι, ταύτην τὴν ἀρχὴν τῆς ὀρχήσεως
τοῖς ὀρχουμένοις, καὶ τοῦτο καλουσιν ἐμ-
βατήριον.

Ἀπώναντο. ἀπὸ τοῦ ὠνῶ. ὁ μέλλων ὠνάσω.
δευτέρας συζυγίας τῶν περισπωμένων.
ὁ σημαίνει τὸ φαυλίζω. τὸ παθητικὸν ὠνῶ-
μαι ὡς βοῶμαι. β ὁ παθητικὸς α παρατατι-
κὸς ὠνώμην. τὸ δευτερὸν ὠνῶ. τὸ τρίτον
ὤναντο. καὶ ἐν συνθέσει ἀπώναντο.

Ἀπώλετο. μέσος ἀόριστος δεύτερος τὸ θέμα
ὄλω. ὀλῶ. ὤλει. ὁ βυ ἀόριστος ὦλον. καὶ
τὸ παθητικὸν ὠλόμην. ὤλου. ὤλετο. καὶ
ἀπώλετο ἐν συνθέσει.

Ἀπωμόρξατο. ἀπέαλα. ἀπομόργνυμι ἐστὶν
ὁ ἐνεστὼς. τοῦτο ἐκ τοῦ ἀμέργω τὸ ἐκπιέζω,
μεταθέσει τοῦ ρ εἰς λ. ἀμέλγω. καὶ ἀμολ-
γός. ἐκπιέζων τὰ πρόβατα. ἐξ οὗ καὶ τὸ
ἱππομολγὸς ὁ ἵππους ἀμέλγων. λοιπὸν
ἐστὶν ἀμέλγω καὶ βαρύνεται ἐπειδὴ τὰ εἰς

γω λήγοντα ῥῆματα. εἰ μὲν ἔχουσι πρὸ τοῦ
ρ̄ συμφωνῆ, βαρύνεται. οἷον ἀμέργω, γέργω,
εἴργω. χωρὶς εἰ μὴ ἔχωσιν ὁ Η̄ προϋπο-
κείμενον, τὸ γεωργός. τὸ δὲ ἀμέργω οὐκ
ἔχει προϋποκείμενον ὁ Η̄. τὸ γὰρ ἀμόρ-
γη ἐκ τοῦ ῥῆματος τοῦ ἀμέργω γέγονεν.
σημαίνει δὲ δύο. τὴν ὑποστάθμην τοῦ ἐλαίου,
καὶ τὴν τρύγα τοῦ οἴνου. ἔστι δὲ εἶδος
βοτάνης πορφυρᾶς. ἐξ οὗ ἀμόργινα ἱμά-
τια. λέγονται τὰ πορφυρά. λοιπὸν ἐκ
τοῦ ἀμέργω κατὰ τροπὴν τοῦ ᾱ εἰς ο̄.
ὡς ἀκριόεις, ὀκριόεις. καὶ ἄρχαμος, ὄρ-
χαμος γίνεται. ὀμόργω. ὀμόρξω. ὤμορ-
ξα. ὠμορξάμην. καὶ ὠμόρξατο. καὶ ἀπω-
μόρξατο.

Ἀπώναντο. παρὰ τὸ ὠνῶ ὃ σημαίνει
τὸ ὠφελῶ παράγωγον εἰς μι ὄνημι. τὸ
παθητικὸν ὄναμαι. ὃ παρατατικὸς ὠνά-
μην. τὸ τρίτον τῶν πληθυντικῶν ὤναντο.
καὶ ἐν συνθέσει ἀπώναντο.

Ἀπώσω. μέσος ἀόριστος ᾱς γίνεται δὲ ἐκ
τοῦ ὤθω ὤσω ὠσάμην. καὶ ἀπώσω. ὤσω
ὠσάμην. καὶ ἀπώσω. ὤσω.

Ἀργηφόντης. παρὰ τὸ ἐναργεῖς τὰς φαν-
τασίας ποιεῖν. ἄρ) ἐν ὑπομνήσει τοῦ
Ἡσιόδου. οἱ δὲ διὰ τοῦ η̄ γράφουσι, φασί,
παρὰ τὸ ᾱρι ἐπιτατικὸν μόριον. ὡς τὸ
ἀρίζηλος. ἀρίδηλος. ἀριφόντης ὁμῶς φαν-
ταζόμενος διὰ τοῦ ὀνείρου. καὶ πλεονασμῶ
τοῦ ρ̄. ἢ παρὰ τὸ ἀργὸν τὸ λευκὸν ἀργοφόντης

τίς ὤν· καὶ τροπῇ τοῦ ο εἰς ι· ἀργιφόν-
-της· ὡς ἀργυποδες κυνες· δῆλ) δὲ ὡς εἴρηται
τὸ ἀργὸν ἐπὶ τοῦ ταχέως καὶ ἐπὶ τοῦ λευκοῦ.
νυν οὖν ἐπὶ τοῦ λαμοῦμειται· ἵν' ἢ ἀπὸ τοῦ
ἐναργεῖς τουτέστι προδήλῃ τὰς φαντασίας
ἐπιπέμπων· ἢ ὁ ἀργὸς φόνου· ἢ εἰρηνικὸς
γὰρ ὁ θς· ὅπερ ὅμηρος φησί· διὰ τῆς ἴριδος
γίνονται δι' ἀγγελίαν ἐν τοῖς πολέμοις,
καὶ οὐχὶ διὰ τῆς ἑρμοῦ

τὸ α μετὰ τοῦ ρ·

Ἆρα καὶ ἄρα διαφέρει· ὁ μὲν γὰρ κατὰ
περισπωμένου λεγόμενος συνδεσμος ἀπορι-
-ρηματικός ἐστιν· ὅτε δὲ δι' ἀποροῦντες λέ-
-γομεν· ἄρα ἔπος· τὸ πράγμα ἥξει· ὁ
δὲ κατὰ συστολὴν συλλογιστικός· ἀλλα μὴν
ἡμέρα ἐστίν· εἰ τοῦτο συμφέρει ποιεῖν·
ποιητέον ἐστὶν ἄρα ἡμῖν·
Ἀραιλώ· παρὰ τὸ ῥαίω τὸ φθείρω μετὰ
τοῦ ἐπιτατικοῦ ᾱ ἀραίλω·
Ἀρά· ἡ κατάρα· παρὰ τὸ αἴρω τὸ ἐπαίρω·
ἢ παρὰ τὸ ἀρῶ τὸ εὔχομαι· σημαίνει δὲ
τὴν εὐχὴν καὶ τὴν κατάραν· καὶ εἰ μὲν
σημαίνει τὴν εὐχὴν, γίνεται παρὰ τὸ αἴ-
-ρω τὸ εἰς ὕψος ἐπαίρω· οἱ γὰρ εὐχόμενοι
εἰωθασι τὰς χειρὰς ἐκτείνειν· εἰ δὲ σημαί-
-νει τὴν κατάραν, γίνεται παρὰ τὸ ἀρῶ
τὸ εὔχομαι κατὰ ἀντίφρασιν·
Ἀρραβὼν ἢ ἐπὶ ταῖς ὠναῖς παρὰ τῶν
ὠνουμένων διδομένη πρώτη καταβολή·

ὑπὲρ ἀσφαλείας· εἴρηται ῥώβας ῥαιβῶν, καὶ
ἐν προαθέσει τῆς ᾱ στερήσεις μετὰ πλεονασ-
-μοῦ τοῦ ρ̄ καὶ ἐκβολῆ τοῦ ῑ ἀρραβῶν· ὁ μὴ
συγχωρῶν ῥαιβαγμὸν γενέσθαι τὴν πίστιν τῶν
συναλαττόντων· οὕτως ἐπαφρόδιτος·
Ἀρὰ· ἡ κατάρα· παρὰ τὸ αἴρειν κακῷ· λέγε-
-ται δὲ ἡ εὐχὴ καὶ ἡ κατάρα ἀμφότερα ἀπὸ
τοῦ αἴρεσθαι τᾶς χεῖρας ἐν τῷ εὔχεσθαι· καὶ
ὅμηρος· εὔχετο χεῖρ' ὀρέγων·
Ἀρὰ καὶ ἡ βλάβη·
Ἀρὰ σημαίνει δύο· τὴν εὐχὴν καὶ γίνεται
παρὰ τὸ αἴρω τὸ εἰς ὕψος ἐπαίρομαι· καὶ
γὰρ οἱ εὐχόμενοι εἰώθασι τὰς χεῖρας εἰς
ὕψος αἴρειν· εἰ δὲ σημαίνει τὴν κατάραν,
γίνεται παρὰ τὸ ἀρῶ τὸ εὔχομαι κατὰ ἀν-
-τίφρασιν· καὶ εἰς τὸ ἀρν· καὶ λυγικόν, καὶ
μιαθαρνίαν·
Ἀρὰ ἡ εὐχή· παρὰ τὸ αἴρειν εἰς τὸν οὐρὸν
τὰς χεῖρας·
Ἄραβες· εἰς τὸ ἐρεβοί·
Ἀράβιος καὶ ἄραβος·
Ἀραβία· ἐκ τοῦ ἄραβος· ἀραβία· κτῦπος ἢ
ἦχος· κυρίως ἡ ἐν ὄρει βοή· ἀάραβος, καὶ ἄρα-
-βος· ἀραβία·
Ἀρᾶν εἰς τὸ ὄργαν)
Ἀράρει τὸ ἁρμόσει· ἀραρεῖν καὶ σημαίνει τὸ
ἀναβαίνειν εἰς ὕψος· ἐξ οὗ καὶ
Ἀράχνη παρὰ τὸ ἀναρριχάναι εἴρηται·
Ἀραρυίας· βεβαίας· ἡρμοσμῆ/· ἡ ἐνθεία ἀραρυῖα·
τὸ ρ̄ η δίφθογγον· ὡς ἐν τῷ πεποιηκυῖα· ἔστι

τὸ ῥῆμα. ἀρῶ τὸ ἁρμόζω. ὁ μέλλων ἀρῶ. ὁ μέσος παρακείμενος ἦρα. ὁ ἀπτικὸς ἄρηρα. ἡ μετοχὴ ἀρηρῶς καὶ τροπῇ δωρικῇ τοῦ η εἰς α ἀραρ ἀραρότος.

Ἄρσαντες κατὰ θυμόν. ἀρῶ οὖν. αἰολιῆς ἄρσω. ἦρσα. ἡ μετοχὴ ἄρσας. ἄρσαντος, ἄρσαντες κατὰ θυμόν.

Ἄρατε. ἐπάρατε. παρὰ τὸ αἴρω τὸ ἐπαίρω. ὁ μέλλων ἀρῶ. ὁ ἀόριστος ἦρα. καὶ τὸ προστακτικὸν ἄρι. καὶ τὸ πληθυντικὸν ἄρατε.

Ἀράχνη ἀράχνου διαφέρει. ἀράχνη μὲν γὰρ ἐστὶ τὸ λεπτότατον ὕφασμα τοῦ ζῶου. τοῦτ' ἐστι τοῦ ἀράχνου. ἀράχνης δὲ ἐστὶν αὐτὸ τὸ ζῶον. ἀρσενικῆς ἐκφωνούμενον.

Ἀράχνη. παρὰ τὸ ἀραιὰ ἴχνη ἔχειν. ὅ ἐστι λεπτὰ καὶ ἀσθενῆ. ἢ παρὰ τὸ εἰς τὸν ἀέρα ἔχειν τὰ ἴχνη.

Ἀράχνη. ὕφασμα. ἀρακνὴ δὲ τὸ ζῶον.

Ἀρβύλη. εἶδος ὑποδήματος. παρὰ τὸ ἁρμόζειν τῷ ποδὶ. ἁρμόζω οὖν ἁρμήλη καὶ ἀρβύλη. τὸ ἁρμόζω συντάσσεται πτώσει δωτικῇ.

Ἀργαλέον. ἐκ τοῦ ἔργον καὶ τοῦ ἅλιον σημαίνει τὸ μάταιον.

Ἀργαῶσιν. ἄλγη ἐπάγουσαν.

Ἀργαλέος. χαλεπός. παράγονται τὰ τοιαῦτα ὀνόματα ἀπὸ ῥίμφ τοῦ λόγου. ἀπὸ ὀνόματος, ἀπὸ ῥήματος, ἀπὸ ἐπιρρήματος. ῥίμφα ῥιμφαλέος. τὸ ἀργαλέος παρὰ τὸ ἄλγος, μεταθέσει

τοῦ λ. εἰς ρ ὁμοίως τὸ ὑδρηλοί, ὑδρηροί γὰρ ἦν τὸ ἀνάλογον. ὑψηλός, ὑψηρός. ὡς εἰς ὕψος ἠρμένος. σιγηλός σιγηρός.

Ἀργέστης. ὅτι ἀπὸ τοῦ δυτικοῦ ἀργοῦς πνεῖ.

ταλός. ὡς καὶ τὸ τάλας κατὰ σύνθεσιν τῆς
ἀστερήσεως. ἄταλος ὁ μήπω δυνάμενος κα-
-κοπαθεῖν. ὁ δὲ χρυσίππος. ἀπὸ τοῦ ἁπα-
-λοῦ.

Ἀταθαλία. ἡ περὶ τὸν οἶνον ἀταξία. καὶ
ὅμηρος. — ἀταθαλίησι νόοιο. οὕτως ἐν
ἡ σιόδῳ.

Ἀταθάλου. πονηροῦ. ἀπὸ τοῦ ταῖς ἄταις
θάλλειν.

Ἀταρτηρός. χαλεπός. παρὰ τὸ τείρω τὸ
καταπονῶ. καὶ κατὰ συγκοπὴν τρῶ. τρήσω.

τρηρός· καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀτρη:
:ρός· καὶ πλεονασμῷ τοῦ ᾱ ἀταρτηρός·
ἢ παρὰ τὴν ἄτην ὃ σημαίνει τὴν βλάβην.
ἀτηρός· καὶ ἀταρτηρός·

Ἀταρτηρός· ἀτειρός· χαλεπός· ἀπειλητικός.
πλεονάζει γὰρ ἡ τὰρ συλλαβή· ὡς ἐπιτάρρο:
:θος·

Ἀτάλαντος· σαρκί· τάλαντον τὸν ζυγόν· εἴρη:
:ται καὶ ταλαντεύειν τὸ ζυγοστατεῖν· ἔνι οὖν
τάλαντος· ὁ ὁμοτάλαντος· οἱονεὶ ἰσόζυγος.
καὶ ἀτάλαντος· ἡ πάνα· ἢ πλεονασμῷ τοῦ
ᾱ·

Ἀτάαθαλος· ὑβριστής· ἀκόλαστος· ἄδικος· αὐ:
:θάδης· ἁμαρτωλός·

Ἄτε· ἐπίρρημα παραβολής· ἀντὶ τοῦ ὥσπερ.

Ἀτειρ^ς· ὁ σκληρός· ἐκ τοῦ ἀτερής γέγονε.
καὶ πλεονασμῷ τοῦ ῑ· ἀτειρής· οἱονεὶ ὁ μὴ
ὢν ἁπαλός· καὶ εἰς τὸ τριάς·

Ἀτελές· καὶ ἀτελέστερον· διαφέρει· ἀτελὲς
μὲν γὰρ ἐστι τὸ μήποτε τελεσμένον· ἀτελέστε:
:ρον δὲ τὸ ἀδύνατον τελεσθῆναι· οἱ οὖν ἐναλ:
:λάσσοντες ταῦτα ἀκολουθοῦσιν·

Ἀταρνείτης· εῑ· ἐπειδὴ τὸ προτότυπον αὐτοῦ,
ἀπ' εὐθείας ἔχει τὸ ε̄· τούτου τῷ λόγῳ καὶ
ὀρείτης· - - πόθω γὰρ τὸ ὄρει· ὅθεν καὶ τὸ
τραπεζείτης τινὲς διὰ τῆς εἰ διφθόγγου γρά:
:φουσιν·

Ἀτειρής· ὁ ἀκαταπόνητος· τούτου ἡ ἐτυμολο:
:γία· ἐστὶν ἀθείρης· αἰθέρα· ἀθείρ δὲ ὁ λαμπρός·
— ——— χαλκὸν δὲ περιβαλλεῖν ἀθείρα·

Ἀτενές. τὸ ἄγριον βλέμμα.

Ἀτιμέλητος. ἐκ τοῦ τῷ τὸ λαμβάνω. καὶ τοῦ μέλω τὸ φροντίζω. καὶ ἐπιμελοῦμαι γίνεται τιμελῶ. καὶ μετὰ τοῦ στερητικοῦ ἀ ἀτιμελῶ. καὶ ἀτιμέλητος. ὁ ἠμελημένος.

Ἀτιμελήτης. ἀπρονοήτης. ἀνεπιμελής.

Ἀτρεμεῖν τὸ στρέφεσθαι καὶ βλάπτειν. παρὰ τὸ ἀντιβάλλειν.

——— οὐ γὰρ ἀτρεμεῖν οὐδὲ δίκαιον
ξώους τηλεμάχου ———

Ἀτενίζω τὸ πάνυ. καὶ ἐκτείνω. τείνω. καὶ ὁ μέλλων τενῶ καὶ παραγωγὴν τενίζω. καὶ μετὰ τοῦ στερητικοῦ ἀ ἀτενίζω. τὸ λιανέπι=τεταμένος ὁρῶ.

Ἄτερ κατὰ διάλεκτον. εἰς τὸ χωρίς.

Ἄτερπνος, οὕτως. ὁ ἄγρυπνος. παρὰ τὸ ἐγ=γρηγορῶ. ὡς καὶ παρ' ἰβυκῷ καὶ σαπφοῖ ἐγ=γρηγορέω οὐκ ἔστιν δὲ ἡ φωνὴ κατὰ στέρησιν τοῦ τερπ=νοῦ. ὡς ὁ ἄκακος καὶ ὁ ἄφιλος. καὶ ὁ ἄθεμ=ιτος. δεῖ δῶ ἀποδεῖξαι τὸ ὀφειλόμενον. ὅ. ἔστι γὰρ κατ' ἐν τέλος. ἄτερ ὕπνος. ὁ χωρὶς ὢν ὕπνου.

Ἀτέραμνος. παρὰ τὸ τείρω, τέραμος καὶ πλέκω πλόκαμος. καὶ πλεονασμῷ τοῦ ν τέραμνος. καὶ ἀτέραμνος. ἢ παρὰ τὸ τερκμή εἶναι ἐν αὐτῷ. τοῦτο τὸ ν ἐμπλεονάσαν. ὡς τὸν ὄφιν ὄφινος.

Ἀτέραμνον. ἀπαραίτητον. βραχέος, δεινοῦ ἀκόρεστον. πολύ. τὸ μὴ τέρεν. ἀλλὰ βραχέος.

ἀτέραμνον ὀνῶ τὸ μὴ εἶναι τέρεν κατὰ στέρη=
=σιν· τουτ'ἐστι τρυφερόν, καὶ ἁπαλόν· τὸ εὐχε=
=ρῶς· τειρόμενον· ὅ ἐστι βλαπτόμενον· λέγεται
τέραμνα τὸ μὴ ἐψόμενα ὄσπρια· ἀλλὰ σμι=
=κρὰ καὶ κεραυβόλα· καὶ ἀτεράμων ὁ σκληρὸς
καὶ ἀπηνὴς ἄνος.

Ἄτερος· εἰς τὸ θάτερος.

Ἀτέχνως· καὶ ἀτεχνῶς διαφέρει· ἀτέχνως πα=
=ροξυτόνως· τὸ ἀμαθς· ἔχειν τέχνης· περισπο=
=μένως δὲ τὸ ἀδόλως· καὶ ἀπλάστως· τέχνη γὰρ
ὁ δόλος· καὶ ὅμηρος.

— ἀμφὶ δὲ δεσμοὶ τεχνηέντες ἔχοιντο.

τουτ'ἐστι δολεροὶ· σημαίνει δὲ καὶ τὸ ἁπλῶς· κα=
=θάπαξ· οἱ δὲ ἐν ἴσῳ τῷ ὄντι καὶ τῇ ἀληθείᾳ.
οἱ δὲ τὸ παράπαν· καθόλου.

Ἀτεχνῶς· σημαίνει τὸ ἀπλάστως· εἴρηται δὲ
παρὰ πᾶσι τοῖς κακοῖς κατακόρως· γέγονε
ἢ παρὰ τὸ ἀτεχνής· ἀτεχνῶς· τὰ γὰρ τοιαῦτα
ἐπιρρήματα παρὰ τῶν γενικῶν γινόμενα, καὶ
τοὺς τόνους αὐτ φυλάσσουσι τῶν γενικῶν· ἢ
παρὰ τὸ ἀτενοῦ ἀτενῶς· καὶ ἐν πλεονασμῷ
τοῦ χ ἀτεχνῶς· οὕτως Ἀπολλώνιος· καὶ Ἡρω=
=διανός.

Ἄτη· βλάβη· τὸ ᾱ μακρόν· οἱ μὲν ὅτι ἐστιν
ἀυάτη· καὶ κατὰ κρᾶσιν γίνεται ἄτη· οὐκ
ἐστι δὲ πλεονασμὸς τοῦ ᾱ· ἔστι δὲ ἄλλως εἰπεῖν.
ὅτι ἄετος· ὁ μάταιος· καὶ ψευδής· καὶ γέγονεν
ἐκ τοῦ ἐτεός· καὶ τὸ θηλυκὸν αἴτη· καὶ κατὰ
κρᾶσιν τοῦ ᾱ· καὶ ε· εἰς ᾱ μακρὸν ἄτη·
ἔστι δὲ καὶ ἄλλως· τῷ τὸ λαμβάνω.

κύκλωψ τῇ πίε οἶνον.

καὶ μετὰ τοῦ στερητικοῦ ᾱ, ἄτη γίνεται, οὐδὲ τε γὰρ αὐτὴν λαμβάνει· ἀλλὰ πάντες ἐκφεύγουσι. καὶ εἰς τὸ αἴτιος· καὶ ἀταρτηρός· καὶ ἀτάσθα=λος· καὶ ἄτρυτα.

Ἄτευκτα· ἀκάματα· σκληρά· καὶ ἰσχυρά. σημαίνει δὲ καὶ ἀβλακῆ.

Ἄτιμος· παρὰ τὸ τίω· καὶ στερητικοῦ ᾱ· ἀτίω. τὸ ἀτιμάζω· ἐκ τοῦ τίω· τὸ τιμῶ· καὶ μετὰ τοῦ στερητικοῦ ᾱ· ἀτίω.

Ἀτιμάλλω· σημαίνει δὲ τὸ γνησίως τρέφω. ἐξ οὗ καὶ τάλος λέγεται ὁ νήπιος.

Ἀτίζεσθαι· ταράσσεσθαι παρὰ τὴν ἄτην· οἱ γὰρ ἐναντιῶς τες· ταράττονται· ἔστι δὲ παρὰ τὴν ἄτην· ἢ τὴν βλάβην.

Ἀτιμάζω· ἀτίζει· ἀτιμάζει· ἐξ οὗ καὶ τὸ ἠ=τίμησε· τοῦτο παρὰ τὸ ἀτιμῶ· ὡς τὸ βῶ· βάζω· τοῦτο παρὰ τὸ ἄτιμον· τοῦτο παρὰ τὸ τιμή· τοῦτο παρὰ τὸ τίω· τὸ ῑ· μακρόν· ἔστι δὲ τὸ ἀτιμῶ· δευτέρας συζυγίας τῶν περισπω=μένων· τὸ τίω· σημαίνει τρία· τὸ τιμῶ.

——— θεὸς δ' ὣς τίετο δήμω·

τὸ τιμωρῶ· καὶ τὸ ἀποδίδωμι· τὸ ἀτιμῶ σημαίνει τρία· τὸ ἀτιμάζω· τὸ ὑβρίζω· καὶ τὸ καταδικάζω· τί διαφέρει τὸ ἀτιμῶ ἢ τρί=τη συζυγία· τοῦ ἀτιμάζω· ἀτιμῶ μὲν γὰρ λέγεται τὸ κατὰ νόμον ὁλοσχερῶς κατακρίνω. ἐξ οὗ καὶ τὸ ἐπὶ ξύλον ἠτιμωμένος· τουτ' ἐστὶ κατακεκριμένος· λάβετε γὰρ αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε· ἀτιμάζω καὶ τὸ ὑβρίζω· πάλιν διαφέρει· καὶ τὸ τιμῶ·

ἡ τρίτη συζυγία. τῶν περισπωμένων τῆς δευτέρας. ἡ μὲν γὰρ τρίτη συζυγία παρασυνθέτη ἐστίν. ἐκ τοῦ ἄτιμος. ἡ δὲ δευτέρα συνθέτη. ἐκ τοῦ τιμή. ἐξ οὗ καὶ τὸ ἠτίμησεν.

Ἀτιμοῦται καὶ ἀτιμάζεται. διαφέρει. ἀτιμοῦται μὲν τὶς ὑπὸ τοῦ νόμου ὁλοσχερῆ ἀτιμίαν. ἀτιμάζεται δὲ τις ὑβριζόμενος, ἐν τινὶ πράγματι.

Ἀτλαντικὸν πέλαγος. ὁ ὠκεανὸς. ἀπὸ τοῦ Ἄτλαντος ὄρους τῆς Λιβύης. καὶ εἰς τὸ ἑσπερίου.

Ἄτλας. ὄνομα θῦ. καὶ ὁ ἄξων. παρὰ τοῦ μὴ κοπιᾶν. καὶ εἰς τὸ τλήσομαι.

Ἀτθὶς δὲ ἡ Ἀττικὴ. ἡ χώρα πᾶσα τῆς Ἀθηνᾶς.

Ἀτονία. ἐκ τοῦ μὴ ἔχειν τόνον ἢ ἰσχύν.

Ἄτμενος. ἄτμην. ἄτμενος. οἱ δοῦλοι. οἱ ἄτερ μένους ὄντες. διὰ κακοπάθειαν. καὶ εἰς τὸ θῆς.

Ἀτμὴν. ὁ δοῦλος. παρὰ τὸ τιμὴ ἀτμὴν. ἄτιμον γὰρ τὸν δοῦλον. ὡς παρὰ τὸ ἐλευθέρους. καὶ εἰς τὸ θῆς.

Ἀτμίς. ἀναθυμίασις. ἀνάδοσις. ἀτμὶς μεταβολὴ τοῦ σ εἰς τὸ τ. ἀτμίς. ὡς ἐφίημι, ἐφεσμὴ. ἐφετμὴ. ἐπαφρόδιτος ἐν ὑπομνήσει ζ ὀδυσσείας.

Ἀτμὸς. ἡ ἀναπνοὴ. τοῦ θερμοῦ. παρὰ τὸ ἄω. τὸ πνέω. ἄσω. ἀσμὸς. καὶ ἀτμὸς.

Ἄτομον. παρὰ τὸ μοτὸν καὶ ἄτιμον. ἐπιτατικὸν δὲ τὸ α.

Ἄτον. εἰς τὸ ἧττον.

Ἄτρακτον. παρὰ τὸ ταράσσω. ταρακτός. καὶ ἄτρακτος.

Ἀστραπόν. τὸ ἄτρεπον. καὶ ἀμετάθιτον τοῦ μερισμοῦ, ἢ τῆς ὁδοῦ.

Ἄτρακτος. τὸ γυναικεῖον ἐργαλεῖον. ἐφ' οὗ τὸ νῆμα περιέχετο. καταχρηστικῶς δὲ ἐπὶ βέλους εἴρηται. κατ' ἐωφημισμόν. ἀτάρακτος. ὢν. ἀεὶ γὰρ ταράσσεται. ἢ ὅτι ἀτάρακτον τὸ νῆμα φέρει. παρὰ τὸ ταράσσω ταρακτός. καὶ ἀτάρακτος. καὶ κατὰ συγκοπὴν ἄτρακτος. ὁ δὲ βέλος. ἀπὸ τῆς παρὰ τὸ ξύλον ὁμοιότητος μεταφορικῶς.

Ἀτρίβεια. ἢ ἰδιωτεῖα. καὶ ἢ χωρικία.

Ἀτραπός. καὶ ἀτραπῖτός. ἢ μὴ ἔχουσα ἐκτροπὴν ὁδοῦ. ἢ ὁδός.

Ἀτράφαξις. εἰς τὸ λιγυφθόγγον.

Ἀττικός τὸ ἐθνικόν. Ἀθηναῖος εἴρηται. ἀκτινός τις ὢν. ἀκτὴ γὰρ ἐκαλεῖτο ἢ Ἀττική. ὅθεν καὶ ἀκταῖοι. Ἀθηναῖοι. ἐλείψει καὶ πλασιασμῶ τοῦ τ̄. ἀττικός.

Ἀττική. παρὰ τὴν ἀκτήν. καὶ γὰρ παραθαλασσία. καὶ Καλλίμαχος.

——— ἀκταίη τίς ἔναια.

ἀκτὴ οὖν καὶ Ἀττική. ὡς κρήτη. κρητική. τροπῇ τοῦ κ̄ εἰς τ̄. κατὰ ἴων ἀκτική. καὶ ἀττική.

Ἀτραπός. ἢ ὁδός. ἢ τὶς λέγεται καὶ ἀταρπῖτός. καὶ ἄταρπος. εἴρηται παρὰ τὸ πατῶ κατ' ἐπίτασιν τοῦ ᾱ. ἢ ἄγαν πατουμένη. ἄταπος

καὶ πλεονασμῷ τοῦ ρ̄ ἄταρπος· καὶ ἐν παρα-
γωγῇ ἀταρπιτός· ἢ παρὰ τὸ τρέπω· ἢ πολ-
λὰς ἐν τροπὰς ἔχουσα· τοῦ ε̄· εἰς ᾱ τραπέντος.
καὶ μετὰ τοῦ ἐπιτατικοῦ· ἄτραπος· κυρίως δὲ
ἡ στενὴ ἐν ὄρει ὁδός.

Ἀτρείδης· πατρωνυμικὸν ὄνομα· διαφέρει δὲ
τὸ πατρωνυμικὸν τοῦ κτητικοῦ· ὅτι τῆς μὲν
πατρωνυμικοῖς ἐνδέχεται· τὰ τῶν παίδων
ὀνόματα συντάσσειν καὶ μή· εἰ γὰρ ἀδελφῶν
ὄντων τινῶν· τούτων ἕνα σημάναι βουλοίμεθα·
τῷ πατρωνυμικῷ παρατίθεμενον τὸ τοῦ παι-
δὸς κύριον ὄνομα· οἷον Ἀτρείδης μενέλαος·
πριαμίδης ἕκτωρ· εἰ δὲ μὴ ὦσιν ἀδελφοί, οὐ
χρεία προσθήκης κυρίου· ἀρκούμεθα γὰρ τῇ
πατρωνυμικῇ· πηλήδης ἐφόνευσεν ἕκτορα·
τὰ γὰρ πατρωνυμικὰ αὐτόθεν ἔχει τὴν σημα-
σίαν· κἂν μήτε τοὺς υἱοὺς ἐπάγοιτο· μήτε
τὸ τοῦ παιδὸς κύριον· τὰ δεκτικὰ οὐχ οὕ-
τως· ἀλλ' ἀνάγκη προσυπακούεσθαί τι αὐτοῖς.
εἰ δέ τις φαίη πλατωνικὸς οὐ προσυπακουό-
μεθα τοῦ νόμου· ἢ χιτῶν· ἀτελές ἐστι· διὸ
ἀναγκαίως δεῖ ἐπιφέρειν τοῖς κτητικοῖς
προσηγορικά· ἢ κύρια· οἷον· ὁμηρικὸς λόγος·
βασιλικὸς δόμος.

Ἀτρείδης· αἰγήδης· ἀλκείδης· εῑ· καὶ πάντα
τὰ πατρωνυμικὰ ὅσα ἔχει τὸ πρῶτον εἰς
εἷς λήγοντα· διὰ τῆς εῑ διφθόγγου γράφεται.
ἀπὸ μὲν τοι τῶν εἰς ῆς ληγόντων καὶ εἰς οῦς

τῶν ἐπὶ γενικῆς. δισσὴ ἡ χρῆσις. καὶ γὰρ ἐκπίπτει τὰ πατρωνυμικὰ διὰ τοῦ ἴδης. συνεσταλμένου τοῦ ῑ. καὶ διὰ τῆς εῖ διφθόγγου κομιδίδης. εὐτυχίδης.

Ἀτέκμαρτον. εἰς τὸ τεκμηριοῦσθαι.

Ἀτρεκέως. ἐπίρρημα μεσότητος παρὰ τὸ δέρκω ὃ σημαίνει τὸ βλέπω. ὄνομα δερκὲς. καὶ κατ' ἐπέκτασιν τοῦ ᾱ γίνεται ἀδερκὲς. τὸ λίαν ὑποβλέπων καὶ τροπῇ τοῦ δ εἰς τ̄. ἀτρεκὲς τὸ λίαν ὑπερβλεπόμενον. ἢ παρὰ τὸ τρέχω. ὃ μὴ τρέχων.

Ἀτρείων. τ̄. ἡ γὰρ παραλήγουσα τοῖς εἰς δῆς πατρωνυμικοῖς. παραλήγει. καὶ τοῖς εἰς ῶν. πηλείδης. πηλείων. κρονίων. κρονίδης. οὕτως Ἀτρείδης. ἀτρείων.

Ἀτρυτώνη. ἡ Ἀθηνᾶ παρὰ τὴν τρυτάνην, ἥτις ἐστὶ ζυγή. ἀντὶ τοῦ ἄζευκτος ἡ ἀνδρεῖα.

Ἀτρέκεια. ἐκ τοῦ ἀτρεκεὶς. ἐκ τούτου τὸ ὑπερθετικὸν ἀτρεκέστατος.

Ἀτρέμας. γίνεται ἐκ τοῦ ἀτρεμῶ. καὶ ἔστι παρασώθετον ἐκ τοῦ ἀτρεκής. τοῦτο παρὰ τὸ τρέμω. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ. ἀτρεμής. καὶ ῥῆμα εἰς ἐῶ ἀτρεμῶ. καὶ ἐξ αὐτοῦ ἐπίρρημα εἰς ᾱς. ἀτρέμας. ἔστι δὲ εἰς ᾱ ἀτρέμα. ὥσπερ ἐκ τοῦ ἠρεμῶ γίνεται ἠρέμας. καὶ ἠρέμαι. οὕτω καὶ τοῦτο.

Ἀτρεῦς. παρὰ τὸ τρεῖν. τὸ φονεῖν. ἄφονος γάρ τοι:

Ἀτρύτητος ὁ καρπὸς τρυγὴ γὰρ ὁ Δημητριακὸς καρπός.

Ἄτρυτα. ἀκάματα. σκληρά. καὶ ἰσχυρά. σημαί-
νει δὲ καὶ ἀβλαβῆ. οἷον ἄτρητα. παρὰ τὸ
τρῶ. τρήσω. τρητά. καὶ ἄτριτα. μετὰ τοῦ στε-
ρητικοῦ ᾱ. τροπῇ τοῦ ᾱ εἰς ῡ ὡς ἅλμη. ἁλ-
μῦρος.

Ἀτρῶς. εἰς τὸ πρόβλητι.

Ἄττειν. τὸ ἀττεσθαι καὶ πηδᾶν. γίνεται παρὰ
τὸ ἀΐσσω. τὸ ὁρμῶ. ἄσσω. καὶ τροπῇ τῶν δύο
σσ. εἰς τ. ἄττειν. καὶ εἰς τὸ διάττειν. καὶ στρα-
τός.

Ἀτθίς. Ἀττική καὶ Ἀθηνά ἡ αὐτή ἐστιν.

Ἀττική. παρὰ τὸ ἀκτή. οὕτως ἐλέγετο τὸ πα-
λαιόν. παραθαλασσία γάρ.

Ἄττω. εἰς κάτα.

Ἀτρύγετος. ὁ καρπός. παρὰ τὴν τρυγήν.
ἐστι δὲ ὁ δημητριακος καρπός. Ἀρχίλοχος. οἱ δὲ
οἱ σαθήκτω. ὁ σημαίνει τὸν οὐ κώλωνος. ὁ τρυ-
φαστος περιτεύοντος τοῦ ο. ὡς καὶ ὀκρυόεις.
παρὰ γὰρ τὸ κρυος. ἐσχημάτισται ἡ λέξις.

Ἀτρυγέτης. ἤτοι ἀπόρου κατὰ τὸ βάθος. ἢ
ἀκαταπονήτου. καὶ ἀκάρπου. σημαίνει δὲ
τὴν θάλασσαν.

Ἀτῶ. εἰς τὸ ἐλεελάτει.

Ἀτρέμας. πλεονασμῶ τοῦ σ. ἐστίν. ὡς γὰρ
σιγῶ σίγα. ἀντῶ. ἄντα. οὕτω καὶ παρὰ τὸ
ἀτρεμῶ ἀτρέμας.

Αὐτὰς φωνὰς. κραυγὰς. βοὰς.

Αὖα. ξηρά παρὰ τὸ αὖσι καὶ καῦσιν ἔτι ἰτήδεια.

Αὔας. ὁ φωνητικός. παρὰ τὸ φωνῶ.

Αὐγή. ἡ λαμπρότης. παρὰ τὸ ἄγω ῥῆμα. δι' ἣν ἀγόμεθα εἰς τὸ σκότος. διὰ τὸ ἐπιχεῖν ἡμᾶς. ἰωάννης.

Αὔγαστος. παρὰ αὐγούστου βασιλέως. οὕτως ἐπεκλήθη. ἀπὸ γὰρ τῆς αὐτοῦ βασιλείας καὶ μέχρις ἡμέρον, αὔγουστοι οἱ βασιλεῖς κεκλείσκονται. ὅθεν καὶ βῆλος. ἐν τοῖς βασιλείοις μελάθροις ἐπικρέμαται. τυραννοῦντος γάρ τινος αὐτῶ ἐκτοῖς μέρεσι τῆς ἰλλυρίας. καὶ χειρωθέντος ὑπ' αὐτοῦ. διὰ τὸ ἰταμὸν καὶ σμικρὸν, ἄμπλον γεγονέναι πρὸς μνήμην καὶ τιμὴν τῆς αὐτοῦ βασιλείας. τὸ κολόμιον αὐτοῦ ἐκρέμασε. καὶ ἔκτοτε οἱ βασιλεῖς, βῆλον ἐπιτιθέασιν ἔμπροσθεν αὐτῶν. κατὰ μίμησιν ἐκείνου. ὅθεν καὶ ἀπογραφὴ πρῶτη γέγονεν.

Αὔγουστος. ὁ κύριος. κατ' ἐξουσίαν ἔχων. ἢ σεβάσμιος. πόθεν αὐγή. ἀπὸ τοῦ ἄβω. τοῦ σημαίνοντος τὸ φαίνω. αὐή καὶ αὐγή.

Αὐγή. ἡ φωνή. εἴρηται παρὰ αὐδή. τροπῇ τοῦ δ εἰς γ. δι' ἧς αὐγάζεται. καὶ φωτίζεται τὰ τοῦ νοῦ. καὶ φωνὴ τὸ αὐτό. φωτονοῦ τις οὖσα. Ἀπολλώνιος. δὲ παρὰ τὸ αὔγω. αὔγη. ὅθεν καὶ ἐν διαιρέσει αὐτή, καὶ αὐδή.

Αὐδῶ. παρὰ τὸ αὔω τὸ φωνῶ. καὶ αὖος, ὁ ἄφωνος. καὶ εἰς τὸ ἦυδα.

Αὐθημερόν. αὐτῇ τῇ ἡμέρᾳ.

Αὖος. ὁ ξηρὸς κατὰ στέρησιν τοῦ ὕω τὸ βρέχω.

αὐτός κατά στέρησιν ἄνος. ὁ μή ὑγρός. οὕτως
Ἀπολλώνιος.
Αὖθις. καί αὖθι. χωρίς τοῦ σ. διαφέρει. τό
μέν γάρ αὖθις ἐστί. τό πάλιν. ἤ μετά ταῦτα.
τό δέ αὖθι. τό αὐτό δι σημαίνει κακῶς ὀνῶ καλ=
=λίμαχος φησίν. — αὖθι τόδε ἐκδίοιμι.
ἀντί τοῦ μετά ταῦτα.
Αὐθαίρετος. παρά τό αἱρῶ τό προαιρούμαι.
αἱρετός. καί μετά τῆς αὐτος. αὐτοαιρετός.
καί συγκοπῇ αὐταίρετος. καί τροπῇ τοῦ
τ εἰς θ. αὐθαίρετος. σημαίνει δέ τόν αὐτο=
=προαίρετον.
Αὐθάδης. καί τό σημαινόμενον. δῆλον. καί
πολλή ἡ χρῆσις παρά τῇ κωμῳδίᾳ. εἴρηται
ὁ ἑαυτῷ ἄδων. καί μή συμβούλῳ χρώμενος.
Αὐτοαδής. καί αὐθάδης. τό ἀδεῖν σημαίνει
τό ἀρέσκω.
Αὐθέντης. κυρίως. ὁ αὐτόν κτιννύων. εἴρηται
δέ παρά τό αὐτοέντης τίς ὤν. ὁ ἑαυτόν βάλ=
=λων τοῖς ἔντευσιν. ὁ ἐστι τοῖς βέλεσι. τό δέ
ἐν τῇ σκυθίᾳ. ἔοικε. παρά τό αὐτό καί τό ἐν=
=της. ὁ ἑαυτόν ἐπαφιείς εἰς πάντα, καί ὤν
αὐτεξούσιος. καί μή ἄλλου. ἀλλ' ἑαυτοῦ ὤν.
Αὐθέντης. ἐκ τοῦ φῶ. τό φονεύω. φένω δέ
δια τοῦ ε ψιλου. ἐκθλίψει τοῦ δασέος.
αἴος. ὁ φόνος. ὄνομα ῥηματικόν ἔντης.
καί μετά τῆς αὐτός, αὐτοέντης. καί ἐν συγκο=
=πῇ δασέων ἐπί ψιλά. ψιλῶν ἡγεῖται. αὐθέν=
=της.
Αὖθι ἐπίρρημα τοπικόν καί ἐστι τῆς ἐν

τόπω. καί γίνεται ἐκ τοῦ αὐτόθι. τοῦτο ἐκ τοῦ αὐτοῦ. ὅμηρος.

——— αὐτοῦ ἠΐνθα μάχοιτο.

τήν εἰς τόπον σχέσιν. ἀντί τοῦ ἐκεῖσε. καί ὥσ=περ ἀπό τοῦ ἄγχου γίνεται ἀγχόθι. οὕτω καί ἀπό τοῦ αὐτοῦ αὐτόθι. καί συγκοπῇ αὖθι. διαφέρει δέ αὖθις καί αὖθι. τό μέν αὖθι χωρίς τοῦ σ̄. τοπικόν ἐπίρρημα. ἀπό τοῦ αὐτόθι. τό δέ αὖθις. σημαίνει τό πάλιν. καί μετά ταῦτα. τό θι. ῑ. τά εἰς ῑς ἐπιρρήματα. πεφυκότα λέγεσθαι χωρίς τοῦ σ̄. διά τοῦ ῑ γράφεται. αὖτις. καί αὖτι. μέχρις, μέχρι. αὖθις. αὖθι.

Αὐθιγενεῖς. εἰς τό ἰταγενεῖς.

Αὖθωρηκα. εἰς τό δεύτερον αὐθωρηκα.

Αὐλός παρά τό στενόν. καί ἐπίμηκες. κυρίως δέ εἴ σύριγξ. παρά τό αὖσαι τό μοᾶν.

Αὖλιν ἐκ τοῦ αὐλίζω γέγονε κατά συγκοπήν. αὖλιν. αὐλισθήσεται. ἐκ τοῦ αὐλίζω τό κατασ=κηνῶ.

Αὖλαξ. σχίσμα γῆς. ἤ ἐπιμήκης παράτασις. καί εἰς τό αὐτής.

Αὐλή. παρά τό ἀώ. ἀυή. καί πλεονάσμῳ τοῦ λ̄. αὐλή. ἤ παρά τό ἀδω τό πνέω.

Αὐλισμός. ἤ κιθαρωδία. γίνεται δέ, ἐκ τοῦ αὐλῶ τό τραγῳδῶ. αὐλισμός καί ἤ διανυκτέρευ=σις. ἐκ τοῦ ἀλίζω. τό αὐλῶ σημαίνει. δω.

Αὐλίδα. πόλις βοιωτίας. ἐκ τοῦ αὐλίς. τό δέ αὐλίς ἐκ τοῦ αὐλίζω. ἀλίσω. αὐλίς καί τί μετέ=χει. ἐπειδή ἐκεί συνεθροίσθη. ὁ ἑλληνικός ἅπας στρατός.

Αὐλός. παρὰ τὸ ἄυω τὸ φωνῶ. καὶ ὅμηρος.
ἄυε δ' ἑτέρωθεν — ἢ παρὰ τὸ ἄδω τὸ πνέω,
ἢ παρὰ τὸ ἄδω τὸ βοῶ. ἐξ οὗ — ἄυε δ' ἄρης.
καὶ εἰς το ἔνυα.

Αὐλίζω. ἐκ τοῦ αὐλή.

Αὔλος. ὁ μὴ ἔχων ὕλην. παρὰ τὸ ὕλη. ὕελος.
καὶ ἄϋλος. μετὰ τοῦ στερητικοῦ ᾱ. τὸ δὲ ὕλη.
παρὰ τὸ ὑῶ τὸ βρέχω. ὁ διὰ ὑγρὰ αὐξανομένη.
τὰ δὲ ἀπὸ τῶν εἰς ᾱ καὶ εἰς ῑ θηλυκῶν ἀναπέμ=
πουσι τοὺς τόνους.

Αὐλῶπις. τρυφάλεια. περικεφαλαῖα τεταμένη.

Αὐλῶπις. αὐλίσκη ἔχουσα. καθ' οὗ πήγνυται ὁ
λόφος. ἵν' ἢ εἶδος περικεφαλαιου λόφος ὀξὺ
ἀνατετάμενος.

Αὖρα. πνοή. ἀνέμου λεπτή. ἢ γαλήνη. παρὰ
τὸ ἀήρ. κατὰ ἀναστροφὴν παρωνύμως.

Αὐρῶ. εἰς τὸ ἀπούρας. αὐρῶ τὸ ἀπολαύω. οὗ
ὁ μέλλων αὐρήσω. ἐξ οὗ καὶ τὸ ἀπαυρίσασθαι
ὀΐω.

Αὖραι παρώνυμον κατὰ ἀποστροφήν, ἀπὸ ἀρ=
σενικοῦ εἰς θηλυκόν. ὡς ξυστὴρ ξύστρα. γαστὴρ
γάστρα. ἀήρ. ἄρα. καὶ πλεοναζμῶ τοῦ ῡ αὐρῶ.
ὡς καὶ αἰγράες. αἰγραῖς. αἰνάες, αἰναῖς.

Αὐλός. τὸ στάδιον. καὶ ἐν συνθέσει δίαυλος.
εἴρηται δὲ διὰ τὴν στενότητα. καθ' ἣν καὶ αὐλῶ=
νας μεταξὺ τῶν φαράγγων. στενὰ ἐπὶ μῆκος
φερόμενα ὀνομάζουσιν. καὶ ἐπαύλεις. τὰς
μετὰ τὰς κελεύθους ἀναπαύσεις.

Αὔριον. τὸ χρονικὸν ἐπίρρημα. εἴρηται παρὰ
τὸ ἄυθι. ὅπερ παρέμφασιν αὔρι. τρέπει τὸ θ̄ εἰς

τὸ ρ̄. ἀφ' οὗ τὸ ἀύριον τὸ εἰς αὖθις. ἢ παρὰ τὴν ἀύραν. ἢ παρὰ τὸ ἐναυεσθαι ὑπὸ τοῦ ἡλίου. ἢ παρὰ τὸ ἀήρ. ἀυήρ. Αἰολεῖς. ἀυέρα καὶ ἄυρα. παρὰ τὸ ἄυρα ἀύριον. καὶ μᾶλλον βούλεται τὸ ἐνύδον συμαίνειν. διὰ τὸ

Αὔρη δ' ἐκ ποταμοῦ ψυχρὴ πνεῖ ἠῶθι πρό.

Αὔριον. πλεονασμῶ τοῦ ρ̄. ἔστι γὰρ παρὰ τὴν ἄυω Αἰολικὴν εἴρηται φωνήν. οὕτω γὰρ λέγουσι τὴν ἠῶ, ἄυω. ἀυΐ. τὴν ἄυριον ὀῶ. τὴν ἐπιοῦσαν ἡμέραν. ἄυω. ἀυΐον. καὶ πλεονασμῶ τοῦ ρ̄. ἀύριον.

Αὐστηρός. παρὰ τὸ ἄυω τὸ ξηραίνω. ὁ μέλλων ἄυσω. ἐξ αὐτοῦ αὐστηρός. ὁ ὀξύς. ὅπερ παρὰ τὸ ὑω τὸ βρέχω.

Αὐστηρός. εἴρηται παρὰ τὸ ἄυον. καὶ ξηρόν. καὶ τραχύ.

Αὐτὰρ τοῦδέ. διαφέρει. ὅτι ὁ μὲν αὐτάρ. προτάσσεται. ὁ δὲ δέ. ὑποτάσσεται. ὀξύνεται δὲ τὸ αὐτάρ. ἢ βαρύνεται. οἱ μὴ ὀῶ ὀξυτόνως ἀνέγνωσαν. ὡς καλλίμαχος. οἱ δὲ βαρυτόνως λόγω τοιῶδε. πᾶσα λέξις εἰς ᾱρ λήγουσα βαρύνεται. οἷον ἄφαρ. δάμαρ. εἴθαρ. οὔθαρ. στέαρ. φρέαρ. ῥητέον ὅτι οὐδεὶς συμπλεκτικὸς σύνδεσμος ἢ περισπᾶται ἢ βαρύνεται. πάντως δὲ σχεδὸν ὀξύνονται.

Αὐτὰρ καὶ ἀτάρ. ποῖον ἐστὶν ἀναλογώτερον. καὶ λέγομεν ὅτι κατὰ πλεονασμόν ἐστι τὸ αὐτάρ. τὸ δὲ ἀτάρ οὐ δύναται γενέσθαι ἐκ τοῦ αὐτάρ. κατὰ ἀποβολὴν τοῦ σ̄. κανῶν γάρ ἐστιν ὁ λέγων ὅτι παρεπόμενον ἐστι τῇ ἐκ τοῦ ᾱ συνεστῶσῃ διφθόγγῳ. μετὰ τὴν ἀπόστασιν τοῦ

ὑποτακτικοῦ φωνήεντος. ἐκτείνειν τὸ ᾱ. οὐχ ἕ-
τερος λόγος ἐπικατρίων. κλαίω κλάω. αἰετός.
ἀετός. κεφάλαιον κεφαλίδιον οὔ ῥαιον οὐ ῥάδιον.
εἴπερ οὖν καὶ ὁ αὐτὰρ σύνδεσμος ἔνδειαν εἶχε.
τοῦ ῡ ἐν τῷ ἀτάρ, παρείπετο ἂν καὶ ἡ τοῦ
ᾱ ἔκτασις.

Αὐταρκτός. ὄνομα. καὶ αὔταρκες. τὸ δὲ ἐπί-
ρημα Ἀττικῶς αὐτάρκως. κατὰ τὴν ἀναλογί-
αν αὐταρκῶς. κανονίζεται γάρ. ἀπὸ τῶν
γενικῶν τῶν πληθυντικῶν, ἠκολούθησε γὰρ
τῷ τόνῳ. τοῦ ὀνός. αὐταρκῶν ἡ γενική. αὐταρ-
κῶς γὰρ τὸ ἐπίρρημα. ὥσπερ ὑγιῶς. ἐπειδὴ
ὑγιής. σαφῶς ἐπειδὴ σαφής.

Αὔλαξ. παρώνυμον παρὰ τὸν αὐλόν. αὐλὸς δέ.
ἡ ἐπιμήκης παράτασις καὶ ὡς βῶλος βῶλαξ.
τὸ παρώνυμον. καὶ ἐριβῶλαξ. λίθος λίθαξ. οὕ-
τως αὐλὸς αὖλαξ ἐπὶ τοῦ ἀρότρου ἡ ἐπιμή-
κης τομή. ἀπὸ τῶν μουσικῶν ὀργάνων. καὶ
γὰρ δὲ στενοπόρου ἐπιτεχνήματος. τὸ πρᾶ
τῶν αὐλοιώντων διαθέει. ἢ παρὰ τὸ αὔω αὐλός,
ὡς δαίω δαλός. ∴ αὐλὸς παρὰ τὸ αὖσαι καὶ
βοῆσαι. αὖε δ' ἄρης. καὶ τὸ φωνητικὸν
ὄργανον. αὐλός. ἢ παρὰ τὸ ἀὼ τὸ πνέω.
πλεονασμῷ τοῦ ῡ αὐλός.

Αὐτάρκης. παρὰ τὸ αὐτός. καὶ τὸ ἀρκῶ τὸ
βοηθῶ. ὁ ἑαυτῷ ἐπαρκῶν καὶ βοηθῶν.

Αὖτε. εἰς τὸ τ' αὖ.

Αὐτῆμαρ. αὐτὴ τῇ ἡμέρᾳ. ἐπίρρημα καιροῦ
παραστατικόν.

Αὖτις. παρὰ τὸ ἀὼ τὸ φωνῶ. τοῦτο παρὰ

τὸ ἄω τὸ πνέω· καὶ πλεονασμῷ ἄδω ὅ μέλ=
=λων ἄσω· ὄνομα ῥηματικὸν αὐλός. ἡ ἐπι=
μήκης διαχάραξις τοῦ ἀρότρου.

Αὐτικα. ἐπίρρημα μεσότητος· καὶ χρόνου
δηλωτικά· τὸ τι· ι· τὰ εἰς κα· ἐπιρρήματα
τῶ ι· παραλήγονται· οἷον αὐτίκα· ἡνίκα·
πηνίκα.

Αὐτός. ἀντωνυμία τρίτου προσώπου πτῶσις.
εὐθεία τῶν ἑνικῶν ἐστὶ δὲ ἀσώαρθρος· τὸ τος
μικρὸν πρὸς ἀντιδιαστολὴν τοῦ αὔταις ἐπιρρή=
=ματος· σημαίνει δὲ τὸ αὐτὸς πέντε· ζήτει ἐν
ἐπιμερισμοῖς.

Αὕτη καὶ αὐτὴ διαφέρει· αὐτὴ ἡ δεκτικὴ ἀν=
=τωνυμία παροξυτόνως· αὐτὴ ἀναφορικὴ ὀξυ=
=τόνως.

Αὖτις. ἐκ τοῦ τίς· καὶ μετὰ τοῦ στερητικοῦ
α τοῦ σημαίνοντος· τὸ εἰς τοὐπίσω· γίνεται
ἀτίς· ὥσπερ παρὰ τὸ ἔρδω γίνεται ἔρδω.
αἴρυσαν· καὶ πλεονασμῷ τοῦ υ αὖτις· τί
διαφέρει τὸ αὖτις τοῦ πάλ· διαφέρει τὸ μὲν
γὰρ πάλιν, ἐστὶ τοπικόν· τὸ γὰρ εἰς τ' οὐπίσω
δηλοῖ· τὸ δὲ αὖτις, ἐστὶ χρονικόν· τὸ ἐγγύτε=
=ρον γὰρ δηλοῖ.

Αὐτοβοεῖ· τὸ παραχρῆμα· συντελεαθῆναι
ἐπὶ πολεμικοῖς ἔργοις· οἷον ταχέως ἰάμα βοῆ.
παρὰ δὲ θεοπόμπῳ ἐπὶ τοῦ κατακράτως.

Αὐτόθι· εἰς τὸ αὖθι.

Αὐτόματος· αὐτοκέλευστος ἰαυτοβούλητος.
παρὰ τὸ μετῶ ἐξ οὗ καὶ μαστὸς καὶ εἰς τὸ
μεμάτω.

Αὐτόματον. αὐτοκέλευστον. αὐτόκλητον. αὐτό-
βουλον. ἀπὸ τοῦ μαίω ὃ δυμαίνει τὸ ζητῶ,
γίνεται μασός. ὃν ἐπιζητοῦσι τὰ βρέφη. αὐτό-
μασος. καὶ ἀποβολῇ τοῦ σ. αὐτόματος.
καὶ ἐξ αὐτοῦ αὐτόματος ὃ μὴ ἐπιζητηθείς.
ἀλλ' αὐτὸς ἑαυτὸν ἀπαγαγών. ἀπὸ τούτου
καὶ τὸ ἀπεοτίμασος γιὰ. ὃ μὴ ἐπιζητηθεὶς
δια εἰς μίξιν.

Ἀλλ' ἐνάπεοτίμασος ἐνὶ μεγάεοιβιν ἐμοῖδιν.

Αὕτως. ἀπεάκτως. ματαίως. ὁμοίως. ἔπιρ
ρεμμα μεθότητος. καὶ φιλοῦσται. πρὸς ἀντι-
διασολὴν ἑτέρου τοῦ δυμαίνοντος. οὕτως.
καὶ τοῦτο διά τί φιλοῦσται. τὸ σκεπτικὸν ἃ
φιλοῦνται. πόθεν παράγουται τὰ ἐπιρρήματα
τῆς μεθότητος. ἐκ τῶν γενικῶν ὀνομάτων.
καὶ τοῦ ἐστὶν ὃ γενικὴ τοῦ ὀνόματος. ἔστιν
ἑτὸς ὃ ἀληθής. ὁ γὰρ ἀληθὴς ὑπάρχει. τοῦ
τὸ ψεῦδος. οὐχ' ὑπάρχει. καὶ μετὰ τοῦ σκεπ-
τικοῦ ἃ ἄετος. καὶ ἀνεβίβασε τὸν τόνον.
τὰ γὰρ εἰς ως ἐπιρρήματα, ἀναμῑμάζει
τὸν τόνον. ἐν τῇ συνδέσει. καὶ κλίνεται
ἀέτου. ἡ ἑωθεία τῶν πλουσιωτικῶν οἱ ἄετοι.
ἀέτων. καὶ ἐξ αὐτοῦ ἐπίρρημα μεθότητος
ἀέτως.

Αὐχήν. ἀπὸ τῆς ἄνω τοῦ κεφαλαιουσέωβε
ως. ἐπὶ τῶν ἀυλάδων. καὶ ἐπὶ ταύτιν ἀν-
θρώπων.

Αὐχένος. παρὰ τὸν αὐχμόν. ξηρὸς γὰρ ὁ
τράχηλος καὶ ὀστώδης. καὶ εἰς τὸ δυιρὴ καὶ
αὐθρῖο

Ἀυχω. εἰς τὸ ε͂υχος.

Ἄ͵υω. δυμαίνει τὸ λάμπω. διά τι δαβωκ=
=ται. διότι ἀπὸ τοῦ Φω. τὸ λάμπω γίνε=
=ται Φαυω. καὶ ἄ͵υω κατὰ ἀποβολὴν τοῦ
Φ. καὶ ἀυλή. κ' ἄυτις καὶ ἦχος. καὶ εἰς τὸ'
αἴης. καὶ ἄ͵εως.

Ἄ͵υω τὸ φωνῶ. ἐξ οὗ καὶ τὸ τῆς Φωνῆς=
δεκτικὸν ἄ͵ας. καὶ τροπῇ τοῦ ᾱ εἰς ō.
ὄας, ὄος. ὦς. ε͂ις. κω. ἀδκός.

Ἀκωκεβίν. ἐν μαλακοῖδιν οὐ δαδ δός. οὐδεί=
πλὴν οὕτως. ὄας. ὄος. καὶ ἐν δωαλοιφῇ.
οὖς. καὶ κατὰ δωρίας. ὦς. τρέπουδι γαρ.
πολλάκις τὴν οὖ δίφθογγον εἰς ὢ ἄ͵ω.
τὸ καδκωδω. εἴρηται δὲ παρὰ τὴν ἄ͵αν
Αἰολικῶς. τὴν γαρ ἰὼ αἰολικῶς ἄ͵αν φά=
=μεν. κυρίως δὲ ἄ͵ω λέγεται τὸ ἕως τῆς
ἐτέρωδεν. ἐπειδὴ φαινομένης ἀὼτῆς τὰ'
ζῶα φλέγεται. καὶ ἀλλήλους ἐπὶ τὰ'
ἔργα καλοῦδιν. ἄ͵ως. ἢ ἡως τουτέστιν
ἢ ἡμέρα. οὕτως λέγεται καὶ ἀλλήλους.
Ἀυχμός. ἢ ξηρότης. ἢ ἀβεοχία. ἐπομ=
=βεία δὲ. ἢ πολλὴ βεοχία.

τὸ ᾱ μετὰ τοῦ Φ.

Ἀ' φαγνίδαι. ἀποδοω=ῆ καδικεωδαι. ἀφοδι=
=ωδαδαι. λέγεται καὶ τὸ δυλῆδαι. καὶ'
προυομεωδαι. ὅμηρος.

Ἀ'φαρ ἐπίρρημα μεδότητος. ἀντὶ τοῦ
ε͂υδέως. παρὰ τὸ ἅπτω. τὸ δὲ ε͂ωδέως καὶ'
ἅμα τῷ ἁφαδαι γινόμενον. ἐξ οὗ καὶ'
οἱ ἴωνες. καὶ οἱ Ἐφέδιοι. ἀφαρεῖ λέγουδιν.
τὸ ταχέως. καὶ ἀδκέπτως ποιεῖν τι ἢ φλέγ=
=γεδαι.

Ἀφάρτεροι· ἀπὸ τοῦ ἄφαρ ἀφάρτεροι· τουτ'
ἐστι ταχυτεροι· ἢ παρὰ τὸ ἀφαρεῖ ὅ ἐστιν
ἐσπουδασμένως.

Ἀφασίαν· σιωπὴν· ἀφωνίαν· παρὰ τὸ μὴ
δυνασθαι λέγειν.

Ἀφάροτος· ἀναροτρίατος· φάρος γὰρ ἡ ἄρο:
:σις· οἱονεὶ ἀόρατος κατὰ περίτασιν τοῦ φ̄.
καὶ αὕτη ἡ ἄροσις· ἀπὸ τοῦ αἴρειν καὶ δι:
:αιρεῖν· ἢ φάρος παρὰ τὸ φάρσαι ὅ ἐστι
σχίσαι· καὶ γὰρ διαφάρσους φαμὲν χιτῶνας,
τοὺς εἰς δυο μέρη κεχωρισμένους· καὶ φά:
:ρος τὸ ἀπόσχισμα τῆς ἐσθῆτος· ἐν ὑπομ:
:νήσει ἰάμβων καλλιμάχου.

Ἀφαιρῶ καὶ ἀφαιρεῖσθω εἰς τὸ τάφος.

Ἄφατος· πάνυ, πολυ· αὐχμηρός· ὁ κατάξη:
:ρος· καὶ αὐχμηρὸς ὁ σκοτεινός.

Ἀφαυρά· ἀσθενέστερα· ἀμαυρότερα· ἀπὸ
τοῦ ἀφαυρός· ἤτοι ἄγαν παῦρος· καὶ ὀλί:
:γος· κατὰ δυναμιν· ἢ παρὰ τὸ φῶ τὸ λέ:
:γω· φάρος πλεονασμῶ τοῦ ῡ καὶ μετὰ τοῦ
στερητικοῦ ᾱ ἀφαυρός· ὁ μηδενὸς λόγου
ἄξιος.

Ἀφεγγής· ἀλαμπής· σκοτεινός· ἐκ τοῦ φέγ:
γος· φεγγής· καὶ ἀφεγγής· τοῦτο δὲ παρὰ
τὸ φῶς ἄγειν.

Ἀφελῶς· ἁπλῶς

Ἀφέηκα· εἰς τὸ ἀπαιωρημένος· καὶ ἀπη:
ωρημένος.

Ἀφελής· παρὰ τὴν ἀπὸ πρόθεσιν· καὶ τὸ

ἑλήν· ὃ σημαίνει τὸ ἄκακον· κατὰ τὸ φερό=
=μενον ἐν τῇ κοινότητι·
Ἄφενος· ὁ ποιητὴς οὐδετέρως χρᾶται τὴν
λέξιν· τινὲς δὲ ἀρσενικῶς· ὅμηρος· γίνεται
ἐκ τοῦ ἑνος· ὃ σημαίνει τὸν ἐνιαυτὸν
ἄφενος προπαροξυτόνως·
Ἀφίενος δὲ ὁ ἄνος ὁ πλήρης τοῦ ἀφένου.
ἕνος δὲ ὁ ἐνιαυτός· παρὰ τὸ ἑῶ τὸ πληρῶ.
ὃ ἐξ ἑνὸς ἐνιαυτοῦ συναγόμενος· πλοῦτος
δὲ ὁ ἐκ πολλῶν.
Ἀφεδρῶνος· παρὰ τὴν ἀπὸ πρόθεσιν καὶ
τοῦ ἕδρα· γίνεται ἀποέδρα· καὶ ἀφέδρα·
ἀφεδρῶν· καὶ σημαίνει τὸν κωλ\ καὶ τὴν
ἀκαθαρσίαν τῆς γυναικός· ὅταν τὰ ἔμμη=
=να ἀντῆς ἐκρῇ· καὶ λέγουσιν ἄφενος
Ἄφεσις· ἐκ τοῦ ἀφίσω· ἐξ οὗ καὶ ἄφετον
τὸ μὴ κρατούμενον· γέγονε δὲ παρὰ τὸ ἀφήν.
ὃ σημαίνει τὴν κράτησιν· ἄφεσις δὲ παρὰ
τὸ μὴ κρατεῖσθαι· ἄφεσις ἡ ἐκδρομὴ τοῦ ὕδατος
τῆς πηγῆς·
Ἄφεσις· ἐλευθερία· καὶ ἡ ἀπόλυσις τοῦ βέ=
=λους· καὶ εἰς τὸ ἐλεύθερος·
Ἀφέθησαν· ἐκ τοῦ ἵημι τὸ συγχωρῶ· ὁ
μέλλων ἐήσω· ὁ παρακείμενος ἧκα ὁ παθη=
=τικὸς ἧμαι· ὁ ᾧς ἔθην καὶ ἀφέθησαν·
Ἄφενος· τὸ ἀπ' ἐνιαυτοῦ· περὶ ὃν εἰς γεότη=
=τα· ἢ ἄπενος παρὰ τὸ μὴ ἐν πενίᾳ· ἀλλ'
ἐν περιουσίᾳ χρημάτων· δίδυμος·
Ἀφέξω· ἐκ τοῦ ἔχω· ἀπέχω· ἀφέξω·
Ἄφετος· ἐπιλελυμένος· παρὰ τὸ ἀφίημι·
Ἀφέωνται· ἀφίημι· ὁ παρακείμενος· ἀφῆκα·

καὶ ὁ Ἀττικὸς ἀφέωκα· οἱ γὰρ Ἀττικοὶ ἡνίκα πλεονασμὸν τὸ υ ε κατὰ τὸν παρακείμενον ποιήσασι· τὸ καὶ τὸ ἐπαγόμενον φωνῆεν, εἰς ω τρέπουσιν· ὁ παθητικὸς ἀφέωμαι. καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἀφέωνται. αὐθυπότακτον.

Ἁφή παρὰ τὸ ἅπτω ὁ σημαίνει τὸ προσεγγίζω· ὁ μέλλων ἅψω· ὁ παρακείμενος ἧφα. καὶ ἐξ αὐτοῦ ἡφή· καὶ ἁφή.

Ἁφή· σημαίνει δυο τὸ προσψαῦσαι τῶ σώματι· καὶ τὸ πλῆξαι καὶ τραυματίσαι· καὶ συντρίψαι· ἐξ οὗ καὶ ἀφανισμός· ἡ ἐκ τῆς πόλεως βάσανος· καὶ ἁφή· ἡ πληγή· καὶ ἀφανίζω τὸ λεπτύνω· καὶ πορθῶ· καὶ ἀφανῆ ποιῶ· ἀφανισμός· δήωσις πόλεως.

Ἄφηκα· παρὰ τὸ ἀφίημι· ἀφήσω· ἀφήκα. καὶ εἰς τὸ ἀπαιωρημένος.

Ἀφηνιάζω· εἴρηται ἡ λέξις· ἀπὸ μεταφορὰς τῶν ἵππων τῶν σκληρυνομένων καὶ ἄποθεν τῶν ἡνίων καθεστότων· ἀφηνιάζειν οὖν τὸ σκληρύνεσθαι· καὶ ἀπὸ τῆς εὐθείας ὁδοῦ εἶναι· γίνεται δὲ ἐκ τοῦ ἡνιάν· ὁ σημαίνει τὸν λῶρον· ἡνιάζω καὶ ἀφηνιάζω.

Ἀφήσω· ὁ παρὰ ἀφῆκα καὶ οἱ ἴωνες πλεονάζουσι τὸ ε· ἤνδανε· ἐήνδανε· ὥρακα· ἑώρακα· οὕτως ἀφέηκα· καὶ τὸ μακρὸν εἰς μακρὸν τρέπονται· τὸ η εἰς ω· καὶ γίνεται ἀφέωκα· τὸ παθητικὸν ἀφέωμαι· ἀφέωνται.

Ἄφθιτον· ἐστὶ φθίω τὸ φθήρω· καὶ πλεονασμῶ τοῦ ν φθίνω· καὶ ἐξ αὐτοῦ φθιννύω·

καὶ πλεονασμῶ τοῦ θ̄. φθινύθω καὶ ὅμηρος.

——— φθινύτεσκε φίλον κῆρ.

ἐκ δὲ τοῦ φθίω, γίνεται φθϊτός. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἄφθϊτος καὶ ἄφθιτον. ἐκ τούτου καὶ ἡ ἀφθονία. ἡ δαψιλεία τοῦ ὑγροῦ. συμαίνει δὲ τὸ πλῆθος. γέγονε δὲ ἐκ τοῦ φθινῶ. φθινία. καὶ ἀφθονία. παρὰ τὸ ἀφθόνως.

Ἄφθιτος. ἐκ τοῦ φθιτός. καὶ τὸ ᾱ στερητικόν. τοῦτο παρὰ τὸ φθείω διφορεῖται. τοῦτο καὶ διὰ τοῦ ῑ. καὶ διὰ διφθόγγου γράφεται.

Ἄφθονον. τὸ πολὺ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ κυρίως λέγεται ἡ λέξις ἐπὶ πλήθους τῶν ῥεόντων ὑδάτων. ἐξ οὗ καὶ ἀφθονία. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἄφατον. καὶ ἐστιν ἐπίρρημα μεσότητος.

Ἀφίγμεθα. ἀπὸ τοῦ ἥκω. ἥξα. ἧχα. ἧγμαι. ὥσπερ λέλεχω λέλεγμαι. καὶ λαμβάνει τὴν πρόθεσιν καὶ γίνεται ἀφίγμαι καὶ ἀφίγμεθα τὸ πληθυντικόν. εὐλογίου σχόλια.

Ἀφίγμεθα. ἀπὸ ποίου θέματος. καὶ λέγομεν ἀπὸ τοῦ ἥκω. ἵξω: ἵκα. παθητικος παρακείμενος ἵγμαι. ὥσπερ λέλυχα ἐγράφη ἄνωθεν.

Ἀφίει. ἐστὶ ῥῆμα ἰῶ. ὡς περισπόμενον καὶ δασύνεται, τούτου ὁ παρατατικὸς ἴουν. τὸ δεύτερον. ἴεις. τὸ τρίτον ἴει. καὶ ἐν συνθέσει ἀφίει. ἐξ οὗ τὸ προΐει. ἰστέον δὲ ὅτι τοῦ τίθημι καὶ τοῦ δίδωμι. καὶ τοῦ ἵημι οἱ παρωχημένοι μᾶλλον ἀπὸ

τῶν εἰς ω̄ εἰσὶν ἐν χρήσει. εἴπερ ἀπὸ τῶν εἰς μι.

ὣς εἰπὼν ἐν χερσὶ τίθει. —

καὶ ἐδίδουν αὐτῷ ῥὰ πίς κτ̄:

Ἄφνω. παρὰ τὸ ἀφανὲς. ἀφανῶς. ἔδει ἀφνῶς περισπωμένως. ἐξέστη τὸ σ̄ καὶ μετέστη ὁ τόνος. ἐπειδὴ τὰ εἰς ο̄ λήγοντα δισύλλαβα ἐπιρρήματα μὴ ὄντα δωρία, βαρύνονται. οἷον. καὶ τῷ ἔξω.

Ἄφιξις. παρὰ τὸ ἵκω. τοῦτο ἐν μὲν τοῖς ἐνεργητικοῖς παρὰ τοῖς ποιηταῖς. διὰ τοῦ ῑ γράφεται. παρὰ δὲ τοῖς πεζολόγοις. καὶ ἰαμβολόγοις, διὰ τοῦ η̄. σημαίνει δὲ τοῖς ~~πεζολόγοις~~ παθητικοῖς καὶ ἐν τ

διὰ τοῦ ῑ. οἷον ἀφίγμαι. ἀφίξω.

ἐφίην. ἐν δὲ τοῖς ὀνόμασιν. οἷον προΐκτω. σημαίνει δὲ τὸν προαιτούντα. παρὰ τὸ ἵκεσθαι. καὶ πάλιν ἱκανός. ὁ γὰρ ἱκανὸς εἰς πάντα δύναται παραγίνεσθαι. ἀφιειμένος. καὶ ἐνδεδυμένος. παρὰ τὸ ἕω γέγονεν. ὁ σημαίνει τὸ ἐνδύομαι. τοῦτου ὁ μέλλων ἕσω. ὁ μέσος παρακείμενος εἶα. καὶ ὁ παθητικὸς εἶμαι. καὶ ἡ μετοχὴ εἱμένος. καὶ ἐν συνθέσει ἀφιειμένος.

Ἀφίκεσθαι εἰς τὸ ἵκεσθαι.

Ἄφιξις. ἡ παρουσία. διὰ τοῦ ῑ γέγονε. καὶ ἀπὸ παθητικῶν ῥημάτων τοῦ ἄφιγμαι. ἀφίξαι. ἀφίκται. καὶ ἄφιξις.

Ἀφίω. τὸ θέμα. τὸ πέμπω. ὁ παρατατικός.

ἀφίεον. ἀφίουν. ἀφίεες. ἀφίεις. ἀφίεε. ἀφίει.
τρίτου προσώπου.

Ἀφορδία. εἰς τὸ ἀποπατ.

Ἄφαστον. ἀκατάληπτον. ἄρρητον. ἀνεκδιή-
γητον. ὃ μὴ φάζηται.

Ἄφαστον τὸ ἀκροστόλιον τῆς νηός. κατὰ ἀν-
τίφασιν.

Ἀφοσιώμενον. τὸ ἀποκεκληρωμένον καὶ τε-
τιμημένον.

Ἀφρογένειαν. ἢ παρὰ τὸ ἄφενος. καὶ εὐριπί-
δης. τὰ μυρία γὰρ πάντες σι γίνονται, ἀ-
φροσύνη βροτοῖσιν.

Ἀφιλότιμος. ταπεινός. παρὰ τὸ μὴ φιλεῖν
τὴν τιμήν. ἢ ἥττασθαι διὰ δόξης.

Ἀφορμῶ. παρὰ τὴν ἀπὸ πρόθεσιν καὶ τὸ
ὁρμῶ. γίνεται ἀπορμῶ. καὶ ἀφορμῶ. καὶ
σημαίνει τὸ ἀπέρχομαι ἐξ οὗ καὶ ἀφορ-
μὴ ἡ νεῦσις.

Ἀφήτωρ. καὶ ἀφάτωρ. ὁ φατρείαν καὶ
συγγενείαν μὴ ἔχων. ὅμηρος. φατρία δὲ
κυρίως. τὸ τρίτον μέρος τῆς φυλῆς.

Ἀφυειός. ὁ πλούσιος. ἔστιν ἔνος. ὁ ἐνιαυτός.
ἐκ τούτου γέγονεν ἄφενος. τουτέστιν οἱονεὶ
ὁ ἐκ τῶν καρπῶν τοῦ ἐνιαυτοῦ συναγό-
μενος πλοῦτος. ἐκ τοῦ ἄφενος οὖν
γίνεται ἀφεεινός. καὶ κατὰ συγκοπὴν
τοῦ ε̄ ἀφυειός. καὶ εἰς τὸ ὀλβιόδαιμον.
καὶ πλούσιος.

Ἄφνω. τὸ ἐξ ἀφανοῦς, ἄφαν, ἀφανῶς.
ἐπίρρημα συγκοπῇ δὲ ἀποβολῇ τοῦ
σ̄ ἄφνω βαρύνεται. εἰς τὸ ἔξω. πόρρω.

ἄφνω σημαίνει τὸ ἀπροσδοκήτως. γέγονε
παρὰ τὸ ἀφανής. ἀφανῶς. ὡς εὐσεβής, εὐ-
σεβῶς. εὐγενής εὐγενῶς. γίνεται οὖν ἀφα-
νῶς. τὴν μὲν συγκοπὴν καὶ ἀποβολὴ τοῦ σ̄.
καὶ ἀναδρομὴ τοῦ τόνου διὰ τὸν χαρακτῆ-
ρα, ἄφνω. οὕτως Ἡρωδίανος περὶ παθῶν.
ἐστὶ δὲ ἐπίρρημα χρόνου δηλωτικόν. ὃ
κατὰ τὰ εἰς ω̄ λήγοντα δισύλλα ἐπιρρή-
ματα μὴ ὄντα δώρια, βαρύνονται. πόρρω.
ἔξω.

Ἀφοσιομένος. ἀποκεκληρομένος. καὶ τετι-
μημένος. παρὰ Ἡσιόδω. ὃ ἄφρων.

Ἀφάστως. ἐπίρρημα. ἐκ τοῦ ἄφαστος.

Ἀφροδία. ἡ κοπρία. παρὰ τὸ ἔξω τῆς
ὁδοῦ προχωρεῖν. ἄφοδος ἀπόπατος.

Ἀφορία. εἰς τὸ ἀπορία.

Ἀφορίζω. ἐκ τῆς ἀπὸ προθέσεως καὶ τοῦ
ὅρος. ὃ σημαίνει τὸν ὁρισμ'.

Ἀφοσιῶ τὸ πληρῶ καὶ ἀποδίδωμι. τοῦτο
παρὰ τὸ ὅσια. ἐκ τοῦ ὁσιῶ γέγονεν. ὁσιῶ
καὶ ἀφοσιῶ. τοῦ τὰ γενομισμένα ἐπὶ
τῇ ταφῇ πληρῶ.

Ἀφοσιῶ τὸ πληρῶ καὶ ἀποδίδωμι.

Ἀφοδία. ἡ ἄπειρος. ἐκ τοῦ ἀφάδης μετὰ
τοῦ στερητικοῦ ᾱ, ὃ ἄβουλος. καὶ ἄπει-
ρος. καὶ τὸ θηλυκὸν ἀφοδία.

Ἀφοδιῶν ἡ τοῦ ἀνδρὸς προανναῖον ὄνο-
μα κύριον. Εὐριπίδης παρὰ τὴν ἀφο-
σωνήν. τὰ μωρὰ γὰρ πάντες σε γίνονται
βροτοῖς. ἐναντία γὰρ ἐστὶν αὕτη τῇ—

φρονήσει. καὶ ἔπαφρόδιτος. παρὰ τὸ ἀφ=
=ραδὲς μὴ νομιζομένην φονησιν. διὰ τὸ
ἀφαδὲς καὶ ἄγνωστον τῆς μίξεως. ἢ παρὰ
τὸ ἀφρὸν τῆς συνουσίας. ἢ δια τὸ ἐκ
θαλάσσης αὐτῆς τὴν γένεσιν εἶναι. ὁ δὲ δίδυ=
=μος παρὰ τὸ ἀβρὸν τῆς διαίτης. τὸ γὰρ β̄.
τοῦ φ. συγγενὲς ἐστί. δῆλον. ἐκ τοῦ τοὺς Μα=
κεδόνας τὸν φίλιππον βίλιππον καλεῖν.
καὶ τὸν φαλακρὸν βαλακρόν. καὶ τον κεφα=
=λινόν. κεβαλινόν. καὶ τοὺς ἀνέμους διὰ
τὸ φυσᾶν. βυσήτας ὄντας βύκτους καὶ
ὄμηρος.

—— βυκτάων ἀνέμων κατέδυσε κέλευθον.

διχῶς δὲ κἀβροδίαιτος. ὅτι δὴ αὐτὴ διὰ τὸ
κάλλος χλιδής. ἢ ὅτι οἱ κατεχόμενοι τῇ
δὲ τῇ θεᾷ. ἁβροὶ καὶ πολυτελεῖς. οὕτω
διδύμου καὶ τοὔνομα ἀφροσύνη ἔχει θεά.
καὶ ἐντεῦθεν αὐτὴν τὴν Ἀθηνᾶν παρεισά=
=γουσιν.

Ἀφροδίτη. ἀφροδίτης τὶς οὖσα.

Ἀφροδίτης τῆς ἐρωτικῆς συνηθήας. καὶ
ἀφροδίσιον ἔργον ἀφροδίτης.

Ἀφροδίτη. ὥσπερ ἀπὸ τοῦ φυτὸν γέγο=
νε φυτρὸς καὶ φιτρός. καὶ τροπὴν τοῦ
ῡ εἰς ῑ. ὅ ἐστι κορμός. καὶ ἀπὸ τοῦ διό=
φερειν γίνεται διόφορος. καὶ κατὰ τρο=
=πὴν τοῦ ῡ εἰς ῑ. δίφορος. ὅ ἐστιν ἅρμα
παρὰ τὸ δύο φέρειν. τὸν αὐτὸν τρόπον.
καὶ ἀπὸ τοῦ ἀναδύσαι καὶ τοῦ ἀφροῦ
ἀνέρχεσθαι. γίνεται ἀφροδίτη. καὶ κατὰ

τροπήν τοῦ ῡ εἰς ῑ. ἀφροδίτη. γέγονε δὲ παρὰ τὸν ἀφρὸν ἀφροδίτη. ἀφροδίτη δὲ λέγεται παρὰ τὴν ἀφροσύνην. καὶ εἰς τὸ ἀνεπαφρόδιτος.

Ἀφρός. πρόδηλον τὸ σημαινόμενον. καὶ ἡ χρῆσις κοινή. καὶ ποιητικῶς. εἴρη:ται παρὰ τὴν ἁφὴν ἀφρός. ὡς παρὰ τὸ σαβής. σαβρός. ὁ εὐαφὴς καὶ ἁπα:λώτατος.

Ἀφρός. φρῶ ἐστι ῥῆμα. ἀπὸ τοῦ προϊῶ. ἀφ' οὗ τὸ εἰς φρῶ. ὅπερ ἐγένετο ἀπὸ τοῦ προϊῶ συγκοπὲν. παρὰ δὲ τὸ φρῶ. τὸ μονοσύλλαβον. φρός. καὶ ἀφρός. κατ' ἐπί:τασιν τοῦ ᾱ. παρὰ τὸ μεταπροϊέσθαι φορὰς.

Ἀφροντιστήσας. ἀπομεριμνήσας. ἢ ἀμελή:σας ἀπὸ τοῦ ἀφροντιστῶ. μετὰ τοῦ στε:ρητικοῦ ᾱ. τὸ δὲ φροντίζω πόθεν γί:νεται. παρὰ τὸ φροντίς. τοῦτο παρὰ τὸ τὰς φρένας τίειν. ὅ ἐστι τιμωρεῖν. οἱ γὰρ φροντίδα ἔχοντες. τὰς φρένας τιμωροῦνται. συντάσσεται μετὰ γενικής.

Ἄφρων. ἀνοήτου διαφέρει. ἄφρων ἐστίν. ὁ ἐστερημένος φρονήσεως. καὶ ὁ πρὸς τὰ κοινὰ καὶ ἀνῖνα διορατικὸς μὴ ἔχων. καὶ ὁ ἄθεος. καὶ ὁ ἐθνικός. ἄνους δὲ ὁ μὴ ἔχων τὰ τοῦ ἀνοῦ ἐξαίρετα. ἀλλὰ τὸ περὶ τὴν ζωὴν βλαβερόν. καὶ ἰουδαϊκῶς κατὰ τὴν τοῦ νόμου τήρησιν πολιτεόμε:νος.

Ἄφρων ὁ ἄνους. παρὰ τὸ προϊὼ γίνεται φρῶν καὶ μετὰ τοῦ στερητικοῦ ἄφρων.
Ἀφυής. ἐκ τοῦ φυής ὁ σημαίνει τὸν τρόπον καὶ τὴν θέσιν.

Ἀμφοτέρων δὲ φυὴν ἐδάην ——
καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀφυὴς οἱονεὶ ὁ κακότροπος. ἀφυὴς δὲ εὐμαθὴς διαφέρει. εὐμαθὴς μὲν, καλῶς μανθάνων. εὐφυὴς δὲ ὁ πανοῦργος. καὶ σκώπτης.
Ἄφυκτος. εἰς τὸ ἐφύχθη.
Ἀφύξειν. παρὰ τὸ ἀφύσσω τὸ ἀπαντλῶ. δωρικὴ δὲ ἡ λέξις. ἐν πλεονασμῷ τοῦ λ λαφύσσω. γίνεται οὖν ἀφύξειν τὸ ἀπαρέμφατον. τετάρτης συζυγίας τῶν βαρυτόνων. τὸ ἀφύσσω. ἀπὸ τοῦ φύσσω. μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀφύσσω. ἀπὸ μεταφορᾶς τῶν φυσουμένων ἀσκῶν.
Ἀφυσγετός. ἡ ἀκαθαρσία. καὶ ὁ ῥύπος. παρὰ τὸ ἀφύσεσθαι ὑπὸ τοῦ ῥεύματος. καὶ εἰς τὸ ἐξαίρετον.
Ἀφυσσόμενοι. ἀρυόμενοι. ἀπαντλοῦντες ἢ κενώσαντες. μετοχή. ῥήματος ἐνεργητικοῦ. τὸ ῥῆμα ἀφύσσω. οὗ ὁ μέλλων ἀφύξω. καὶ τὸ ἀπαρέμφατον ἀφύξειν. γίνεται δὲ ἐκ τοῦ φύω τὸ κρατῶ.

ἐν δ' ἄρα οἱ φυχειρί ——
μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀφύω. ὁ μέλλων ἀφύσω. καὶ πλεονασμῷ τοῦ σ̄ ἀφύσσω. μεταγομένου τοῦ χρόνου εἰς ἐνεστῶτα. ἀνατρέπεται δὲ, ἐπειδὴ τὰ ἀπομελλόντων

εἰς ἐνεστῶτα παραγόμενα ἄχρι τοῦ παθητικοῦ κλίνονται· γίνεται ὤω ἐκ τοῦ ἀφύω· τὸ ἀπαντλῶ· καὶ τροπὴν τοῦ ἀμεταβόλου εἰς δασύ· ἀφύββω· ψιλήν· διὰ τί· τὰ ἀπὸ τοῦ δασέως ψιλοῦται· πλὴν τοῦ ἁφή· φῶ καὶ τὸ ψιλαφῶ.

Ἀχαϊάδες γυναῖκες· πελοποννησίαι· καὶ περὶ τὰς ἐρίδας· τὸ ἐὼ τέχνον ἔχουσαι· γέγονε δὲ ἐκ τοῦ ἀχαϊὰς· τοῦτο ἐκ τοῦ ἀχαιὰ· καὶ βυμαίνει τρία· τὴν θεόν· καὶ τὴν ἐρίδουσαν· ἀχαιὸς ποίου εἴδους τῶν ὑποπεπόντων τῷ ὀνόματι ἐθνικοῦ ποιᾶς λαμβάνονται τὰ ἐθνικὰ· τετραχῶς· ἐκ πόλεως· ἐκ χώρας· ἐξ ἔθνους· ἐκ βασιλείας· τὸ δὲ ἀχαιὸς ἐκ βασιλέως ἀχαίου· βασιλεύσαντος τῆς γῆς ἑλλάδος· ἐξ οὗ καλεῖται ἀχαιά· διατί· ὀξύνεται· τὰ διὰ τοῦ αιος εἰ ἔχει πρὸ τῆς αι διφθόγγου τὸ χ· προπερισπῶνται· οἷον Ἀχαιός· τροχαῖος· δισυμεῖται τὸ ἀχαιός· ἔστι δὲ ὄνομα ἔθνους· Ἀχαιὸς τὸ ἐθνικόν, ἀπὸ ἀχαΐας· ὃ ἔστι πελοποννήσου· καὶ ἀχαιὸς ποιητής· καὶ ἀχαιὸς βύλαξ.

Ἀχαιά· ἡ Δημήτηρ· παρὰ ἀττικοῖς· εἴρηται παρὰ τὸ ἄχος τῆς λύπης· οὕτω δίδυμος· καὶ ὅτι μετὰ κυμβάλων ἤχους θα τὴν κόρην ἐζήτει· ἢ ὡς φιλητάς· τὰς ἐρίδους ἀχαιὸς ἐκάλουν· ἔνιοι δὲ ἐκτείναντες τὸ ᾰ ἀπὸ τοῦ βυμβάντος

γεφυραίοις · καὶ πάλιν ἀχαιὰ ἡ δημήτηρ
μέμνηται τοῦ ὀνόματος Ἀριστόφανης ἀπὸ
τοῦ ἄχους · τοῦ ἐπὶ παρεζῆν · οἱ δὲ φαβίν.
ἀπὸ τοιαύτης τοῖς παναγραίοις
μετάσαβιν ἐν παναγρας · ἡ δημήτηρ · ὄναρ
φανεῖσα ἐκέλευσεν αὐτοῖς ἀπολουσθῆναι
τῷ γινομένῳ ἤκω · καὶ ὅπερ ἂν παύσηται,
ἐκεῖ πόλιν κτίσαι · καὶ διῶδευον ἀκούοντες
ψόφου καὶ κυμβάλων καὶ τυμπάνων · καὶ
παυσαμένης περὶ ἄτλικους ἔκτισαν πόλιν.
καὶ ἱδρύσαντο ἱερὸν ἀχαιοὶ δημήτερος.
Ἄχνη τὸ λεπτότατον μέρος τῶν ἀχύρ~
ὃν οὖν ἄν τις ἕχναλον δῷ ταῖς βοικρό-
τητα · καὶ ἐπὶ τοῦ ὕδατος ὁμοίως.
Ἄχνη · πᾶσα λεπτότης ὑγροῦ τε καὶ ξηροῦ
ἐπὶ μὲν ὑγροῦ · — ἀποπτύει δέ ἁλὸς ἄχνην.
ἐπὶ δὲ ξηροῦ · κεῖνα ἐπιχωμένων καρπῶν
καὶ ἄχνας · εἴρηται δὲ παρὰ τὸ ἴκω καὶ
τὴν ἀ ἰσχνόν · ἀνιχνεύτις οὖσα · ἡ μὴ δυ-
ναμένη ἕχναλαι · καὶ κρατεῖσθαι διὰ τὸ
λεπτομερὲς · καὶ τὸ μέν · Ἀλέξανδρος δὲ ὁ
τοῦ Ἀβκλιπιάδου παρὰ τὸν ἄξω μέλλον
τα, ὡς τάξω · τέχνη · ἀποβολῇ τοῦ ἰ ἄχνη.
Ἄχνη ἡ λύπη · εἴρηται παρὰ τὸ ἄχος ·
παρωνύμως ἀχύς καὶ πλεονασμῷ τοῦ ν,
ἀχνύς.
Ἀχαλίνωτον · τὸ λῑ · ῑ · διατῑ · τὰ διὰ τοῦ
ῡω · ρήματα · διὰ τοῦ ῑ γράφεται · τὸ
νῶ μέγα · διατί · ἡ δὲ τρίτη τῶν περισπωμένων,

χυσω. ὥσπερ ῥέω. ῥυσω. ἐκ τοῦ χυσω. ἀ
ποβολὴ τοῦ ω̄. χῦς. καὶ πλεονασμῶ τοῦ λ̄.
χλῦς. καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ ἀχλυς.
ἢ πάνυ κεχυμένη. ζόφος γὰρ ἐστιν. ἢ ἀπὸ
τοῦ ἄχω ἀχυς. καὶ πλεονασμῶ τοῦ λ̄. ἀχλυς
ἢ παρὰ τὸ ἄγαν ἐν λυειν καὶ ἀποκρυπτειν.
Ἀχνυμενοι. λυπουμενοι. ἐκ τοῦ ἄχω. τοῦτο
ἐκ τοῦ χω γίνεται ἄχω τὸ μὴ διαχεῖσθαι.
ἀλλὰ συνέχεσθαι ὑπ' αὐτῆς τὴν ψυχήν. ἢ
χω τὸ χωρω. χοῦ. καὶ μετὰ τοῦ στερητικοῦ
ᾱ ἄχος. ὁ μὴ χωρουμενος διὰ τὴν λυ-
-πήν. γίνεται ἀχω ἀχυω. καὶ πλεονασμῶ
τοῦ ν̄ ἀχνυω. καὶ ἐν ὑπερβιβασμῶ ἀχνυω.
καὶ ἄχνυμαι. ἄχνυται καὶ τὰ ἑξῆς.
Ἄχος ἢ λυπή. ὄνομα παρὰ τὸ χέω. καὶ μετὰ
τοῦ στερητικοῦ ᾱ. ἢ μὴ διαχέουσα τ λι ψυ-
-χήν. ἀλλὰ συγχέουσα. ὡς παρὰ τοὐναντίον,
ἐπὶ τοῦ χαίρω. παρὰ τὸ διαχεῖσθαι. ποίου
εἴδου τῶν ὑποπτικότων τῶ ὀνόματι. εἰδικοῦ.
διάρισον. εἰδικόν ἐστι. τὸ ἐκ γένους διαιρεθέν.
καὶ ἐκ ποιοῦ γένους παρήχθη ἐκ τῆς λύπης.
καὶ πόσα εἴδη τῆς λύπης. τέσσαρα. ἄχθος,
φόνος καὶ ἔλεος. τί ἐστιν ἄχος. λύπη ἀφω-
-νίαν ἐμποιουσα. τί ἐστιν ἄχθος. λύπη
βαρυνουσα καὶ ἐνοχλουσα. ἐπὶ ἀβουλίᾳ
τῶν συμβαινόντων, ἤτοι ἀφορήτοις συμβά-
-σεσι. τί ἐστιν ἄφθονος λύπη ἐπ' ἀλλοτρί-
-οις ἀγαθοῖς. τί ἐστιν ἔλεος. λύπη ἐπ' ἀλλο-
-τρίοις κακ^ῶ. πάσχει γάρ τις. καὶ οὐ
ἐλεεῖς.

Ἄχθος. παρὰ τὸ χῶ. τὸ χέω. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἄχος. τὸ μὴ διαχεόμενον. ἢ ἀπὸ τοῦ μὴ διαχεῖσθαι. ὅθεν καὶ χαίρειν παρὰ τὸ διαχεῖσθαι. καὶ εἰς τὸ ἀχυόμενοι. καὶ ἦχος.

Ἄχος ἢ λύπη. παρὰ τὸ μὴ ἐᾶν τὴν ψυχὴν διαχεῖσθαι καὶ χαίρειν. ἄχω σημαίνει τὸ ἀδημονῶ. τὸ παθητικὸν ἄχομαι. ἐξ οὗ καὶ καὶ ἀχάλω. καὶ ἀχαλῶ. καὶ ἀσχάλω. ἐξ οὗ καὶ τὸ ἀσχαλάω παρὰ νηυσίν.

Ἄχραντε. ἐκ τοῦ χραίνω τὸ μολύνω. χρανῶ. ὁ παθητικὸς παρακείμενος ἔχραμαι. ἐγράφη.

Ἄχραντον. παρὰ τὸ μὴ χραίνεσθαι. χραίνειν γάρ ἐστι τὸ μιαίνειν.

Ἀχρεῖος. γίνεται ἐκ τοῦ χρεῖα. καὶ ὤφειλεν εἶναι ἄχρειος. κανὼν γάρ ἐστιν ὁ λέγω οὕτω. τὰ ἀπὸ τῶν εἰς ᾱ. καὶ εἰς η̄ θηλυκῶν συντιθέντα προπαροξύνονται. οἷον. πύλη. εὐρύπυλος. κεφαλὴ ἀκέφαλος. οὕτω καὶ χρεία. ἄχρειος. ἀλλ' ἕτερος κανὼν ἐστιν ὁ λέγων. ὅτι τὰ διὰ τοῦ ειος. ὀνόματα ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ. τὸ ᾱ μεθὸ β̄. σύμβονον. ἢ καὶ γ̄. πρὸ μιᾶς ἔχει τὸν τόνον. οἷον ἀστεῖος, βακχεῖος. καδμεῖος. τούτοις συνεξηκολούθησε καὶ τὸ ἀχρεῖος. ὡς οὖν εἴπομεν ἐκ τοῦ χρεία μετὰ τοῦ στερητικοῦ ᾱ ἀχρεῖος. οὗ μὴ ἔχει τις χρεῖαν. καὶ ἐξ αὐτοῦ ἀχρεῖον τὸ οὐδέτερον. ἀπὸ τοῦ ὀνόματος μετήχθη εἰς ῥηματικὴν σύνταξιν.

Ἄχεϊον· χεω ἐσι· ὄϊμα· δυλοω τὸ ἀπτό-
μενον· καὶ πλυβιάζω· οὗ παραγωγον χεω-
ω· ὄϊμεος· χεαίδυ μετὰ ἀυλης ὑπερ ἀλ-
μενον· ἀφ' οὗ τὸ ἐχραμεν·

Ἄχεῖος· παρὰ τὸ χεύος γένεσθαι· ἢ παρὰ
τὸ χεύος γένεσθαι· ἢ παρὰ τὸ χεῖμα· χειῖος,
καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἀχρειῖος·

Ἄχρειω· εἰς τὸ τελείω·

Ἄχει ἀντὶ τοῦ μέχρι· ἀποβολὴ τοῦ μ· καὶ
μεταλλάξει τοῦ ε εἰς ᾱ· οὕτως Ἡρωδιανός· ἐν
τῇ ὀρθογραφία·

Ἄχεις καὶ ἄϊχει κατὰ ἀποβολήν τοῦ σ· παρὰ
δὲ τὸ μέχρι· εἴρηται κατὰ ἀποβολὴν τοῦ μ·
καὶ τροπὴ τοῦ ε εἰς ᾱ· ὡς δεινός· εἰνός· ἀ-
ποβολὴ τοῦ δ· τὸ μὲν γὰρ ἄϊχρι· χωρὶς τοῦ
σ χρονικὸν ἐπίρρημα· ἄϊχεις δὲ μετὰ τοῦ
σ· ἀντὶ τοῦ ἀκριβῶς· οἷον ὄϊμεος· κατὰ
τροπὴν τοῦ ε· εἰς ᾱ· Ἄϊχεις ἀπηλοίωσεν·
ἀντὶ τοῦ ἀκριβῶς ἀπέκοψεν·

Ἄϊχρι· πόθεν· ἀπὸ τοῦ ὑμαίνω· ὃ μέλλων ὑ-
μάνω ὁ ϖ̃ς· ἐὑμάνα· καὶ ἰωνικῶς τροπὴ
τοῦ πεῶτου ᾱ εἰς η̄· γίνεται πεῶτος ἀόριστος,
ὄμεδος ὑποτακτικὸς ἐὰν· ὑμήνω· ὑμήνης,
ὑμήνη· τὸ γὰρ ἄϊχρι ἀντὶ τοῦ ἕως λαμβά-
νεται ὑπὸ ταχτικοῦ

Ἄϊχρι ἀπὸ τοῦ μέχρι· ἀμοιβῇ στοιχείου

Ἄχω εἰς τὸ ἀμηχάνατα·

Ἄχρουν· παρὰ τὸ μὴ ἀπὸ χρόνου ἀρξόμε-
νον· ἢ ἀρξαλαι·

Ἄχυρον· τὸ ὑμαινόμενον δύκον ἢ καλάμη

ἡ ἀλωνιαθεῖσα, ἄχυρον καλεῖται· εἴρηται δὲ ἀέχυρόν τι ὄν.

τὸ ᾱ μετὰ του ψ'

Ἀψ' ἐκ τοῦ ἄψ· τοῦ σημαίνοντος τὸ εἰς τὰ ὀπίσω· οὐ μόνον γὰρ τὸ σημαίνον τὸ ὁμοῦ. ἀλλὰ καὶ τὰ εἰς τὰ ὀπίσω· ὁμοῦ τὴν κέλευθον ἔχον· πλεονασμῷ τοῦ ψ· γίνεται ἀψ· καὶ ἐρίω· ἀειρίω· τὸ εἰς τὰ ὀπίσω· καὶ πλεονασμῷ τοῦ ῡ· — αὖ ἔρυσαν μὲν πρῶτα — οἱ δὲ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ· ὁ μέλλων ἕψω· ἔψ· καὶ ἀψ· σημαίνει τρία· ἄψ δὲ ἦλθε· σημαίνει δὲ καὶ τὸ ἔσω· ἀψ' δ' ἐπιδῶν· ἰών· κατερέζετο· καὶ εἰς τὸ ὀψιτέλεστον.

Ἄψ· εἰς τὰ ὀπίσω· ὤψ· τὸ ἀόπτον· τὰ γὰρ ὀπίσω οὐκ ὀψέα τὰ μέλη· πτάω· παρὰ τὸ ἐφάπτεσθαι ἀλλήλων· ἔστι γὰρ ἅπτω· ἅψω· ἅψα· καὶ κατὰ τροπὴν τοῦ ο εἰς ε· ὧς λόγος λέγω.

Ἄψεα· τὰ μέλη· παρὰ τὸ συνῆφθαι αὐτὰ εἰς σύστασιν ὅλου τοῦ σώματος.

Ἀψίκωρον; παρὰ τὸ ἄψ ὅ σημαίνει τὸ εὐθέως· καὶ τὸ κόρος· τὸ εὐθέως κόρον λαμβάνον· καὶ ταχέως πληρούμενον.

Ἄψορον· ἐπίρρημα μεσότητος· ἀντὶ τοῦ ὀπισθόρμητον· καὶ γίνεται ἐκ τοῦ ἄψ τὸ ὀπίσω· καὶ τὸ ὄρω τὸ διεγήρω· πλεονασμῷ τοῦ ρ̄· ποιητικῶς.

Ἄψοροι· ὀπισθόρμητοι· σημαίνει δύο· τὸ

εἰς τοὐπίσω. καὶ ἄψοροι προτίᾶστυ λέλεχθεν.
Ἀψοφητὶ πόθεν ἐκ τοῦ ψόφος. ὃ σημαίνει τὸν κτύπον. γίνεται ψοφῶ. καὶ ὁ μέλλων ψοφήσω. καὶ ἐξ αὐτοῦ ἀψοφωτί. τὸ τι. ῑ. διατί. τὰ εἰς τῑ ἐπιρρήματα. διὰ τοῦ ῑ. γράφεται. οἷον ἀναιματί. ἀγελαστῑ. ἀψοφητί. ἀμογητί. καὶ ὅμηρος.

——τέσσαρ δ' ὁ γέρων ἀμογητί ἄειρε.

πλὴν τοῦ ἀκηρυκτεῖ. ἀφιστεί, ἀνουτεί. καὶ ἀνουτητεί.

Ἄψεα. κυρίως. αἱ ἀναφαὶ τῶν μέλων. καταχρηστικῶς δὲ τὰ μέλη. παρὰ τὸ ἅπτω. ἅψω. ἁψίς. ὁ δεσμός. ἄψεα οὖν καὶ ἐξ ἀλλήλων ἡμμένα, καὶ συνηρμοσμένα.
Ἄψεα τὰ μέλη. ἀπὸ τοῦ ἐφάπτεσθαι ἀλλήλοις. ἀπὸ τοῦ ἅπτω ῥήματος. ἅψω ἅψος. καὶ ἄψεα. πληθυντικῶς παραλύεται καὶ χαυνοῦται. ἐν τῷ καθεύδειν. ὅθεν. λυσιμελὴς ὁ ὕπνος. δύναται γὰρ καὶ λυσιτελὴς νοεῖσθαι ὁ λύων τὰς φροντίδας.
Ἀψίνθιον. εἶδος βοτάνης πικρᾶς. ὡς καὶ τὸ ἀβρότονον. ἔνιοι δὲ τῶν κωμῳδιῶν, ἀπίνθιον καλοῦσι. καὶ ἔστιν. ἤ τοι ἀπίνθιον. ὃ οὐκ ἄν τις πίνη. διὰ πικρότητα.

τὸ ά μετὰ τοῦ ω̄

Ἀώ εἰς τὸ ἄημα. καὶ ἀτμίς. καὶ αὐτής.

καὶ ἐφιολή· καὶ ὠδύνης· καὶ ἐβῆλε· καὶ
ἀτεῖ· καὶ ἤυδα.

Ἄωρία· ἐστὶν ὥρα· καὶ δυμαίνει τὸ φῶς.
καὶ μετὰ τοῦ σκληρικοῦ ᾱ ἄωρος· καὶ
τὸ ἁμαλικόν· ἀωρία· ΜΝ δηότος· τοῦτο
δὲ παρὰ τὸ ὁράω τὸ βλέπω.

Ἄωρον· τὸ μὴ ὂν ἐν ὥρᾳ· τὸ ὠμόν.

Ἄωρος· ὁ ἀπαιωρημένος· καὶ ἐκρεμής.
οἱ δὲ τὸν κολιὸν μὴ ἔχοντα.

Ἄϊωνες· γὰρ τὸν κολιὸν· ὦρεαν καλοῦσιν.
οἱ δὲ τὸ ἀφύλακτον· ὦρα γὰρ ἡ
φυλακή· ἔνθεν καὶ οἱ παρὰ τοῖς Ἀττικοῖς
ἴωροι· Καλλίμαχος δὲ κατὰ μετάληψιν.
τοὺς ἀγείους· ἄωρον γὰρ ὠμὸν, ἄγριον.
ὅθεν καὶ τοὺς ὠμοὺς τῶν καρπῶν ἀώ-
ρους φαμέν.

Ἄωτο· ὁ μὲν Ἡρωδιανὸς λέγει· ὅτι δη-
λοῖ τὸ ἥδιστο· τοῦτέστι παρὰ τοῦ
ξίφους· ἐκ τοῦ ἀρῶ τὸ ἀρμόζω· ὁ μέλ-
λων Αἰολικῶς ἄρδω· ὁ παρακείμενος
ἦρκα· ὁ παθητικὸς ἦρμαι· ὁ ΠΛ. ἤρ-
μην· ἦρδο· ἦρτο· ἰωνικῶς· ἄρτο· πλεο-
ναζμῷ τοῦ ω ὥδηρε εἶδα· εἴωθα· ἄδετο.
ἄοεδοτῖ· τινὲς δὲ λέγουσι· τὸ ἐκρέμαστο.
καὶ γίνεται ἐκ τοῦ ἄϊρω τὸ κουφίζω·
καὶ κρεμῶ· ὁ μέλλων ἀρῶ· καὶ Αἰολικῶς
ἄρδω· ὁ παρακείμενος ἦρκα· ὁ παθητικὸς

ἦρμαι. ὁ ὑπερσωτέλικος. ἥρμην ἦρσο, ἦρ-
-το. καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν.
ὦρτο. καὶ πλεονασμῷ τοῦ ᾱ ποιητικῶς ἄ-
-ωρτο.

Ἄωτον. εἰς τὸ ἀέσαι. καὶ ἄκρον. ἄωτον.

Ἄυω. σημαίνει πέντε. ἄυω τὸ λάμπω. ἐξ
οὗ τὸ ἄυριον. ἄυω. τὸ ξηραίνω. ἐξ οὗ καὶ
ἄυος. ὁ ξηρὸς καὶ ὅμηρος. — ἔστηκεν ἄυον
τὸ ξύλον. ἄυω τὸ φωνῶ. ἐξ οὗ καὶ

ἄυε δ' ἄρης ἑτέρωθεν ——

ἀντὶ τοῦ ἐφώνει.

Ἄυω τὸ καίω, ἐξ οὗ καὶ βάναυσος ὁ περὶ
τῷ πυρὶ ἐργαζόμενος.

Ἄυω τὸ πνέω. ἐξ οὗ καὶ αὐλός. ἀυω τὸ
κοιμῶμαι. οὗ ὁ μέλλων ἀέσω. ἐξ οὗ καὶ
ἄφρων. ὁ μὴ ἔχων διεγηγερμένας τὰς
φρένας.

τὸ ᾱ μετὰ τοῦ ά

Ἀρχὴ τοῦ Β̃.

Βαὸλ. εἰς τὸ βεελφεγώρ.

Βάβαξ. ὁ λάλος. παρὰ τὸ βάζω. βάξω. βα=
=βαξ. ἐξ οὗ καὶ τὸ βαβαὶ ἐπίρρημα θαυμας=
=τικόν.

Βαβυλῶν. ἑβραϊκὴ λέξις.

Βάβελ. τουτέστι σύγχυσις ἢ τάραχος. ἔστι δὲ πό=
=λις συρίας.

Βάδην. εἰς τὸ παραβλήδην.

Βαθμός. βάσις. καὶ φῶ. φάζω. καὶ βάξω. ὅ
μέλλων φάξω. καὶ εἰς τὸ ἀσπάσιος.

Βάθρος. εἰς τὸ βόθρος.

Βάβαξ. ὁ λάλος. ἢ ὁ ἐκβακχευόμενος. γέγο=
=νε δὲ ἀπὸ τοῦ βαβάκτης. ὑποκοριστικοῦ.
βέλτιον δὲ οὕτως. ἔστι ῥῆμα φῶ. τοῦ γί=
=νεται βῶ. ὡς τὸ κῦφον.

Βάζω. βάξω. ἀφαιρέσει τοῦ ω̄ βάξ. ὡς ἀλ=
=κω ἄλξω. ἄλξ. καὶ ἐν διπλασιασμῷ. βά=
=βαξ. πολλὰ δὲ περὶ τοῦ μέλλοντος ἐμ=
=πίπτει ὀνόματα. ἐλίξω. ἔλιξ. δώσω. δώς.
θήσω. θής.

Βαλβίο. ἔστι ἀλὲν καὶ ἢ βάθμη. λέγεται
καὶ ἢ πρώτη ἔξοδος τῶν δρομέων.

Βάχος. βάκχος. ὡς παρὰ τὴν ἰαχὴν ἴαχος
καὶ ἴακχος. οἱ γὰρ μεθυσθέντες πλέον τῇ
φωνῇ χρῶνται.

Βάκχος. παρὰ τὴν βοὴν. βόακχος καὶ

βώκχος. θάτερον. ἐφ' ὧ ἐστι βαίνειν. ἢ βῆμα ἢ θεμέλιος. λέγεται καὶ βάθρα θηλῖκως ἐπιβάθρας ἐπιβάσεως.

Βαίτυλος. ὁ ἐσπαργανομένος λίθος.

Βαλανεῖον. διὰ τῆς εἰ διφθόγγου. ἀπὸ τοῦ βαλανής. λέγουσι δέ τινες ὅτι τὸ βα=λανεῖον. παρὰ τὸ ἀποβάλλειν τὴν ἀνεί=αν εἴρηται. κακῶς δέ φασίν. εἰ γὰρ ἦν οὕτως. ἔδει διὰ τοῦ ῑ γράφεσθαι. ὡς καὶ τὸ ἀνία. ἔστι δὲ εἰπεῖν. ὅτι ἀπὸ τοῦ βαλάνου λέγεται. καὶ γὰρ βαλάνους εἶ=χον-ἔθος ἐν αὐτῷ πο καίειν.

Βαθύγειος. ἀπὸ τοῦ βαθὺ καὶ τὸ γέα γέ=γονε καὶ βάκχος. βαθύγεος καὶ ἐκείθεν βαθύγειος.

Βαβαὶ θαυμαστὴ φωνή.

Βάθρον. ἐφώνησε. καίνειν. ἢ βῆμα. ἢ θεμέλιος. ἢ κλίνη. καὶ θηλυκὸς λέγεται. ἐπὶ βάθρας. ἐπιβάσεως.

Βαίνειν. εἰς τὸ βαῖντο. καὶ βίβημι.

Βαιὸν εἰς τὸ ἀκριβής.

Βαΐον παρὰ τὸ βία τίλλεσθαι. σημαί=νει δὲ τὸ κλάδος τῆς φοινίκος.

Βάδος. ἐλαίου μέτρον. καλεῖται δὲ αὐτὸ ἀπὸ τῆς ἑβραϊκῆς διαλέξεως παρηγμέ=νον. συνωνύμως τῷ ἐλαιοτριβείῳ καλου=μενον. βηθμαδὰ γὰρ ἑρμηνεύεται ἐλαιο=

τριβεῖον. ἔστι δὲ ξέστων πεντήκοντα.
τὸ δὲ μέτρον ἐστὶ τῆς τοῦ ἐλαιοτρόπου
ἐργασίας. ὃ καλεῖται παρ' ἑβραίοις βέθ.
Βακχεύω. τὸ μένομαι καὶ κεθύσκομαι.
καὶ ὀρχοῦμαι. καὶ γελῶ.
Βακτηρία. παρὰ τὸ τὴν βάσιν τηρεῖν.
ἢ διὰ τὸ τὸν βαίνοντα τηρεῖν.
Βακχέβειν εἰς τὸ ἀναβακχεύειν.
Βακχεύω. βάκχος ὁ μέθυσος. λέγει διονυ:
:σιος. ἐτυμολογεῖται δὲ παρὰ τὴν βοᾶν με:
:τὰ ἦχου.
Βάκχος. παρὰ τὸ βάζω βᾶξω. βάχος.
καὶ βάκχος. οἱ γὰρ μέθυσοι μεγάλως κρά:
:ζουσιν.
Βαλακρὸν. εἰς τὸ ἀφρόδιτος.
Βαλανεῖον. τὸ λουτρόν. παρὰ τὸ βαλάνους
παρὰ τοῖς ἀρχαίοις ὑποκέεσθαι.
Βαλβίς. ἡ ἀφετηρία. καὶ ὁ καμπὴς καὶ ἡ
ἄφεσις τῶν δρομέων. ἦσαν δὲ ξύλα δύο.
ἀφ' ὧν σχοινία διετείνετο. ἀφ' ἧς βαλ:
:βίδος ἐξέτρεχον οἱ ἀγωνιζόμενοι. παρὰ
τὸ βῶ. βαίνω. γίνεται βηλὸς ὁ βαθμός.
Βλῶ. ἐπιλιθέω. καὶ ὡς παρὰ τὸ ψόφος
γίνεται ψοφίς. οὕτω καὶ παρὰ τὸ βῆλος
βηλὸς, βηλίς. καὶ τροπῇ τοῦ β̄. εἰς ᾱ.
καὶ πλεονασμῷ τοῦ β̄. βαλβίς.
Βάλιος. ἵππος τοῦ Ἀχιλλέως. σημαίνει

δὲ τὸ ποικίλος· Εὐριπίδης. βαλίαν ἔλα-
-φον φησί, παρὰ τὸ πάλλεσθαι διὰ
τάχος· ἢ φάλιός τις ὦν· ὁ λευκομέ-
-τωπος.

Βαλλέρις· ὁ βάλλων ἔριν, ἢ μάχην· ἢ
ὁ βάλλων ἔραν· ἥτις ἐστὶ γῆ.

Βαλεῖαι· αἱ ταχεῖαι· βαλείαις, ἀσκαί-
-ρων· ἁρπυίαις· ἀπὸ τοῦ βάλλειν καὶ
ταχέως φαίνεσθαι τὸ βαλλόμενον,

Βαρυδειν· καὶ μετὰ τοῦ στερητικοῦ ᾱ.
ἄχρις καὶ ἀχρεῖον τὸ ἀσθενὲς καὶ
βόρους ἀμετοχος· ὅμηρος.

Ἀλγήσω δ' ἀχρεῖον ἰδ' ἀπομόρξατε δάκρυ.
ἀντὶ τοῦ ἀσθενῶς καὶ ταπεινῶς· ἐπὶ
δὲ τῆς πηνελόπης· ἀχρεῖον δὲ γελάσας
ἐπίπλαστον καὶ ὑποκεκρυμμένον· καὶ
ἐπιπόλαιον· μέχρι μόνον διανοιγεῖν.

Βαάλ· περσιστί· λέγει θῖ· ὅς ἐστιν ὁ
πολεμικὸς ἄρης.

Βαλλάντιον· παρὰ τὸ βάλλειν· ἔστι δὲ
σταθμὸς τὸ βαλάντιον· ὁ καὶ φόλλαις
δυναρῖ ρν̄· καὶ φόλλις τὸ βαλλάντιον
γίνονται τιᾶ.

Βάλλεται· σημαίνει τὸ τοξεύεται· βολὴ

γὰρ κυρίως. ἡ ἀπὸ τόξου πεμπομένη.
Βάλλον. ῥῆμα ὁριστικὸν πληθυντικόν.
δυνάται εἶναι καὶ ἑνικόν. ἔβαλον ἐγὼ
χρόνου. παρατατικοῦ συζυγίας πέμπτης
τῶν βαρυτόνων. ἀπὸ τοῦ βάλλω. βλῶ
βλῆμι. ὁ ε̅. ἀόριστος ἔβλην. καὶ τὸ
εὐκτικὸν βλεῖ. τὸ δεύτερον βλίης. καὶ
μετὰ τοῦ θα βλείηθαλ. ἡ μετοχὴ
βλείς. ὡς θείς. ἀπὸ τοῦ βλήμλω. τὸ
δεύτερον βλιῖς. τὸ δὲ κεβολήατο. ὡς
ἀπὸ θέματος τοῦ βολῶ. ὅπερ ἐγέ
:νετο παρὰ τὸ βολή. καὶ τὸ μὴ ἀκό
:λουθον βεβελέατο. κατὰ γὰρ ἔκτασιν,
ἐβεβολήατο.
Βάλλω. εἰς τὸ ἀβελτηρίαι καὶ βέλεσι.
Βαλῶν. αἱ εἰς ῶν λήγουσαι μετοχαὶ τοῦ
δευτέρου ἀορίστου ὀξυνόνται. δραμῶν,
ἐλθῶν, πιῶν. οὕτως οἷω καὶ βαλῶν.
ἀντίκειται τὸ πέφνων. αἱ γὰρ εἰς
ῶν λήγουσαι μετοχαί ποτέ. ἐν ἐπι
πλοκὴ ἔχουσαι σύμφωνον ἐὰν τὸ β̅ ἐστὶν
ἀμετάβολον, πάντως βαρύνεται. κάμ
:νων, τέμνων. τοιοῦτον καὶ τὸ πέφνων.
Βαμβαίνω. παρὰ τὸ μεταβαίνω. οἱ γὰρ
ἐν φόβῳ οὐ δύνανται στῆναι. μεταφορικῶς

δὲ καὶ ἐπὶ τῆς γλώττης.

Βάναυσος· παρὰ τὸ τὰς βαύνους· ὅ ἐστι τὰς καμίνους μετιέναι· κυρίως δὲ ὁ τὸ πῦρ ἐν ταῖς καμίναις ἅπτων· καὶ εἰς τὸ κλίβανος· καὶ τεχνίτης·

Βάναυσοι· τεχνῖται· λέγεται καταχρηστικῶς μὲν πᾶσαι αἱ ἄλογοι τέχναι· κυρίως δὲ· αἱ διὰ πυρὸς ἐργαζόμεναι λέγονται βάναυσοι· παρὰ τὸ βαίνειν· παρὰ τὸν αὐλόν· αὐλὸς ἐστὶν ἡ κάμινος· παρὰ τὸ αὐρεῖν τινὰ ἀφίναι·

Βάρβαρος εἴρηται· ἀπὸ τοῦ περὶ τὴν φωνὴν βάρους· βάρος· καὶ ἐν διπλασιασμῷ βάρβαρος·

Βάναυσος κυρίως ὁ περὶ τὸ πῦρ ἐργαζόμενος· ὁ ἐν τοῖς βαύνοις ἅπτων ἢ ὁ τὰς καμίνους αὐων· τουτέστι καίων·

Βάναυσος· ὁ διὰ πυρὸς ἐργαζόμενος βαυνον· παρὰ τὸ τὰς αὐλοὺς αὐτειν· Τρύφων δέ ὁ τοῦ Ἀμμωνος· ἀπὸ τοῦ βαύνος Ἰὸ βάναυσος γέγονε κατὰ πάθος φωνῆν· ὠφελεῖ γάρ ὡς παρὰ τὸ ἵππος ἱππάδος πεῖος πείαδος· οὕτω βάνω βάναυσος· γέγονε δέ ἐν ὑπερδέκα· Χερόβοσκος δὲ

ἀπὸ τοῦ τεχνίτας τοὺς πρὸς τὸν βίον ἔ=
=χοντας.

Βαῦνος τὸ πῦρ ἢ ὁ χυτρόπους. ἢ ἢ κάμι=
=νος. ἔνθεν καὶ βάναυσος. καὶ κρίβανος.
ὁ ἔχ\ κρίας. γέγονε δὲ τὸ βαῦνος πλεο=
=νασμῶ τοῦ β κατὰ Λάκωνας. οὕτοι γὰρ
τὸ ἰδεῖν, βιδεῖν λέγουσιν. οὕτω καὶ τὸ
αὖ αὖνος. καὶ βαῦνος. οὕτως Ἡρωδιανός.

Βάρβαρος. βαρυβαρός τις ὤν. βάρβαρος
κατὰ συγκοπήν. καὶ παρήχθη ἀπὸ τοῦ
βαρβαρισμοῦ. κἀκεῖνος. ἀπὸ τοῦ μὴ τοὺς
τότε ἀνοῦ. ἀρχὴν γὰρ ἔχειν. ἀλλ' ἕκαστος.
τοῦ ἰδίω θελήματι διάγειν.

Βάπτισμα. διὰ τὸ τοῦ βίου πταίσματα.
ἢ βάπταισμα. ἤγουν βάπτει τὸ πταίσ=
=μα.

Βάπτισμα. παρὰ τὸ βῶ τὸ βαίνω. τοῦ=
=το παρὰ τὸ βάπτω. βάπταιμα ἢ τὸ βάπ=
=τον τὸ πταῖμα. τουτέστιν ἐκπλεῦσιν. καὶ
τὸ θηλυκὸν βάπτισις.

Βάπτω παρὰ τὸ βῶ. τὸ βαίνω. παράγω=
=γον βάπτω. οἷον ἐμβαίνειν ποιῶ.

Βαφή. ὑποτακτικόν. ἐκ τοῦ βάπτω, βάψ=
=ω. ὁ δεύτερος ἀόριστος ἔβαφον. ὁ παθη=
=τικὸς ἐβάφην. ἢ μετοχὴ ὁ βαφεὶς τοῦ
βαφέντος. καὶ τὸ ὑποτακτικὸν ἐὰν βαφῇ.

Βάρβιτος. εἶδος μουσικοῦ ὀργάνου. ψαλτή-
-ριον ἢ κιθάρα. εἴρηται δὲ. οἱονεὶ βαρυτι-
-μος τις ὤν. ὃ βαρεῖαν τὴν φωνὴν καὶ
τὸν φθόγγον ἀφιεὶς.. μήτους γὰρ τὰς νευ-
-ρὰς ἔλεγον. ἐπειδὴ πρὸ τῆς χρήσεως
τῆς νευρᾶς λινοῖς τοῖς σημόνεσιν ἐκέχρη-
-το. ὅθεν καὶ οἱ Αἰολεῖς βάρμιτον λέ-
-γουσι διὰ τοῦ μ̄.

Βάρεις. εἰσὶ δὲ πλοῖα, τείχη. σταί, αὐ-
-λαί. πύργοι, σφύραι, τινὲς δὲ λέγουσιν.
αἱ μεγάλαι, καὶ πολυβάθροι πέτραι. ἐτυ-
-μολογεῖται δὲ, παρὰ τὸ μετὰ βίας πολλῆς
ἀρηρέναι. ἢ εὐθεῖα. βάρις, βαρέως. ὁ κᾶ.
καὶ ὅσα τὸ ρ̄ ἔχει. τηρεῖ αὐτὸ καὶ ἐπὶ
γενικῆς. ἢ εὐθεῖα. ἢ βαρὶς τῆς βάρεως.
ὄνομα δὲ βαστάγματος. γέγονεν ἀπὸ τοῦ
βάρος. βάρις. τὸ βία αἱρόμενον.

Βάρις. τὸ πλεῖον ἢ πηγή. Αἰσχύλος.

Βαίνειν κελεύω, βάριν εἰς ἀμφίστροφον.
παρὰ τὸ βαίνω βάρις. ὡς δήω. δῆρις.

Βάρος. ὑπερθέσει τοῦ ρ̄ καὶ πλεονασμοῦ
τοῦ δ̄ βραδύς. παρὰ τὸ βάρος.

Βασάν. εἰς τὸ ἐκβασάν.

Βάσανος λέγεται ἢ κόλασις. παρὰ τὸ βιά-
-ζω βιάσω βιάσανος. καὶ κατὰ συγκοπὴν

βάσανος. ἢ παρὰ τὸ βία, βίβη. βιβήσω.
καὶ τὸ ἀνία, ὃ σημαίνει τὴν λύπην. ἢ ἀπὸ
τῆς βασάνου τῆς χρυσοϊκῆς λίθου. ἐν ᾗ
δοκιμάζεται ὁ χρυσὸς κἄν τε ἔρυζός ἐστι.
κἄν τε κίβδηλος.
Βασία. εἰς τὸ ὑπερβασία.
Βασιλεία. εἰς τὸ τύρανος
Βασιλεύς. παρὰ τὸ σίνω, τὸ βλάπτω. γίνε
:ται σινεύς. ὃ βλαπτικός. καὶ ἐξ αὐτοῦ σιλεύς.
ὃ μὴ σαλευόμενος. καὶ μὴ σκωπτώμενος.
καὶ ἐν πλεονασμῷ τοῦ β̄. βασιλεύς. ποίου
εἴδους τῶν ὑποπτεκότων τῷ ὀνόματι.
προσηγορικοῦ. ἢ ἐπιθετικοῦ. διόρισον. ἐπί
:θετον δέ ἐστι, τὸ ἐπὶ κυρίου ἢ προσηγορι
:κοῦ ὁμονύμως τιθέμενον. καὶ δηλοῦ ἔ
:παινον ἢ ψόγον. λαμβάνεται δὲ τριχῶς
ταῦτα. πρὸς μὲν τὰ προσηγορικὰ τασσό
:μενα; τάξιν ἐπιθετικοῦ ἔχει. ὁ βασιλεύς
κωνσταντῖνος. ὁ προφήτης σαμουήλ.
ἐπιθέτοις δὲ συμπλεκόμενα προσηγορι
:κὰ γίνεται. ὁ καλὸς βασιλεύς. ὁ εὐκλε
:ὴς πολίτης. ἔστι δὲ ὅτε τὰ ἐπίθετα,
τὰ αὐτὰ καὶ προσηγορικὰ γίνεσθαι ἐπι
:θετικοῖς. πῇ μὲν γὰρ ὑποκείμενα. πῇ
δὲ ἐπιτιθέμενα. δίκαιος, σοφός, μέγας,
ταῦτα γὰρ ἐπίθετα ὄντα πολλάκις προσ
:ηγορικῶν καὶ ἐπιθετικῶν συντάξιν ἐπέχουσιν.

ἀλλήλ ὑποκείμενά τε καὶ ἐπιτιθέμε-
-να. οἷον δίκαιος. σοφός. μέγας. δίκαιος.

Βασιλεύς. ἀπὸ τοῦ βασιλεές. καὶ κατὰ
κρᾶσιν τῶν δὲ ιε εἰς τὴν ει διφθόγγον.
βασιλεύς. καὶ κοίρανος, καὶ ἡγεμὼν δια-
-φέρει. βασιλεὺς μὲν γὰρ ὁ πατρῶθεν ἢ
ἐκ γένους τὴν ἀρχὴν ἔχων καὶ προλαβών.
κοίρανος δὲ ὁ πρὸς καιρὸν τὸ τοῦ βα-
-σιλέως ἔργον ἐπιτελῶν. ἡγεμὼν δὲ
ὁ τάξεως στρατιωτικῆς ἡγούμενος.

Βασιλῆα. βασιλῆος.

Βάσ. ἢ παρὰ τὸ βαίνω.

Βάσκανος. τροπῇ τοῦ β εἰς π. παρὰ τὸ
φάσκανός τις ὢν ὁ τοῖς φάεσι καίνων.
οἷον φονεύ. τουτέστιν ἀποκτένων. ἢ ὁ
τοῖς φάεσι σαίνων. ἢ ν. βλάπτων.

Βάσκανος. ὁ φθονερός. καὶ ἐπὶ τοῦ λυπεῖ-
-σθαι λυπηρόν.

Βασκέμεν. καὶ ἐπιβασκέμεν. ῥῆμα ἀπα-
-ρέμφατον. ἐνεστῶτος. καὶ ὁ δωριεῖς. τὰ
εἰς ιν ἀπαρέμφατα. διὰ τοῦ ἐμεν προ-
-φέρουσι. γίνεται δὲ ἐκ τοῦ βῶ βάσκω.
καὶ ἐπειδὴ τὰ ῥήματα τῆς δευτέρας
συζυγίας. διὰ τοῦ ἄσκω γίνεται. οἷον
γενειῶ γενειάσκω. ἁλῶ ἁλάσκω, καὶ κατὰ

παραγωγήν. ἀλασκάζω. καὶ τροπῇ ἠλάσ=
=κατον.

Βάσκιθι. φησὶ καὶ ἄπιθι. τινὲς καὶ οὐκ
ἐν παραθέσει. ἀλλὰ κανῶν ἐστιν ὁ λέγων.
ὅτι τὰ εἰς μι λήγοντα μετὰ προθέσεως.
ὀφείλει συντίθεσθαι. οἷον μέτειμι. καὶ
σύνειμι, καὶ ἔξειμι. μετ' ἄλλων δὲ λέξ=
=εων οὐδαμῶς. τὸ οὖν ἴθι ἀπὸ τοῦ εἶμι.
καὶ πάλιν ἕτερος κανῶν ἐστιν ὁ λέγων.
ὅτι τὰ εἰς θι παραχθέντα προστακτι=
=κὰ κατ' ἀρχὴν οὐ συντίθεται. πλὴν
τῶν προθέσεων. ὥς τε δῆλον. ἐν παραθέ=
=σει δεῖ ἀναγινώσκειν. τὸ δὲ βάσκε ἀπὸ
τοῦ βάσκω. τὸ δὲ βῶ. παρὰ τὸ βὴ, βή=
=σω. βήσκω πλεονασμῷ τοῦ κ. ἐπειδὴ
οὐδέποτε βαρύτονος μέλλων διὰ τοῦ η
ἐκφερομένου, μετάγεται εἰς ἐνεστῶτα.
βαρύτονος μέλλων εἶπε, διὰ τὸ πλακῶ,
τὸ γὰρ η ἔχει. ἀλλ' ἔστι περισπώμενον.
καὶ τροπῇ τοῦ η εἰς α βάσκω.

Βάσσαροι αἱ Βάκχαι. παρὰ τὸ ἐν βήσ=
=σαις διάγειν, ὅ ἐστιν ὀρεῦσις τόποις. ἢ
παρὰ τὸ ὑπόδημα. τὸ λεγόμενον βάσσα=
=ρις. τοῦτο παρὰ τὸ βάσει ἀρηρέναι.
ἀρῶ γὰρ τὸ ἁρμόζω

Βασσαρίδες. παρὰ τὸ ὑπόδημα τὸ

λεγόμενον βάσσαρις. ὅπερ εἴρηται.

Βαστέρνιον. μωλάριον.

Βάτος. κατὰ περίφρασιν ἄβατός τις οὖσα. ἐφ' ἧς οὐκ ἔστι τὶς ἐπιβῆναι. διὰ τὸ ἀκανθῶδες.

Βάτος. τὸ μὲν βᾶ σημαίνει τὴν βάσιν. τὸ δὲ τὸς σημαίνει τὸ τείνεσθαι αὐτήν. βατὸς δὲ τόπος, εἰς ὃν τις ἐπιβῆναι δύναται.

Βάτος ἡ ἄκανθα. εἴρηται κατὰ ἀντίφρασιν. ὁ μὴ ὢν βατός. καὶ ἔστιν ἐν τόνῳ παρώνυμος. γίνεται γὰρ τὰ τοιαῦτα πολλάκις. ὥσπερ τὸ κυρτός. ὁ κύρτος. ξανθός. ξάνθος τὸ κύριον. λευκός. λεύκος. ὁ δύσσαιος ἐσθλὸν ἑταῖρον. πυρρός, πῦρρος ὁ Ἀχιλλέως. οὕτω βατός, βάτος.

Βάτος διὰ τί βαρύνεται. τὰ εἰς τὸς λήγοντα ὀνόματα βραχεῖα παραληγόμενα μονογενῆ, πρὸ μιᾶς ἔχει τὸν τόνον. οἷον κότος, σκότος, βάτος. πάτος πλάτος. σεσημείωται τὸ βροτὸς καὶ στρατὸς ὀξύνονται. γίνεται ἄβατος. τοιαύτη γὰρ ἡ βάτος ἐν τοῖς φυγμοῖς.

Βάτραχος. παρὰ τὸ βοὴν τραχίαν ἔχειν. βοάτραχος καὶ βάτραχος. βοατραχύ τις ὤν.

Βαῦνοι κυρίως ἐπι τ̃ ἐς : . . αἱ κάμι:
:νοι. παρά τό ἄνω. ἄνοι. καί πλεο:
:νασμῶ τοῦ β̄ βαῦνοι. καί εἰς τό βάνου:
:σος. καί κλίβανος. καί κρίβανος.

Βαφεῦς. παρά τό φάπτω. βάπτω. ὁ
ἀροποιῶν τό φαιῶ ἢ τήν χροιάν βάπ:
:των.

Βείω. ὁ ἐστί βῶ. καί κατά διαίρεσιν βέω,
καί κατά πλεονασμόν τοῦ ῑ. βείω. ὁ
ἐστι πορευθῶ. ὄφρ' ἄν ἐγῶ βείω.

Βδέλα. παρά τό βδέλλω. τό ἀμέλγω.

Βδέλλα. Ἀττικοί βδέλλειν λέγουσι τό
ἀμέλγειν. ἀμέλγουσι γάρ ἔοικεν ἐντός
παντός. τοῦ ἅρματος.

Βδελύσσω. τοῦτο παρά τό βδέλλα. τοῦτο
παρά τό βδέλλω τό ἀμέλγω. οἱ γάρ
Ἀττικοί τό βδέλλειν ἀμέλγειν λέγουσιν,
ἡ γάρ βδέλλα ἀμέλγουσιν ἔοικειν.

Βεβάασι. βέβαα. παρακείμενος τῶν
εἰς μι. οἱ ἴωνος ἡνίκα ἐν τοῖς ῥήμα:
:σιν ὕφεσιν ποιήσονται τοῦ συμφώνου,
τότε συστολῇ παρακολουθοῦσιν. οἷον ἔστη
:κα ἔσταα. βέβηκα βέβαα. βεβαῶς. βεβῶ:
:τος. καί πλεονασμῶ βεβαῶτα. καί ἐν βε:
:βάασι.

Βέβηλος. καί ὁ μή ἱερός τόπος. καί ὁ

ἀμύητος. εἴτε ἀπὸ τοῦ βῶ. βήσω βη:
:λος. καὶ ἐν διπλασιασμῷ βέβηλος. ὁ
βάσιμος παντί. πρὸς ἀντιδιαστολὴν τοῦ
ἀδύτου. καὶ ὁ ἄνος ἀπὸ τοῦ τόπου
ἀνίερος. καὶ ἐν ἀνιέροις τόποις ἄξιος
διατρίβειν.

Βέβαιος. ἐκ τοῦ βιβῶ βίβαιος. καὶ τρο:
:πῇ βέβαιος. ἢ παρὰ τὸ βαίνω. κατὰ
ἀναδιπλασιασμὸν βέβαιος. κατὰ ἀντί:
:φρασιν ὁ ἑδραῖος καὶ ὁ ἀμετακίνητος.

Βέβαιος. ἡ μὲν παραλήγουσα τῷ λόγῳ
τῶν διὰ τοῦ αῖος παραγώγων. ἡ δὲ
ἄρχουσα. τῷ λόγῳ τοῦ βεβηκέναι.

Βεβαιῶ. παρὰ τὸ βέβαιος. τοῦτο ἐκ
τοῦ βαιὸν ὃ σημαίνει τὸ μικρόν. τὸ
ἀληθές. τοῦτο ἐκ τοῦ βίβημι. ὃ δεύτε:
:ρος ἀόριστος ἔβην. ἡ μετοχὴ βὰς βάν:
:τος. καὶ ἐξ αὐτοῦ βαὸς. καὶ βαιὸς.
καὶ κατὰ ἀναδιπλασιασμὸν βέβαιος.

Βεβαίω. ἐπίῤῥημα μεσότητος.

Βεβηλώσωσιν. ὑποτακτικὸν ἐκ τοῦ
βεβηλῶ. τοῦτο παρὰ τὸ βέβηλος. ὁ
μιαρός. καὶ ἀκάθαρτος.

Βέβαμαι. εἰς τὸ ὑπεασία.

Βεβολήατο. ἐλυπεῖτο. ἀπὸ τοῦ βάλλω-

γίνεται ῥηματικὸν ὄνομα βολή. ἐκ
τοῦ βολή ῥήματος. ὁ μέλλων βολήσω.
ὁ παρακ. βεβόλη. ὁ παθητικὸς βε:
:βόλημαι. ὁ παθητικὸς ἐβεβολή:
:μην. ἐβεβόλησο. ἐβεβόλητο. καὶ ἰονι:
:κῶς βεβολήατο. λέγει γὰρ ὁ τεχνικός.
εἰ μὲν ἀπὸ περισπωμένων φύσει μα:
:κρὰ παραληγόμενοι. ταῦτα καὶ διὰ
τὴν ἐπαλληλίαν τῶν βραχέων, ἐγένετο
ἔκτασις.

Βεβήκει. ὑπερσυντελίκου τοῖν εἰμῖ.

Βεβούλαμεν. παρακείμενος ἐκ τοῦ βού:
:λω. ὁ μέλλων βουλήσω. ὡς μέλλω, μελ:
:λήσω.

Βεβϊσμέναι. ἀντὶ τοῦ πεφραγμένα.
παρὰ τὸ βύω. τοῦτο παρὰ τὸ δύω. τὸ
ὑπεισέρχομαι, ἀντὶ τοῦ βεβυθισμένα
κατὰ συγκοπήν.

Βεελφεγώρ. ἔστιν ὄνομα εἰδώλου, τοῦ
λεγομένου βάαλ. καὶ λέγεται παρ' ἑβραί:
:οις βήλ. καὶ τὸ ὄνομα τοῦ τόπου φεγώρ.
καὶ διαλύσει τοῦ η̄ εἰς δύο ε̄ καὶ τροπῇ
τοῦ ᾱ εἰς ε̄. γίνεται σύνθετον βεελφεγώρ.

Βεελφεγώρ. βήλ. ἐν τόπῳ, τοῦ φεγώρ.
τουτέστιν ὄνομα εἰδώλου, ὁ παρ' ἑβραί:
:οις λεγόμενος κρόνος.

Βέθρος. εἰς τό βόθρος.

Βείω. εἰς τό βοόωντας. ἐκ τοῦ βῶ. κατά διαίρεσιν βέω. ὅμηρος. τό πορευθῶ.

Βελεροφόντης. βελεροφόντου. ὁ κᾶς. τά εἰς ῆς ἀρσενικά μή ὄντα σύνθετα κύρια, παρά τό κρατῶ. ἤ κράτης. μήδέ ἔχοντα οὐδέτερον εἰς ις. εἰς ου ἔχει τήν γενικήν. οἷον δεσπότης. δεσπότου. πολίτης. πολί:του. μητιέτης. μητιέτου. βελεροφόν:της βελεροφόντου. πρόσκειται ἀρσενικά, διά τό κακότης, φιλότης. πρόσκειται μή ὄντα κύρια σύνθετα. παρά τό κρατῶ ἤ κράτης. διά τό ἱπποκράτης ἱπποκρά:του. σωκράτης. σωκράτου. πρόσκειται μή ἔχοντα οὐδέτερον εἰς ες, ἐνναετής, ἐνναετου. τοῦτο εἰ μέν σημαίνει τήν σωματικήν ἡλικίαν ἐνναέτης βαρύδε:ται. εἰ δέ χρόνον ἐνναετής. ὀξύδεται.

Βέλεσι. παρά τό βάλλω τό τιτρώσκω. ἤ παρά τό βέλω. τό σημαῖνον τό πέμπω. βέλω. κατ' ἀφαίρεσιν τοῦ ένός λ.

Βελίαρ. ὁ πολέμιος. ἐκ τῆς ἄρθως. καί τοῦ βέλη. ἤγουν σαγίται πολέμου. ἤ σιδήρου.

Βελόνην. σιδήρου ὀξύτης.

Βελόνη. παρὰ τὸ βέλος. καὶ τὴν τόξου ὀξύτητα.

Βελώνη. παρὰ τὸ βάλλω τοῦ ᾱ τραπέν:τος εἰς ε̄. ὡς καὶ ἐν τῷ βέλος. ὡς οὖν παρὰ τὸ πέρω περώνη. ἥδω. ἡδώ:νη. οὕτω βάλλω. βελώνη. Δίδυμος φησὶν αὐτὸ παρώνυμον εἶναι.

Βέλλω. εἰς τὸ βέλεσι. βησσαδίον ἐστὶ τύπον. βῆναι. καὶ πορεύεσθαι. οὔρεος ἐν βήσσησιν.

Βάδεα. πλεονασμῷ τοῦ β̄. ἄδεα γὰρ ἐστὶ κυρίως, ἐπὶ τῶν ἐγκοιτίων.

Βελώνη. παρὰ τὸ ὅλη βάλλεσθαι.

Βελῶν ὁ τὰ βέλη ὠνούμενος.

Βέλος. εἰς τὸ ὀϊστὶ.

Βέλτερος. εἰς τὸ ἀβελτηρία.

Βενιαμίν. ἐστὶ μεῖον. τὸ μικρόν. καὶ ἐκ τούτου καὶ τοῦ μόνος γίνεται μενιαμίν. καὶ τροπῇ βενιαμὶν. ὁ μόνος τῶν ἄλλων ἀδελφός. ἔσχατος ὢν μικρότατος.

Βέραδον. ξύλινον. ἐθνικόν, βερέδοις ἱππο:κοντοῦροις.

Βενέτικος. αἰγαστένος. σφιντο τραγό:πους. τριχινόθριξ. κονδόστολος, ὀλιγάλη:θος. ἀπλησίαστος χριστιανοῖς. οὐκ ἔχω βάσιν ἐν γῇ διάγειν. ἀλλ' οἰκῶν ἐν βορβόρῳ

θαλάσσης· ἐκεῖσε κακῶς τὸν βίον ἔχει καὶ τὸν θάνατον ἐξάγει·

Βενέτικος· βενετέκουμ· ἤν. ἔρχεται μετά σου

Βέω· εἰς τὸ βοόωντες·

Βήλ· εἰς τὸ βεελφεγώρ·

Τὸ Β̄ μετὰ τοῦ Η.

Βηλός· ὁ ὀυῶός· ἀπὸ τοῦ βαίνεσθαι· ὡς καὶ ὁδός· ἀπὸ τοῦ διοδεύεσθαι· καὶ εἰς τὸ βαλβίς·

Βῆλος· ὄνομα κύριον·

Βηλὸς· παρὰ τὸ βήσω μέλλοντα· εἰς ὃν ἐπιβαίνομεν·

Βηχεῖον· ἐκ τοῦ βιᾶ χέειν·

Βητάρμονες ὀρχισταί· οἱ διὰ τῶν ποδῶν ὀρχούμενοι·

Βηλός· ἡ φλιά· ἡ ἐπιβαίνουσιν οἱ εἰ:σιόντες· καὶ ἐξιόντες·

Βήσσης· ὄνομα θηλυκόν· δοτικὴ τῶν πληθυντικῶν· ὡς ἀθήναις ἀθήνης, κο:ρυφαῖς· κορυφῆς· ἡ εὐθεῖας, θῆσα· καὶ συστέλει τὸ ᾱ· ὡς τὸ κνίσσα, ὁμοίως παρὰ τὸν βήσω μέλλοντα·

Βήσω. εἰς τὸ ὑπερβασία.

Βητάρμονες οἱ ὀρχισταί. παρὰ τὸ βαίνειν κατὰ ἁρμονίας. ἢ ἀπὸ τοῦ ἁρμοδίως βαί:νειν. κατὰ πλεονασμὸν τοῦ τ̄.

Βῆτος. ἐν ᾧ τις ἀσέρχεται καὶ ἐξέρχε:ται.

Βῆμα. βάδισμα. ἢ τόπος ὑψηλὸς δικαστοῦ.

Βῆμα. εἰς ὃ βαίνουσιν οἱ ἱερεῖς. παρὰ τὸ βαίνω. ἢ βάδισμα.

Βηχεῖον. διὰ τὸ βία. χέειν.

Βῆτα. ὅτι ἐπιβέβηκε δευτέραν ἔχει ταξ:ιν ὥσπερ δοκεῖ ἐπιβαίνειν.

Βία. παρὰ τὸ ῑς ὃ σημαίνει τὴν δυνα:μιν. ἴα. καὶ βία καὶ κλίνεται ἡ εὐθεία τῶν πληθυντικῶν. ἶνες. ἢ γενικὴ ἰνῶν. ἢ γ. νευρῶν. τοῦτο παρὰ τὸ ἔω τὸ ὑπάρ:χω. ἢ ὑπάρχουσα ἐν τινί.

Βιάζω. ἐκ τοῦ βία. τοῦτο παρὰ τὸ ἰς ἰνός. ὃ σημαίνει τὴν δυναμῖν.

Βία. ἡ δυναμῖς. καὶ ἡ ἐκ δυναστείας ἀ:δικία. ἡ δυναμις σὴ καὶ βίη λέλυται.

——— χαλεπὸν δέ σε γῆρας ὀπάζει. καὶ ἡ ἀδικία. βία κεκλῆσθαι. ὅτι ἴα ἡ δυναμις. εἴρηται παρὰ τὸ ἰς, ἴα, βία.

Βία. πλεονασμῷ τοῦ β̄. ἰς γὰρ ἴα. καὶ βία. ἰς καὶ ἡ δυναμις. παρὰ τὸ ὁρμᾶν. βί:θινος βιθυνία.

Βιαῖα. παρὰ τὸ βία γίνεται βίαιος καὶ ἐξ αὐτοῦ βιαῖα. καὶ προπαροξύτονον βίαιος· τὰ γὰρ ἔχοντα τὸ ῑ ἐν τῇ ἀρχοῦσῃ θηλυκὰ προπαρωξύνονται. οἷον δίκη δίκαιος. τιμὴ τίμιος. βία. βίαιος. καὶ τὸ θηλυκὸν βιαία. σημαίνει δὲ τὴν δυνα:μιν.

Βίβημι. ὁ παρατατικὸς ἔβην. καὶ ὅμη:ρος. — ἀνδ' ἄρον ἔβα πρίαμος. βαίνειν γὰρ λέγεται τὸ ἁπλῶς διὰ τῶν σκελῶν βαδίζειν. ἀναβαίνειν. ἢ ἐκ τοῦ κάτω πρὸς τὸ ἄνω ἀνάδοσις. λοιπὸν ἐκ τοῦ βίβημι γίνεται ὁ μέλλων βήσω. μετάγεται ὁ μέλ:λων εἰς ἐνεστῶτα μεταγόμενα. ἄχρι τοῦ παρατατικοῦ κλίνονται. καὶ εἰς τὸ ὑπερ:βασία.

Βιβήξαντες. ἐμβιβάσαντες. βιβάσαντες.

Βινεῖν. Ἀλεξίων φησίν. ὅτι οἱ κομίζοντες ἤδη τὴν ἡλικίαν τοῦ ζῆν ἀρχὰς ἔχουσι τοῦ βίου. τὸ δὲ βίος, διὰ τοῦ ῑ γράφεται. ἢ ἐ:πειδὴ καὶ βεῦειν λέγεται διὰ τοῦ ῡ.

Βίος. διὰ τὴν βίᾳ τῆς διαστάσεως. τοῦτο καὶ βέλος, διὰ τὸ βιὰ βάλλεσθαι.

Βίβλος. διὰ τοὺς βίους βάλλεσθαι ἐν αὐτῇ. ἢ διὰ τὸ βαβαί. ἢ διὰ τὸ βέβαιον. βύβλος δὲ καὶ πόλις.

Βιβλίον· παρά τό βύω· τό ἀσφαλίζω.
βύλος· καί βύβλιος· ἤ παρά τό τοὺς βίους
βάλλεσθαι ἐν αὐτῷ·

Βίος· διὰ τήν πρός τόν βίον διαστολήν· ἔοι:
:κε δέ ὑπό τῶν ἀρχομένων ὁμωνύμως λέ:
:γεσθαι.

Βίος· τό τόξον· διοτί δέ αὐτοῦ, τά πρός τόν
βίον εἶχον οἱ ἀρχαῖοι· ἐν ταῖς θήραις αὐ:
:τῷ χρώμενοι·

Βίος· τό τόξον παρά τό βία τείνεσθαι·
ἤ παρά τό βίας αὐτό δεῖσθαι εἰς τήν ἔν:
:τασιν·

Βίργον· καί κηρύκειον·

Βίος· παρά τό βιά καί ἀνάγκη ζῆν· ἤ
παρά τό ἐν τή βάσει ἀρηρέναι·

Βίος· παρά τό βάλλεσθαι τό βέλος· καί
εἰς τό ὀϊστοί·

Βιῶ· εἰς τό τιμή·

Βίτος· ὄνομα·

Βιώλω· ἔστιν ἐυκτικόν· ὡς καί παρ' Ἀριστο:
:φάνει· βιῶν βιοῶτος· τό ἐυκτικόν βιοῖ:
:μι· βιοῖς· βιοῖ· καί κατά πλεονασμόν τοῦ
ῆ· βιοίλω· ὡς περιπατοῖμι περιπατοῖς·
περιπατοίη· καί περιπατῶη· καί δοίλω
δῶην·

Βιοῦν τό ἁπλῶς ζῆν·

Βιωτεῦειν τό καλῶς ἀναστρέφειν·

Βίος· ὅτι βιαίως ἐξάγεται·

Βίος καὶ ζωὴ διαφέρει· βίος μὲν γὰρ ἐστὶν ὁ ἐπὶ λογικῶν τασσόμενος ζῶ· τουτέστιν ἐπὶ ἀνῶν· ζωὴ δὲ καὶ ἐπὶ ἀλόγων· ὅθεν καὶ Ἀριστοτέλης τὸν βίον ὡρίσατο οὕτω, βίοι τε λογικοῖς·

Βίος· ἡ ζωὴ· καὶ βιωτὴ προσαγορεύεται· παρὰ τὸ βέω τὸ πορεύομαι· τί γάρ ἐστι βίος· ἡ ὁδὸς· καὶ ἡ πορεία· καὶ ὁμηρος· οἷον· ὄφρ' ἂν ἐγὼ βέω προτήλιον· καὶ τὸ ζῆν δὲ βέω ἔκτωρ· ἐγὼ δειρητίνυ· βίοι ἄυρ· καὶ πᾶ

τὸ Β μετὰ τοῦ Λ.

Βλάβη· παρὰ τὸ βλάπτω· τοῦτο παρὰ τὸ βάλλω· βάλλη· καὶ ἐν ὑπερβιβασμῷ βλάπτω· καὶ βλάβη·

Βίος καὶ βιοῦν εἴρηται· παρὰ τὴν ἀνάγκην· οἷον τὸ μετὰ μόχθου ζῆν· οὕτως εὗρον ἐν ἐπιμερισμοῖς ἰλιάδος· ὅπου φησί

——— θεοὶ ῥεῖα ζώουσι·

Βίβαξτον· βίς βέστου· δίς ἕξ· ἢ κατὰ τέσ:σαρας γινομένη χρόνους·

Βλάξ παρὰ τὸ μαλακά· μάλαξ· καὶ βλάξ· ὑποκοριστικῶς βλάξ· συγκοπῇ καὶ μεταθέσει

τοῦ β̄. εἰς μ̄ μάλαξ. καὶ μαλακός. καὶ
παρώνυμον μάλαξ. καὶ βλάξ. οὐκ ἠδύνατο
τὸ μ̄ πρὸ τοῦ θ̄. ὅτι ἀσύντακτον.

Βλάπτω. παρὰ τὸ βλῶ. ἅπτω τὸ ἐσθίω.
καὶ μεταθέσει τοῦ ἀμεταβόλου εἰς ἀμε:
:τάβολον.

Βλάπτω. κατὰ παραγωγὴν ἀντὶ τοῦ φθεί:
:ρω. ἀπὸ μεταφορᾶς τῶν ἐσθιομένων.
καὶ μηκέτι γινομεν̄. ἢ μηκέτι ὑγιῶν
ὄντων.

Βλαστός. ἐκ τοῦ βαίνειν τὴν αὔξησιν. παρὰ
τὸ βλώσκειν ἐν τῷ αὔξεσθαι.

Βλάσκω. τὸ πορεύομαι. ὅπερ γέγονεν ἀπὸ
τοῦ μολίσκω. ἐκτάσει τοῦ ο̄ εἰς ω̄. καὶ
μεταθέσει τοῦ μ̄ εἰς β. καὶ κατὰ συγ:
:κοπὴν βλάσκω.

Βλάπτω βια. βοήσω. ἐπεισόδω τοῦ β. καὶ
τροπῇ τοῦ μ̄ εἰς π̄ βλάπτω.

Βλάσφημος παρὰ τὸ βάλλω καὶ τὸ φήμη.
γίνεται βλάσφημος. ὁ βλάβην λέγων. ἢ ὁ
τὰς κακὰς φήμας κατά τινας βαλλῶν. ἢ
ὁ λοίδωρος.

Βλαστός. κατ' συγγένειαν τοῦ β̄ πρὸς τὸ μ̄.
ἐν τῷ μεταλαμβάνεσθαι εἰς ἄλληλα πολλά:
:κις.

Βλαχέρναι. οἱ μὲν λέγουσιν ἀπὸ τοῦ βλάχον

βλάχον. βλαχέρναι· ἐπειδὴ βλάχνα ἦσαν εἰς τὸν τόπον ἐκεῖνον· καὶ ἔκοψαν αὐτά· καὶ οὕτως ἐκτίσθη· ὁ δὲ θεοφύλακτος ὁ ἀντιγραφεὺς· λέγει αὐτὰ λακέρναι· ἐπεὶ δὲ λέγει ὅτι λακέρναι λέγονται ῥωμαϊστὶ αἰθήναι· καὶ λέγει ὅτι ἐν τῷ μέρει ἐκεί:νῳ, ἐπιαίθησαν πολλαὶ θήναι·

Βλέφαρα· ἤτοι τοῦ βλέπους ἐστὶ φάνη· ἢ παρὰ τὸ αἴρεσθαι αὐτὰ ἐν τῷ βλέπειν.

Βλέφαρον· παρὰ τὸ αἴρ᾽ καὶ βλέπειν· ἢ παρὰ τὸ αὐτὸ φάρον τοῦ βλέμματος, ἤτοι ἱμάτιον.

Βλέφαρον· τρέψαι τὸ φ̄ εἰς π̄· καὶ διαστεί:λας τὴν λέξιν· εὗρον ὅτι διὰ τοῦτο λέγε:ται βλέφαρον· διότι αἰρομένου αὐτοῦ ἐπὶ τὰ ἄνω βλέπομεν· οἱονεὶ βλέπε καὶ ἆρον· ἆρον καὶ βλέπεις· εἰ μὴ διαστρέψαι τί·· διαστείλαι δὲ μόνον τὴν λέξιν· εὗρον ὅτι ὡσανεὶ φάρον ὑπερπεριβόλαιον ἐστὶν ἡ:μῶν τοῦ βλέμματος·

Βλέφαρον· παρὰ τὸ τοῦ βλέματος φάρον εἶναι· ἢ παρὰ τὸ αἴρεσθαι ἐν τῷ βλέ:πειν· καὶ ὅτι ἐπαιρομένων αὐτῶν βλέ:πομεν.

Βλέφαρα παρὰ τὸ αἴρεσθαι αὐτὰ ἐν τῷ βλέπειν· οἱονεὶ βλέπαρα ὄντα· κατ᾽ ἀντί:

στιχον παρά τό τοῦ βλέμματος φάρον εἶναι. ἢ ψίμάτιον.

Βλεμεαίνω. ἐπιῤῥωνύμενος. παρά τό βρέμω. βρεμένω. καί βλεμεαίνω ἢ τῶ βλέματι φοβῶ. βρεμεαίνω. καί μεταθέσει τοῦ ρ εἰς λ. βλεμεαίνω.

Βλέπω παρά τό λεύσω τό βλέπω. καί πλεονασμῶ τοῦ β καί ἐκβολῆ τοῦ υ. βλέσω. καί τροπῆ Αἰολικῆ τῶν δύο σσ εἰς π βλέπω. οἱ γάρ Αἰολεῖς τό νίπτω νίσω, λέγουσι. καί τό βλέπω, βλέσσω. σημαίνει δέ δύο τό βλέπω. τό θεωρῶ καί φυλάσσω.

Βλέσσω. εἰς τό βλέπειν, καί λεύσεται.

Βλήδην. καί ὑποβλήδην. ὥσπερ ἐκ τ καλῶ. κλῶ. ἐπίῤῥημα κλήδην; οὕτως ἐκ τοῦ βάλλω βλῶ, βλήδην.

Βλήχω. τό βοῶ. βλήχω δέ ποιά φωνή τῶν προβάτων. ἐξ οὗ καί βληχόμενος καί βλήχων. καί βλυχώνη.

Βλιμάζω, το ἀποστάζειν τοῦ μελίτος.. καί τό στηθολαβεῖν. ἢ τό ψηλαφᾶν τά στάθη. καί τοὺς μαστοὺς καταλαμβάνειν τῇ ἁφῇ. ἢ τό ψηλαφᾶν τάς ὄρνεις. διά τά ὠά:.

Βλιμαίνω τό ὀργίζομαι.

Βλίξαι τὸ βάσταξαι.

Βλίσαι· τὸ κηρίον θλίψαι.

Βλίττειν καὶ βλιρῶ· τὸ ἀφερεῖν τὸ μέλι ἀπὸ τῶν κηρίων. τουτέστιν ἐκπιέζειν καὶ θλίβειν. παρὰ τὸ μέλι μελίζω καὶ κατὰ συγκοπὴν καὶ τροπῆ τοῦ μ̄ εἰς θ̄. καὶ Ἀττικῶς· βλίττω· ἢ τὸ μαστροπεῖν.

Βλοσυρός· μανιώδης· ἀπὸ τοῦ βλέπω, καὶ τοῦ σύρω· βλεσυρός· ἢ παρὰ τὸ σοβαρῶς. καὶ ἐπηρμένως λεύσειν· ἢ παρὰ τὸ βλέπ'. καὶ βλοσυρῶπις θηλυκοῦ· ἢ φοβερὰ καὶ καταπληκτικὴ τὴν πρόσωψιν. ἀπὸ τοῦ βάλλειν καὶ σύρειν τὰ ὄμματα. βολλαὶ γὰρ τὰ ὄμμ̄τ̄. καὶ εἰς τὸ δεινῶς βλέπω.

Βλοσυρός· δεινός· καταπληκτικός· φοβε:ρός χαλεπός· οἱ δὲ :λαμπρός· ἄλλοι σεμ:νός· οἱ δὲ γοργός.

Βλύω· καὶ βρύω διαφέρει· ὅτι τὸ μὲν βρύειν ἐπὶ τῆς ἀναδόσεως τῶν ἀνθέων λέγεται· τὸ δὲ βλύειν ἐπὶ τῆς τοῦ ὕδα:τος ἀναδόσεως. καὶ εἰς τὸ ὀμβροβλύτει.

Βλῶ· παρὰ τὸ μολῶ· βλῶ· βλωθῶ· καὶ βλωθρός· καὶ βλωθρὴ ἡ μεγάλη καὶ ὑψη:λή παρὰ τὸ μολεῖν εἰς ὕψος· οἷον μολόθρη· οὕτω καὶ βλαστάνω καὶ βλυστάνω.

Βλιμάζω τό ψηλαφῶ.

Βλωμός. ὁ ψωμός. παρά τό βάλλεσθαι εἰς τό σῶμα. καί εἰς τό ὦμος.

Βλῶθρη. παρά τό λάμπω λαμπρός.

Βλῶσκω. τό αὐξάνω. παρά τό μολῶ μολίσκω. βλῶκω. καί εἰς τό βλαστός.

το Β̄ μετά του Ō.

Βοεικός. ἐκ του βοῦς. βοός. γέγονε βόειος καί ἐκεῖθεν βοεικός.

Βοή ὄνομα προσηγορικόν. καί γίνεται παρά τό βέω βοή. ὥσπερ παρά τό χέω χρή. τό σημαῖνον τό βαίνω ἤ τό τρέφω. ἤτοι διά τῆς ἀρτηρ — βαίνουσα. ἡ ἀναπεμπομένη ἐκ τῶν τρεφομένων πνοῶν. ὀξύνεται. τά εἰς η̄ λήγοντα καθαρά δισύλλαβα τῶ ō παραληγόμενα. ὧν περ καταρχήν ῥημάτων ἐστί τό ε̄. ὀξύνονται. οἷον πνέω. πνοή. χέω. χοή. βέω, βοή.

Βοηθός. παρά τό βοή. καί τό θέω τό τρέχω. βοήθεια εἴρηται. παρά τό ἐν τῇ βοῇ θέειν.

Βοήθεια. ἐκ του βοηθός γέγονεν. ἔστι δέ τό βοηθός συνθετον ἀπό του βῆ καί θόος. οἱονεί ὁ κατά τήν βοήν ταχύς. ὁ γάρ βοηθός τοῖς βοῶσι ταχύς θέλει γνωρίζεσθαι.

καὶ ἐκ τούτου βοήθεια. καὶ εἰς τὸ ἐπίκου
:ροι.

Βόθρος. παρὰ τὸ βῶ βέω. ἐξ οὗ καὶ πλεο
:νασμῶ τοῦ ῑ. βείω. βέθρης καὶ βόθρος.
κατὰ ἀντίφρασιν. ἐφ' ὃν οὐδεὶς βαίνει.
ἢ παρὰ τὸ βάθος. βάθρος. καὶ βόθρος.

Βόθυνος. βαθυνός τις ὤν. παρὰ τὸ βαθύς.

Βοΐδιον. ὅτι βοὴν δίδοι. διὰ τὸ βοΐδιον
γράφεται διὰ τοῦ ῑ. κατὰ δάλεκτον ἐν
συλλήψει βοίδιον. εὕρηται. καὶ ἐκ τούτου
κατὰ διάστασιν, βοΐδιον διὰ τοῦ ῑ.

Βοῦς. παρὰ τὸ βῶ δηλοῦν τὸ τρέφω.
οὗ ὁ μὴ βῶσω. καὶ δόσις ἡ τροφή.
ὡς ἀρόσω ἄροσις. ἀφ' οὗ βοτῆρος ἀρο
:τὴρ βοῦς οἷον τὸ ζῶον. ἐκ τοῦ τρέφεσθαι
ἡμᾶς ἐξ ἑαυτοῦ.

Βοὸς καὶ βόειος διαφέρει. βοὸς μὲν γὰρ
πούς ἐστιν ἐπὶ ζώντων. βόειος δὲ ὁ
ἐπὶ νεκρου.

Βοιωτοί. ἐκ τοῦ βυεῖν τὰ ὦτα.

Βοιωτὸς ὄνομα. καὶ ἐξ αὐτοῦ ἡ χώρα
βοιωτία. εἴρηται ὅτι ἄρνη ἡ μὴρ
αὐτοῦ τεκοῦσα, λαθεῖν βουλομένη τὸν
πρᾶ ἔρριψεν εἰς βουκόλιον. παρὰ τὸ
οὖν μετὰ βοῶν τραφῆναι βοῶτος καὶ

Βοιωτός ἐκλήθη. Εὐφορίων.

Τὸν ῥὰ Ποσειδάονι δαμασσαμένη τέκε μῆρ-
Βοιωτὸν δ' ὀνόμασε. τὸ γὰρ καλέουσι βοτῆρες.
Ὅττι ῥὰ πατρωΐησι νῦ ἀπερήκατο κόπροις.

Βοιωτός. παρὰ τὸ εἰς βουκολίον ῥίφηναι αὐτὸν ὑπὸ τῆς μρ̄ός. ἐξ οὗ καὶ βοιωτία.

Βολή εἰς τὸ βάλλω.

Βοιωτός. ὄνομα. υἱὸς θυγαστρὸς αἰόλου ἐξ οὗ καὶ οἱ Αἰολεῖς. ἀπὸ βοιωτοῦ δὲ βοιωτοὶ ὠνομάσθησαν. τῇ χώρᾳ ἐγχρονίσαντες.

Βοιωτία. ἡ χώρα εἴρηται ἀπὸ τοῦ βοιωτοῦ. τοῦ ποσειδῶνος. καὶ Ἄρνης τῆς Αἰόλου. οὕτως ἐπεὶ τεχθεὶς ὑπὸ τῆς μητρὸς εἰς βουκολίον. παρὰ τὸ βοῦς οὖν εἴρηται. αὐτὸν Βοιωτοί. καὶ ἀπ' αὐτοῦ Βοιωτία. Βοιωτοὶ δὲ ὠνομάσθησαν, παρὰ τὸ βοῶν ὦτα ἔχειν.

Βόλος. Τὸ δίκτυον καὶ ἡ δρόσος. ἀμφίβλιστον. καὶ ἡ σαγήνη. καὶ λῖνος. καὶ πολυωπόν. βῶλος δὲ ὁ τῆς γῆς προπερισπάται. ὅτι βαλλόμενος λύεται.

Βολωσία. βολίς. ἡ ἠλείθυια. βολὰς γὰρ τὰς ὠδίνας ὠνόμαζον. ἠλείθυια δέ ἐστι θεὰ ἡ ἐπέχουσα τὰς ὠδῖνας τῶν τικτουσῶν γυναικῶν. εἴρηται δὲ ἀπὸ τοῦ ἐλθεῖν εἰς

φῶς τὰ δι' αὐτῆς τικτόμενα· καὶ εἰς ἠλεί:θυια.

Βοναλλάς· εἰς τὸ ἱμάς.

Βοόωντας· βοῶντας· πλεονασμῶ τοῦ ω̄ πο:ιητικῶς γίνεται βοόωντ(ς)· τὸ δὲ βοῶ· ἐκ τοῦ βοή· τὸ βο̄ μικρόν· τὰ ἔχοντα τὸ ε̄ ἐγκείμενον καὶ ἔστιν ἐκ τοῦ θέω· ἐξ οὗ καὶ κατὰ πλεονασμόν τοῦ ῑ θείω· οἱονεὶ ἡ διὰ τῆς τραχείας ἀρτηρίας ἐκπεμπομέ:νη φωνή.

Βολίς· παρὰ τὸ βάλλω· βαλῦς, καὶ βολῦς.

Βομβεῖν τὸ ὄνομα γέγονε κατὰ μίμησιν.

Βόθυνος· παρὰ τὸ βάθυνος· τροπῇ τοῦ ᾱ εἰς ο̄· βάθυνος τίς ἐστι· παρὰ τὸ βαθῦς· ὡς καὶ θρασῦς θρασυνός· καὶ μετα:θέσει θράσυνος· παρὰ τὸ βαθῦ· ἐπὶ τοῦ ὀφθαλμοῦ οὖν βαθυνός.

Βολβοὶ ὀφθαλμος· καὶ ὁ ἐκ γῆς βολβός.

Βολβὸς ἐπὶ τοῦ ἐσθιομένου· παρὰ τὸ βία ἀναβάλλειν· οὕτως Ἡρωδιανὸς ἐν συμπο:σίῳ.

Βορὰ ἡ δρῶσις· παρὰ τὸ βῶ τὸ τρέφω· ὁ μέλλων βῶσω· βόρος καὶ βορά· καὶ βῶτης· καὶ συμβότης, ἐπεκτάσει τοῦ ο̄ εἰς ω̄ια:πὸ δὲ τοῦ αὐτοῦ καὶ βοῦτης πλεονασμῶ τοῦ ῡ καὶ εἰς τὸ βόρβορος· καὶ εἰς τὸ

λάβρος, καὶ νεκρός.

Βοράζω εἰς τὸ κυμηγῶς.

Βόρβορος. παρὰ τὸ βορὰ βορός. ἢ ἐκ τῆς βορᾶς κόπρος. διπλασιασμῷ βόρβορος. πλεονασμῷ τοῦ ρ̄.

Βόρβορος. παρὰ τὸ βάρος. καὶ τροπῇ τοῦ ᾱ εἰς ο̄ βόρος καὶ κατὰ ἀναδιπλασιασμὸν βόρβορος.

Βόρβορος παρὰ τὸ βορὰ. ὁ σημαίνει τὴν τροφὴν. βόρβορος γὰρ λέγεται τὸ περίττωμα τῆς γαστρός. καὶ κατὰ ἀναδιπλασιασμὸν βόρβορος. καὶ ἐξ αὐτοῦ βεβορβορομένος ὄνομα μετοχικ̄. ὁ βδελυκτός.

Βόρδων. διὰ τὸ τὰ βάρη δονεῖν. ἤγουν βαστάζειν.

Βόρειος. ἐκ τοῦ βορεὸς γέγονε.

Βορρᾶς. ὁ ἄνεμος. ἴσως διὰ τὸ βίᾳ αἴρειν. ἢ ῥεῖν ἢ ὀρέσκεσθαι. ἢ παρὰ τὸ μωρρότατα τὰ σώματα ἡμῶν ποῖ καὶ ἰσχυρότατα.

Βορρᾶς. ὅτι καὶ βαρρῦς καὶ βίαιος, καὶ κρυμῶδης. ἄλλο δὲ τὸ βορρᾶς, ἐν ρ̄ γράφουσιν.

Βορέας. ὁ ἄνεμος. παρὰ τὸν ἦχον τὸν γινόμενον κατὰ τὴν πνοὴν τὸ ὄνομα γέγονε. τάχα δὲ διὰ τὸ βορβορώτατα ἡμῶν κατασκευάζειν τὰ σώματα. διὰ τὴν πύκνωσιν τοῦ σώματος.

Βοσωρ. ἑβραϊκὴ ἡ λέξις. σημαίνει δὲ ἱμά:τιον ἐκ κοκκίνου βεβαμμένον. λέγεται δὲ βοσόρ καὶ τὸ σῶμα. ὡς τὸ οὗ τὸ ἐρυ:θημα ἐξ ἀμπέλου βοσόρ. ἀντὶ τοῦ οὗ τινος τὸ σῶμα ἐξ ἀμπέλου ἦν βεβαμμέ:νου.

Βόστρυχοι. οἷον βότρυχοι, οἱ μετὰ σχήματος βότρυος ἀπὸ κρημνοῦ τρυχόμενοι.

Βόσωρ. βοσόρ τὸ βεβαμμένον.

Βόστρυχος. ὁ πλόκαμος. παρὰ τὸν βότρυν.

Βοτάνη. παρὰ τὸ πρὸς τὰ ἄνω βαίν. τὰ γὰρ ἐκφυόμενα ἀνωφερῆ πρὸς ἀέρα εἰσί.

Βοτάνη. παρὰ τὸ βία τείνεσθαι ἢ αὔξειν ἢ παρὰ τὸ βαδίζειν ἄνω.

Βοτήρ. καὶ διὰ τοῦ ο μικροῦ καὶ διὰ τοῦ ω μεγάλου. παρ' ὁμήρῳ. ὅθεν τὸ κτείνοντο δὲ 'πι μηλοβοτῆρος. καὶ εἰς τὸ πολυβότει:ρα.

Βοτόν. εἰς τὸ θερείβοτον.

Βότρυες. παρὰ τὸ πότρυες. ἢ οἱ τοῖς ποσὶ πατούμενοι.

Βότρυ καὶ ὁ περκάζων. ὄμφαξ. ὁ ἄωρος.

Βοτρυδόν. ἀγεληδόν. ἐπίῤῥημα ποιότητος.

Βότρυες. ἀφ' ὧν ἐστι ποιεῖν. οἷον πότυες. οἱ τοῖς ποσὶ τριβόμενοι. ἢ πατούμενοι.

Βόσω τρέφω. ἐξ οὗ καὶ συβώτης, ὁ τοὺς σῦας βόσκων. κατ' ἐπαύξησιν τοῦ ο εἰς ω.

Βουβῶνα. παρὰ τὸ βῶ τὸ βαίνω, γίνεται βῶνα. καὶ μετὰ τοῦ βῶ ἐπιτατικοῦ γίνεται βουβῶν. τὸ εἰς ὕψος βαίνων. σημαίνει δὲ τὸ πάθος

Βουβῶν ἐπὶ τοῦ συμβαίνοντος οἰδήματος. παρὰ τὸ ἄγαν βαίνειν εἰς ὕψος.

Βουλή παρὰ τὸ βάλλω. ἐξ οὗ καὶ βέλος καὶ βολίς. καὶ βουλή. ἐπιβουλή ἐστι γάρ.

Βούκινον. ἐκ τοῦ βοῦ καὶ τὴν κίνησιν. βοὴ κενή. ἢ βοὴ κοινή.

Βοῦκολος. βοῦκονος τίς ὤν. παρὰ τὸ κονεῖν εἰς ἔριν τὰς βοῦς. ὅ ἐστιν ἐνεργεῖν καὶ διατρίβειν. ἢ βουσὶ κεκλόμενος. ὅ ἐστιν ἐγκελευόμενος.

Βούλει. τοῦ βούλη διαφέρει. τὸ βούλει μέν ἐστιν. ὁριστικῶς λέγεσθαι. οἷον βούλει χολάσαι μοι. τὸ δὲ βούλη διαστατικῶς. οἱονεὶ ἐὰν βούλη πορευόμεθα. βαρυτόνως. βουλὴ δὲ περισπωμένως τὴν γνώμην σημαίνει.

Βουβῶν. ἐπὶ τοῦ σημαίνοντος οἰδήματος. παρὰ τὸ ἄγαν βαίνειν εἰς ὕψος. βῶν καὶ μετὰ τοῦ ἐπιτατικοῦ μορίου τοῦ βοῦ βουβῶν. ὡς βούπαις, βούγαις, βούλιμος.

Βουβών. ἀπὸ τοῦ μεγάλως ἐπάρθαι. τὸ γὰρ βοῦ προτασσόμενον τὸ μέγα δῆλον.

Βουλή. γνώμη, πρόθεσις.

Βίαιος παράνομος, σφοδρός.

Βουληφόρος ὁ σύμβουλος. τὰ ἐκ δύο τελείων συντιθέμενα ὀνόματα ἐκ πόσων πτώσεων συντίθενται. ἢ ἀπὸ εὐθείας. ὡς τὸ ζωὴ ζωηφόρος. καὶ ἕως ἑωσφόρος. ἢ ἀπὸ γενι:κῆς, ὡς τὸ οὐδενός. οὐδενοσώρα. ἢ ἀπὸ δοτικῆς, ὡς τὸ ἄρηϊ. ἀρηΐφιλος. ἢ ἀπὸ αἰτιατικῆς. ὡς τὸ πόδα, ποδαλείριον. μόνον δὲ ἀπὸ κλητικῆς, οὐ γίνονται σύν:θετα. ἐπειδὴ πᾶσα πτῶσις τριπόσωπός ἐστι πλὴν τῆς κλητικῆς. ἡ δὲ κλητικὴ αὐτοτελής ἐστι. καὶ πολλάκις τέλειον λό:γον ἀποπληροῖ. ὡς τὸ

Ω μάκαρ Ἀτρείδη μοιριιγενὲς ὀλβιόδαιμον.

καὶ πάλιν

Διογενὲς Λαερτιάδη. πολυμήχαν' ὀδυσσεῦ τὸ δὲ τέλειον μετὰ τοῦ ἀτελοῦς οὐ συνίστα:ται. καὶ ἀποροῦσι τινές. ἐπεὶ ἀπὸ κλητι:κῆς οὐ συντίθεται. πῶς τὸ γυναιμανὲς ἀπὸ κλητικῆς τοῦ ὦ γῦναι καὶ τοῦ μαίνομαι ῥήματος συνετέθη. ἔστι δὲ εἰπεῖν. οὐκ ἀπὸ κλητικῆς συνετέθη τοῦ ὦ γῦναι. ἀλλ' ἐξ

ἀποκοπῆς. ἐκ τῆς γυναικὸς γενικῆς. γυναι-
μανές. βουληφόρος. ἔστι δὲ τὸ ῥῆμα φέρω.
καὶ φορέω.

——— ὣς δ' ἄνεμος ἄχνας φορέει.

ἀφ' οὗ φορητός. ἀπὸ δὲ τοῦ φέρω, φερτός.
ἔνθεν τὸ συμφερτὴ δ' ἀρετή. τὸ συγκριτι-
κὸν προφερέστατος. τὸ φέρω κατὰ τὸ τέ-
λος συνθετον. σπανίως δὲ καταρχήν. ὥσ-
περ τὸ φέρεκλος. φερέσταχος. βουληφόρος,
τελεσφόρος. ἔστι βούλω. ὅθεν τὸ βουλεύω.
παράγωγον. καὶ ἄρχω. ἀρχεύω. ἀπὸ τοῦ-
τον τὰ εἰς η λήγοντα, φυλάττει τὸ
η. ἢ τρέπει. οἷον γῆ. γηγενῆς. ὀδύνη.
ὀδυνήφατος. πάντα δὲ τὰ παρὰ τοῦ
φέρω προπαροξύνονται. οἷον. ἑωσφόρος.
βουληφόρος. εἰ μὴ ἄρα τυπος κωλυη διὰ
τοῦ εὐμορίου. καὶ τὰς προθέσεις. καὶ
τὴν τοῦ α στέρησιν. πρόσφορος. ἄφορος.
εὔφορος:

Βούλιμος. ὁ μέγας λιμός. παρὰ τὸ βοῦ
ἐπιτατικὸν καὶ τὸ λιμός. καὶ ῥῆμα
ἐξ αὐτοῦ βουλιμιῶ.

Βούλω βαρύνεται. ἐπειδὴ τὰ εἰς ω λή-
γοντα καθαρὰ δισύλλαβα. παραλήγε-
ται τῇ οὗ διφθόγγω. τὰ μὲν δύο βαρύ-
τονα. τὰ δὲ δύο περισπώμενα. καὶ τὰ

μὲν βαρύτονα εἰσὶ ταῦτα. βούλω, καὶ
οὔλω. ἐξ οὗ καὶ ὁ ποιητής.

ὄυλεέ τε καὶ μέγα χαῖρε ——

ταῦτα δὲ περισπῶντα. οὐλῶ. παρὰ τὸ
οὐλή. ὃ σημαίνει τὸ τραῦμα, ἔνθα καὶ
κατοῦλω σε. καὶ τὸ δουλῶ. παρὰ τὸ
δοῦλος. καὶ εἰς τὸ οὐλομένην.

Βοτρυοειδοῦς. ἀποκεκρόμεναι τρίχες.

Βουδός. παρὰ τὸ βαίνειν ἄνωθεν. βαι-
νός. καὶ τροπῇ τῆς διφθόγγου εἰς
δίφθογγον. ὡς ὄναιρος, ὄνειρος.

Βουδός. παρὰ τὸ βαίνειν ἄνω. ὕψωμα
δέ ἐστιν ἐκ γῆς. οὐκ ἐκ πετρῶν πεπυκ-
νωμένος.

Βοῦπαις. εἰς τὸ γέρων.

Βοῦπληξ. διφορεῖται κατὰ τὴν τάσιν,
πρὸς διάφορον σημαινόμενον. ὀξυτόνως
μὲν γάρ, τὸ ἐνεργοῦν ὄργανον. βαρυτό-
νως δὲ τὸ ὑπ' αὐτοῦ πλησσόμενον.

Βοῦς διὰ τὸ βίαιον τῆς δυνάμεως. ἢ
παρὰ τὸ βῶ τὸ τρέφω. ἐξ οὗ καὶ βόσις,
δι' αὐτῆς γὰρ τρεφόμεθα.

Βοῦς παρὰ τὸ βύζειν τὸ οὖς καὶ ἄδειν.

Βοῦς παρὰ τὸ βῶ. τὸ τρέφω. οὗ ὁ μέλ-
λων βώσω. καὶ βόσις ἡ τροφή. ὡς ἀρόσω

ἀροσις. ἀφ' οὗ βοτήρ ὡς ἀροτήρ.

Βους ὀνω τὸ ζῶον. τὸ τρέφεσθαι ἡμᾶς αἴτιον.

Βους μόχου διαφέρει. βους μὲν γάρ ἐστιν ὁ τέλειος. μόχος δὲ ὁ νεόγονος. ἀφ' οὗ καὶ μοσχεῖα ἡ νέα φυτεῖα.

Βοῦτα. λατῖνοι τὰ ἐκ τῆς πυρᾶς καλοῦσι λείψανα. παρὰ τὸ φῶ ὃ σημαίνει τὸ λάμπω γίνεται φῶτα. τροπὴ τοῦ ω εἰς τὴν οὖ δίφθογγον, καὶ τοῦ φ εἰς τὸ β. γίνεται βοῦτα. συντάσσεται μετὰ αἰτιατικῆς.

Βοῶπις. ὁ μέγας ὀφθαλμός. ποίου εἴδη τῶν ὑποπτεκότων τῶ ὀνόματι: προσηγορικοῦ.

Βραβεῖον. παρὰ τὸ ῥάβδος. ῥαυδεῖον καὶ τροπῇ τοῦ δ εἰς θ. καὶ ἐν ὑπερβιβασμῶ ἑτέρου β βραβεῖον. λέγεται δὲ καὶ τὸ βασιλικὸν σκῆπτρον. ἐξ οὗ καὶ βραβεῦται οἱ τὰς βασιλικὰς ῥάβδους βαστάζοντες. καὶ τοῖς νικῶσι τοὺς στεφάνους διδόντες. τὸ βεῖ δίφθογγον. τὰ διὰ τοῦ εἶον κτητικά. στέφανος βραβείου διαφέρει. στέφανος. κόσμος γυναικεῖος ἐπὶ τῆς κοίτης. βραβεῖον ἐπινίκιος ἀμοιβή.

Βράσσων ὁ βραδύς. ὡς βάσσων ὁ ταχύς.

δυνάται. καὶ ὃ μὴ ναθεστὶ ὑπὸ τοῦ βαβ-
-μοῦ.

Βραβευταὶ κυρίως, οἱ τὴν ῥᾶρδον ἀπὸ
φοίνικος, ἢ τινὸς ἄλλου διδόντες σύμβολον
τῆς νίκης. ῥαυδευταί τινες ὄντες. πλεο-
-νασμῷ τοῦ β. ὡς παρ' Αἰολεῦσι τὸ ῥόδον.
βρόδον.

Βριήπανος. μέγας καὶ βαρυβοῶν. παρὰ τὸ
ἥπτειν. ὅ ἐστι φωνῆ.

Βραβεύω. ἐπιψηφίζομαι. διακρίνω, ἐξ οὗ
καὶ βραβεύω τὸ διακρίνω.

Βράγχιον. τὸ τῶν ἤχων.

Βρόχος. τὸ ὀλίγον πόμα. καὶ ἡ φάρυγξ,
δι' ἧς καταπίνομεν. εἴρηται παρὰ τὸ
βρέχω. βέβροχα. βρόχος. καὶ ἐν πλεονασ-
-μῷ βρόχθος. τὸ γὰρ πινόμενον, βρέχει.
καὶ τὸ πίνον ὄργανον βρέχεται. πεποί-
-ηται δὲ ἡ λέξις, ἀπὸ τοῦ γενομένου
ποίου ἤχου ἐν τῷ πίνειν.

Βραβεύει. ἐπιψηφίζεται. διανέμει. καὶ
βραβευτής. διοικητής. κριτής. ὁριστής.
βραβευταὶ δὲ κυρίως, οἱ τὴν ῥᾶυδον ἀπὸ
φοινίκος ἢ τινὸς ἄλλου διδόντες σύμβολα
τῆς νίκης. ῥαυδευταί τινες ὄντες. συντάσ-
-σεται μετὰ αἰτιατικῆς.

Βραβεύεται. παρὰ τὸ ῥαυδεύεται. φοίνικος
γὰρ κλάδας ἐβράβευον.

Βεαχιάζω· εἰς τὸ ἐβεαχίασεν.

Βεαδύς· ἀπὸ τοῦ βεαδέως γίγονε· κατὰ κρᾶ
σιν τῶν δύο ε· εἰς τὴν ει δίφθογ
γον.

Βεαδίς· παρὰ τὸ βάεος· βαεύς· ὑπερδύθει
τοῦ ε· καὶ πλεοναζομένου τοῦ δ βεαδὶς·

Βεαδιγλωσσος· παρὰ τὸ βεαδὺς καὶ τὸ γλῶσ
σα ἐγενήθη εἰς τὰ ὕπτα τῶν κανόνων τῶν
ἐοέτων.

Βεάσσων εἰς τὸ πάσσων.

Βεαχιόνως· ὁ ὀλίγος πρὸς τὰ πλείονα·
οὕτω καὶ τὸ μέτεον τῆς χειρός·

Βεαχίονες· βεαχυκίονες·

Βεαχίονες· οἷον βεαχυκίονες· βεαχύτερον
γὰρ τοῦ λοιποῦ μέεους τῶν χειρῶν τοῦ πήχε
ως·

Βεαχίονες· παρὰ τὸ βεαχεῖς κίονας εἶναι
τῆς χειρός·

Βεαχίων· ἐκ τοῦ βεαχὺς καὶ τοῦ κίων· ὁ
καὶ ζ· τὰ διὰ τοῦ ἴων βαρύτονα τέτοντα
τὸ ω εἰς ο ὑπὸ γενικῆς· εἴτε κοινὰ εἴτε
μὴ ἀποτελοῦσι τὸ ω καὶ τὴν ει δίφθογ
γον·

Βεαχίων· ἐκ τοῦ βεαχὺς καὶ τοῦ κίω· ὁ
καὶ ζ· τὰ διὰ τοῦ ίων δυγκριτικά· τε
τοντα τὸ ω εἰς ο ὑπὸ γενικῆς· οἷον
μείζων· μείζονος· βελτίων βελτίονος· οὗ
τως βεαχίων βεαχίονος· τὸ χι· ἴ διατί·
τὰ διὰ τοῦ υω βαρύτονα· τέτοντα τὸ ω

εἰς ο ἐπὶ γενικῆς, εἴτε κοινά. εἶτε
αποστρέφονται τὴν εἰ δίφθογγον.

Βραχίον. παρὰ τὸ βραχύς. καὶ τὸ κίω
ῥῆμα. ὁ βραχύτερος τοῦ λοιποῦ μέρους
τοῦ σώματος.

Βροχὸς διὰ τὸ βαρέως χεῖσθαι. ἤγουν κολά
ζεσθαι.

Βράχος. εἰς τὸ βρόχος. καὶ ἐβραχίασε.

Βραχὺ σημαίνει τὸ μικρόν. βραχὴν σημαί
νει τὸν μικρόν. γίνεται δὲ παρὰ τὸ ῥᾶον
χεῖσθαι.

Βραχύ. κατὰ τὴν τοῦ ρ πρὸς τὸ λ. κοινω
νίαν. παρὰ τὸ ἀποβεβλῆσθαι μέρος. καὶ
ἔλασσον γίνεσθαι. οὕτως Ἡρακλείδης.

Βρέμεται τὸ βρε ψιλόν. τὰ δια τοῦ ε μω
ῥήματα διὰ τοῦ ε ψιλοῦ γράφεται.
πλὴν τοῦ μαιμ. σημαίνει δὲ τὸ ὁρμῶ, ἢ
οὕτως μαιμῶσα τοῦ αἵματος. γευστικὸς
ἔχουσα. ὁρμῶσα.

Βρέμω. εἰς τὸ ἔδραμον

Βραθυόμενοι. δυσχεπραίνοντες, ὀργιζόμενοι.
θυμούμενοι. ἐπαιρόμενοι. καὶ βρενθύεσθαι
τὸν θυμὸν μετεωρίζεσθαι. ἢ προσποιεῖσθαι.
παρὰ τὸ μετὰ βαρούς θύειν, ὅ ἐστιν ὁρμᾶν.

Βρεντήσιον. χωρίον τῆς Ἰταλίας. εἴρηται
δὲ οὕτως. ὅτι λιμένα ἔχει μέρα ἢ ἐλάφου

παραπλησίους. βρένδον δὲ τὸν ἔλαφον κα-
λοῦσι Μεσάππιοι.

Βρέτας. εἴδωλον. ἢ ξόανον σημαίνει, καὶ
γέγονεν οὕτως. ἔστι βρετῶ τὸ σημαῖνον τὸ
φθείρω. ἐξ οὗ βροτός. καὶ ἐκ τοῦ βρετῶ.
βρέτας. ἔστι δὲ ἄκλιτον. καὶ εἰς τὸ ξόανον.

Βρέτας εἴρηται παρὰ τὸ βρότος. βρέτας. τὸ
βροτοειδὲς ἄγαλμα. κυρίως δὲ, τὸ ἀπὸ ξύ-
λου πεποιημένον ἀνοῦ ἄγαλμα.

Βρέτας. παρὰ τὸ βρῶ τὸ ἀπεικάζω.

Βρέφος. παρὰ τὸ εἰς φῶς βεβηκέναι.
ἢ παρὰ τὸ φέρβω τὸ τρέφω. φέρβος. καὶ
τροπῇ τοῦ π εἰς τ. καὶ ἐν ὑπερβιβασ-
μῷ τοῦ ρ βρέφος. τὸ ἐν τῇ κοιλίᾳ τῆς
μρί αὐτοῦ βεβρεγμένον. ἢ παρὰ τὸ τρέ-
φω τρέφος. καὶ τροπῇ τοῦ τ εἰς β βρέ-
φος. τὸ βρέ ψιλόν. διατί. τὰ διὰ τοῦ
εφος, οὐδέτερα. διὰ τοῦ ε ψιλοῦ γράφεται.
οἷον. νέφος. στέφος. κέπφος. σεσημείωται
τὸ λαῖφος. σημαίνει δὲ τὸ ἱμάτιον. καὶ
εἰς τὸ γέρ.

Βρέφος. τὸ δεόμενον φορβῆς. ὅ ἐστι τροφῆς.

Βρέφος. παρὰ τὸ φέκρω, καὶ μεταθέσει
τῶν δυοστοιχείων, βρέφος. τὸ δεόμενον
τροφῆς.

Βρέχει. πᾶν νόημα, καὶ πᾶς λόγος τέλειος,

ἐξ ὀνόματος καὶ ῥήματος σωίστατα.
οἷον λέγει Θεόδωρος. ἀναγινώσκει ὁ
Πλάτων. δημηγορεῖ Δημοσθένης. χωρὶς
τούτων. οὐδὲν ἐστι τέλειον. ἐὰν γὰρ εἴπω
ἀναγινώσκει. ὀφείλω εἰπεῖν καὶ ἐπαγό-
-μενον. ἢ Θεόδωρος. ἢ ἄλλος τὶς. διότι
πολλοί εἰσιν οἱ ἀναγινώσκοντες. ὅταν
ἐρωτηματικῶς εἴπωμεν. βρέχει. ἢ βρον-
-τᾶ. ἢ ἀστράπτει. διὰ τοῦτο οὐ προτί-
-θεμεν. καὶ τὸν ἐπαγόμενον, διότι εἷς
ἐστιν ὁ ταῦτα ποιῶν τουτέστιν ὁ θεὸς ὥσ-
-περ καὶ ἐπὶ τοῦ βασιλέως. οἷον ἔδωκεν
ἀξίως. ἐποίησε σπαθαρίου. καὶ οὐ λέ-
-γομεν ὁ δεῖνα. ἐπειδὴ εἷς ἐστιν ὁ ταῦ-
-τα πράττων

Βρίζω τὸ κοιμῶμαι. εἴρηται δὲ βρίξαι.
τὸ μετὰ βορὰν καθευδῆσαι. οἷον βορίξ-
-αι τί ὄν.

Βρίζοντα. νυστάζαντα. κοιμώμενον. βρίξαι
γὰρ κυρίως τὸ μετὰ βάρους τροφῆς
νυστάζειν. ἐξ οὗ ἠρεμεῖν καὶ ἀμελεῖν.

Βριμῶ. εἰς τὸ ἐμβριμῶ. βρίμος.

Βριθοσύνη ἡ βαρύτης. παρὰ τὸ βρίθω.
τὸ βαρῶ.

Βρίζειν τὸ μετὰ τροφὴν κοιμᾶσθαι. οἱο-
-νεὶ βορίζειν. βορὰ γὰρ ἡ τροφή.

Βριθομένη. ἀντὶ τοῦ βρίθεται. ὅ ἐστι

βαρεῖται. καὶ οὐχ ὥς τινες εἶπον βαρου-
-μένη. κέχρηται δὲ τῇ μετοχῇ ἀντὶ ῥήμα-
-τος καὶ ἐστὶ τὸ σχῆμα ἴδιον Αἰολέων.

Βυσσοδομεύων. ἐκ βυθοῦ τῆς διανοίας. κρυπ-
-τῶς συντιθὴς σκέψιν. οἷον ἐν βυθῷ τινι
οἰκοδομῶν. ὡς μὴ πρότερον γνωσθῆναι πρὶν
ὑπερέχειν ἄνω.

Βυσσοδομεύειν. τὸ φροντίζειν παρὰ τὸ
δομεύειν καὶ κατασκευάζειν τὰ ἐν βάθῃ.

Βρυγμός. ἡ σύντομος ἐδωδή. Εὔπολις. ὅσος
ὁ βρυγμὸς καὶ κοπετὸς ἐν τῇ στεγῇ. παρὰ
τὸ βρύκω ὃ σημαίνει τὸ ἐσθίω. ὡς νύσσω
οὖν νυγμός. βρύκω. βρυγμός.

Βρόχος ἐπὶ τοῦ σχοινίου καὶ τοῦ λαιμοῦ.
κυρίως δὲ βρόχος, ὁ εἰς τὰς ἀγκύρας ἐνημ-
-μένος. καὶ τὰ ἀπὸ γῆς σχοινία. διὰ τὸ βρέ-
-χεσθαι. τινὲς δὲ παρὰ τὸν βρόχον τὴν
ἀγχόνην ἐτυμολόγουν. σκληρὸν δὲ τοῦτο.

Βρόχος. ὅτι περιτιθέμενος τῷ αὐχένι.
βρύγχος δὲ ὁ φάρυγξ. πᾶν γὰρ φθέγμα
ἐκ βρόχου καὶ φάρυγγος φέρεται. ἐκ τούτου
γίνεται καὶ βρόχος τὸ σχοινίον τῆς πνιγμο-
-νης. ἤτοι τὸ δίκτυον τὸ πνίγον.

Βρυγμὸν τὸ βρέγμα τὸ τῆς κεφαλῆς ἄκρον.
τὸ ἁπαλόν. παρὰ τὸ βρέχεσθαι.

Βρόμιος. παρὰ τὸν βρόμον. ὅς ἐστι ἦχος τοῦ

πυρός, ὅ ἀπό τῆς Σεμέλης τῆς κεραυνω-
θείσης· ἡ ἡρπάγη ἀπό τοῦ πυρός.

Βρόμιον ὑψούμενον· ἤτοι ἐξογκούμενον.
γίνεται δὲ ἐκ τοῦ βρομᾶσθαι.

Βροντή· παρά τόν βρόμον· ὅ σημαίνει τον
τοῦ πυρός ἦχος· ἔμπειρος γρ. ἡ βροντή εἰ-
κότως ὠνόμασται.

Βροντή· παρά τό βρέμω· βρόμος· κατά
μίμησιν τοῦ γινομένου ἤχου· κυρίως ἐπί
τοῦ πυρός.

Βρίξ· εἰς τό βρίζοντα.

Βρόγχος· παρά τό βρέχω· δίυγρος γάρ ὁ
τόπος.

Βρόμιος ὁ Διόνυσος· ὁ γενεσιουργός τῶν
καρπῶν· παρά τό βορά βόριμος, καί βρό-
μος· ὅ ἐστιν ἠχή τοῦ πυρός.

Βρόμος ἰδίωμα ἤχου

Βρόμος· εἰς τό βροντή καί ἔδραμον.

Βροντή· ὡς οὖσα βαρυνομένη τήν φωνήν.
ἡ παρά τό βρόμος ὅ σημαίνει τόν τοῦ πυρός
ἦχον· γίνεται βρομή καί βρογμή· καί τρο-
πῇ τοῦ μ εἰς τ. βροντή· παρά τό ῥᾶον
ἠχεῖσθαι.

Βροντή· διά τό βιαίως τελεῖσθαι ἤτοι ὑπερ-
μεγίστως ἐκρήγνυσθαι τόν ταύτης ψόφον-
ὑπό πλείστων νεφῶν διαχέσεως τε καί συγ-
κράσεως.

Βρότειος. ἐκ τοῦ βροτέης γέγονε.

Βροτησία. ἐκ τοῦ βροτός, βροτίσιος. καὶ τροπῇ τοῦ ο εἰς η. διὰ τῆς ει διφθόγγου γράφεται. οἷον βρότειος. δρακόντιος κάρα. ἑκτόρειος χιτών.

Βροτολογός. ὁ ἄρης. καὶ εἰς τὸ ἐπιδέξια.

Βροτός. ὅτι βρώσκει καὶ αὐτὸς βιβρώσκεται θαν̃

Βροτός. ἐκ τοῦ μείρω. μέμορα γίνεται μορ:τός. καὶ ἐν ὑπερβιβασμῷ βροτός. καὶ τροπῇ τοῦ μ εἰς β βροτός. καὶ δια τί ἐ:τράπη τὸ μ εἰς τὸ β. ἐπειδὴ οὐδέποτε τὸ μ πρὸ τοῦ ρ εὑρίσκεται. ἢ κατὰ σύλ:ληψιν. ἢ κατὰ διάστασιν. ποιοῦ ἥδους ἐστὶ τῶν κατὰ σημασί. συνωνύμου. διόρι:σον. συνώνυμον δὲ ἐστί. τὸ ἐν διαφό:ροις ὀνόμασι, τὸ αὐτὸ δηλοῦν. οἷον ἄνοι. βροτὸς μέρωψ. ἐξ οὗ μερώπων. ὅμηρος. βροτοέντα. ἡμαγμένα.

Βροτός. ἐκ τοῦ μείρω τὸ μερίζω γίνεται βροτός καὶ ἐπειδὴ οὐδέποτε ἀμετάβο:λον ἀμεταβόλου προηγεῖται, τρέπεται τὸ μ εἰς τὸ β. καὶ γίνεται βροτός, καὶ τῇ μετουσία. βρότειος. τὰ διὰ τοῦ ειος μετουσιαστικὰ ἢ κτιτικὰ ὑπάρχον:τα, ἢ μέρος σώματος δηλοῦντα.

Βροτοσσῶ. σημαίνει τῶν βροτοσώστων.

γέγονε δὲ παρὰ τὸ βροτός. καὶ τὸ σῶος ὃ σημαίνει τὸν ὑγιῆ. βροτοσσῶος. βρο-
:τοσσῶου καὶ βροτοσσῶου.

Βροχή. διὰ τὸ βαρέως χέεσθαι.

Βρόγχος. ὁ λαιμός. ὃν φάρυγγα καλοῦσι. καὶ ἐπὶ τῶν ἰχθύων τὰ βράγχη ἔχοντα. εἴρηται δὲ παρὰ τὸ βρέχω. βρόχος τις ὦν. ὃ ἐν τῷ σιτεῖσθαι καὶ πίνειν βρε-
:χόμενα. καὶ ἡ μὲν συνήθεια. βρόχον λέ-
:γει. οἱ δὲ ἀρχαῖοι. βράχον. ἐξ οὗ καὶ βραχιὰν. τὸ πάθος εἴρηται. καὶ τὸ τόσσον ἔβραχον ἄρατος πολέμοιο. καὶ εἰς τὸ ἐβρα-
χίασεν. ἐκ τούτου λέγεται καὶ βρόχος. τὸ κοινίον τῆς πνιγμονῆς. ἤτοι τὸ δίκ-
:τυον τὸ πνίγον.

Βρύει εἰς τὸ ὀμβροβλυτοῖ.

Βρύγας. εἰς τὸ ἀφρόδιτος.

Βρύει. εἰς τὸ βλύω.

Βρύξει. το θρέμα βρέχω. δευτέρας συζυ-
:γίας τῶν βαρυτόνων. ἐστι δὲ καὶ βρυχῶ δευτέρας συζυγίας τῶν περισπωμένων.

Βυσσοδομεύειν. τὸ κατὰ βάθους τῆς δια-
:νοίας φροντίζειν καὶ βουλεύεσθαι. πα-
:ρὰ τὸ δονεύειν αὐτὰ. καὶ κατασκευάζειν ἐν βάθος.

Βρῶ εἰς τὸ βλάπτω.

Βρύει. ἀνθεῖ. φύει. ὡς τὸ ἔμβρυον.

Βρέχω. τρίζω.

Βρύχεται. μαραίνεται.

Βρῶμος. ἡ δυσωδία. ἡ κόπρος.

Βρῶσις. παρὰ τὸ βῶ. τὸ ἐαθίων. ὁ μέλλων βρῶσω.

Βρύχω. ἐπὶ ἀνοῦ βαρύνεται. βρυχῶ δὲ ἐπὶ θηρίου καὶ ἄλλων ζώων περισπᾶται.

Βροσείω. τὸ τρώγω. παρὰ τὸ βρώθω. βρώ=σω.

Βυζάντιον ὄνομα πόλεως διὰ τὸ τὸν Θράκης βασιλέα βύζαντα.

Βυθός. παρὰ τὸ βάθος. ἢ παρὰ τὸ βύζω. βυτός καὶ βυθός. ἐξ οὗ καὶ βύθιον. καὶ ὑποβρύ=χιον.

Βυθός. βιαία. θέα. ἢν θεωρία.

Βυθός. παρὰ τὸ δύειν. τὸν δύνοντα λίθον ἐν αὐτῷ. ἢ καὶ σίδηρον. καὶ μόλυβδον, καὶ μὴ ὁρᾶσθαι.

Βυθός. παρὰ τὸ δύω. τὸ ὑπεισέρχομαι. δυθός. καὶ βυθός.

Βύκτας εἰς τὸ ἀφρόδιτος.

Βύνη. εἰς τὸ γυνή.

Βυνή ἡ θάλασσα. καὶ ὄνομα θεᾶς.

Βυνή ἡ ἰνώ. ἢ ὅτι εἰς βυθὸν ἥλατο. ἢ ὅτι μετὰ τῶν ἱματίων εἰς βυθὸν ἀλκύσθη. ἢ ὅτι ὕδατος ἐπληρώθη. βλῶσαι γὰρ τὸ πλη=ρῶσαι. ἢ παρὰ τὸ δῦναι εἰς τὸ ὕδωρ. ἐστὶ δὲ βοιωτική ἡ λέξις.

Βυοῦσης· ἡ εὐθεῖα· βιοῦσα· παρὰ τὸ βύω τὸ
καμμύω· καὶ περισπᾶται· ὁ μέλλων μυῶ
καὶ τροπὴ τοῦ μ̄ εἰς β̄· βυῶ· καὶ μετάγε-
-ται εἰς ἐνεστῶτα· καὶ γίνεται βυῶ βυεῖς,
καὶ ἡ μετοχὴ βυῶν· τὸ θηλυκὸν βυοῦσα
βιοῦσης·

Βύσσης· ἔστι δὲ εἶδος βοτάνης· ἐξ ἧς καὶ
τὰ ἀπ' αὐτῆς βαπτόμενα ἱμάτια, βύσσι-
-σινα λέγονται·

Βυσσὸς δὲ ὁ βύσσος·

Βύρσα τὸ δέρμα τοῦ βοός· τὸ λεγόμενον βυρ-
-σάριον καὶ κάσσυμα·

Βύω· εἰς τὸ ἄβυσσος· καὶ ἀκροβυστία· καὶ
βεβυσμένος· καὶ πόλισβυς:·

Βῶλος· παρὰ τὸ βῶ τὸ τρέφω· οἱ γὰρ βῶλοι,
τοὺς καρποὺς ἀνάγουσιν· ἢ ὅτι βαλλόμενος
λύεται· καὶ εἰς τὸ βῶλλος·

Βωβός· κατὰ ἀντίφρασιν, ὁ μὴ δυνάμενος
βοᾶν· ἐκ τοῦ βῶ τὸ σημαῖνον τὸ φωνῶ·

Βωμαξ· ὁ βωμολόχος· τάσσεται δὲ ἐπὶ
τῶν μαλακιζομένων· λέγεται δὲ βῶμαξ
καὶ ὁ μικρὸς βωμὸς ὑποκοριστικῶς·

Βωμολοχίαις· οὐ σώνηθες ἐμοί γε μὲν βωμο-
-λοχίαις κἠγλίαχρ'' ἐλπίσιν ἐγκαλλωπίζεσθαι·
κολακίαις γελοτοποιαῖς· βωμολόχοι δὲ κυ-
-ρίως λέγονται οἱ ἐπὶ τῶν θυσιῶν ἐπὶ

τοῖς βωμοῖς καθεζόμενοι. καὶ μετὰ κολα:
:κείας καὶ δόλου προσαιτοῦντες. ἔτι δὲ
οἱ παραλαμβανόμενοι τὰς θυσίας. αὐληταὶ
καὶ μάντεις. ἐκ μεταφορὰς δὲ τούτων ἐλέ:
:γοντο βωμολόχοι; καὶ τινες εὔκολοι καὶ
ταπεινοὶ ἄνοι. καὶ πᾶν ὁτιοῦν ὑπομέ:
:νοντες. ἐπὶ κέρδει διὰ τὸ παίζειν τε καὶ
σκόπτειν. ὥστε τρία σημαίνει.

Βωμολόχος. ἱερόσυλος. παρὰ τὸ λοχεῖν εἰς
τοὺς βωμοὺς. ὅ ἐστιν ἐνεδρεύειν.

Βωμός. ἐκ τοῦ βῶ ῥήματο. τὸ σημαῖ:
:νον τὸ περιπατῶ. ὅ μέλλων βήσω. βημός.
καὶ βωμός. ὁ σκώπτης. ἱερόσυλος ὁ εὐτελὴς.
καὶ πένης.

Βωμολόχοι: οἱ εὐτελεῖς καὶ πένητες. του:
:τέστιν οἱ περὶ τὸν βωμὸν λοχῶντες καὶ προ:
:καθεζόμενοι αὐτῶ. ἵνα εὖ τις αὐτοῖς πο:
:ιήσῃ. διδοὺς τί πρὸς τὴν ἀναγκαίαν τρο:
:φήν. βωμολόχοι δὲ καὶ οἱ ὄρνιθες. οἱ
τὸν βωμὸν περιϊπτάμενοι, καὶ τι τῶν
κρεῶν τῶν ἀπὸ τῶν ἐντόμων ἁρπάζοντες.
οἷον οἱ κόρδαι οἱ ἰκιτενεῖς. καὶ τὰ τοιαῦ:
:τα τῶν ὀρνέων. ἡ λέξις οὖν ἐπὶ τῶν
εὐτελῶν εἴρηται. καὶ εὐποιΐαν λαμβα:
:νόντων. καὶ ἄλλως. βωμολόχος ἐστὶν ὁ
εὐτελής! ἤτοι ὁ πανοῦργος, καὶ κακοῦργος.

εἴρηται δὲ παρὰ τὸ λοχᾶν καὶ ἐνεδρεύ-
-ειν περὶ τὸν βωμόν· καὶ βωμολοχεύ-
-εσθαι δὲ τὸ ῥῆμα·

Βωμός· παρὰ τὸ βαίνειν τὸ αἷμα ἐν αὐτῷ

Βῶ· εἰς τὸ αἴνυτο· καὶ βάπτω· καὶ βορά· καὶ
βουβῶνα· καὶ βοῦς· καὶ ἐκβαβάν· καὶ ἐρυ-
-βίβη καὶ ἥβη· καὶ ἵλεως καὶ στίλβω· ὅμηρος·

Βωτιανείρη· ἄνδρα τρεφούσῃ· διὰ τοῦ ῑ
βωμολοχία·

Βωμὸς δηλοῖ τὴν βάσιν· τὸ θυσιαστήριον·
ἅρματα δὲ βωμοῖσι· παρὰ τὸ βῶ· ὅ-
-που τὰ ἐπιτιθέμενα βέβηκε· καὶ ἐπὶ
τοῦ τόπου θύουσι τοῖς θεοῖς· ἐπιτίθεται
γὰρ αὐτῷ τὰ ἱερεῖα· ἐν τῷ θαίνειν αὐτά·
ἢ αὐτὸς ὁ βεβηκὼς καὶ ἱδρυμένος τοῖς
θεοῖς εἰς θυσίαν·

Βῶλος· παρὰ τὸ βῶ τὸ τρέφω· οἱ γὰρ
βῶλοι τῶν καρπῶν τὰς ἀναδόσεις πο-
-ιοῦνται, ὅθεν ὅμηρος· ἐρίβωλον· ἢ
ἐριβώλομα τὸν καρπὸν λέγει· καὶ
παρωνύμως βῶλος· βῶλαξ· καὶ ἱεροβῶλαξ·
ὡς λίθος λίθαξ·

Βωνήτης· γῆ βωτιανείρη παρὰ τὸ βῶ
τὸ τρέφω γίνεται βωτιανείρη·

Ἀρχὴ τοῦ Γ̃

Τὸ Γ̄ μετὰ τοῦ Ᾱ.

Γαγγαλίζω. παρὰ τὸ γελῶ γελίζω. τρο:
:πὴ τοῦ ε̄ εἰς ᾱ. γαλίζω. καὶ κατ' ἀνα:
:διπλασιασμόν. γαγγαλίζω. ἑτέρου Γ̄ πλεο:
:νάσαντος. τὸ εἰς τὸ γελᾶν ἄγω.

Γάδειρα. ἀπὸ τοῦ γῆ καὶ τοῦ δειρά. τοῦ
σημαίνοντος τὴν ἐξοχήν. γέγονε γάδειρα.
οἱονεὶ γῆς δειρά. τὰ γὰρ γάδειρα ἀρχὴ
τῆς γῆς. ἢ παρὰ τὸ δειρὸς εἶναι τῆς
γῆς διὰ τὸ ὕψος.

Γάδειρα. οἷον γῆς δειρά, τουτέστι σπόν:
:δυλος. ὅμηρος. γαίνη τῆς γῆς. ἔστι γαίω
ῥῆμα τὸ σημαῖνον τὸ τίκτω. ἐξ οὗ γίνε:
:ται γέω διὰ τοῦ ε̄ ψιλοῦ. οἱονεὶ ἡ γενι:
:κή. ἐξ οὗ καὶ γεωμέτρης. ἐκ τοῦ τοῦ
γίνεται γέω γῆ. καὶ ἐκ τοῦ του ἄλλη πα:
:ραγωγὴ διὰ τῆς αῖ διφθογγου.

Γαῖα. ἡ γῆ. τὸ ᾱ βραχυ. τὸ μαῖα. γαῖα.
συνέσαλται τὰ ε̄ εἰς ᾱ λήγονται ἐν τῇ
καταρχῇ συνθέσει φυλάττει τὸ ᾱ. ἡ
τρέπει. ὁπωροπόλης. γεωμέτρης.

Γαγγαλίζεσθαι. ἐκ τοῦ γελῶ γελίζω. καὶ
τροπῇ τοῦ ε̄ εἰς ᾱ. καὶ κατα ἀναδιπλα:
:σιασμόν γαγγαλίζω τὸ εἰς γελᾶν ἄγω.

Γάγγραινα. πάθος διαβρωτικῶν σαρκῶν.
παρὰ τὸ γράω ὃ σημαίνει τὸ ἐσθίω.

Καλλίμαχος· αἰβωῶν ἄγρας κηδεμόνος. ἀντὶ τοῦ ἤθιε· παρὰ οἰῶ τὸ γράω· γραί=να, καὶ ἐν διπλασιασμῷ γάγγραινα.

Γαΐδορον· διὰ τὸ τὴν γαῖαν δέρειν τοῖς ποσί.

Γαιήοχος· παρὰ τὸ περιέχειν τὴν γῆν. διὰ τῶν τοῦ ὠκεανοῦ· παρὰ γὰρ τὴν γῆν παράγωγον ὁ τὴν γῆν κατέχων Ποσειδῶν.

Γαιηοῦχω· τῷ τὴν γῆν ὀχοῦντι· ὅ ἐστι βαστάσαντι· ἐπὶ θαλάσσης γὰρ βέβηκεν ἡ γῆ· ἢ παρὰ τὸ γαίειν καὶ τὸν ὄχον. ὁ γαυριῶν τῷ ὄχῳ ἢ τῷ ὀχήματι.

Γαείδαρος· παρὰ τὸ τὴν γαῖαν δέρειν. εἴτε παρὰ τὸ ἀεὶ δαιρόμενος· λέγεται γαείδαρος καὶ ἀείδαρος.

Γαιηοῦχος· ὁ περιέχων τὴν γῆν· παρὰ γὰρ τὸ γείω τὸ ταράσσω.

Γαίω· παρὰ τὸ ἀγαυρός καὶ γαῦρος καὶ Ἰοῦρος.

Γάλα· παρὰ τὸ καλὸν εἰς ἀνατροφὴν εἶ=ναι· οἷον κάλα.

Γάλα παρὰ τὸ γυῖα καὶ τὸ ἄλλομαι· τὸ ἐκ τῶν γείων ἀλλόμενον

Γάκινος ὁ σεισμός· κατὰ Ἀθηναίους, ὁ τὴν γῆν κινῶν.

Γαλαθηνός· νέος· παρὰ τὸν θήσω μέλλον:τα καὶ τὸν τροφόν, καὶ γαληνός.

Γαλαθηνός· ἐκ τοῦ γάλα, καὶ τοῦ θῶ τὸ θηλάζω· ἐξ οὗ καὶ τιθήνη· ὡς τὸ ——— ἐπιετανὸν γάλα θεῖαθαι.

Γαλήνη· εἰρήνη· ἠρεμία· παρὰ τὸ γελῶ· γελάνη· ἢ τὸ γελᾶν φέρουσα· ἢ τὸ ἐκ τῆς γῆς λίαν ἱέαθαι· ἢ ἀστασίαστος· καὶ κατάστασις· ἢ παρὰ τὸ γελῶ γελάσω· γε:λάνη τὶς οὖσα· καὶ κατὰ τροπὴν τοῦ ἀ εἰς η̄· γαλήνη· γελῶντι γὰρ ἔοικε· τό:τε ἢ θάλασσα.

Γαλήνη· παρὰ γὰρ τὸ γάλα καθισταμένη θάλασσα καὶ πρᾳεῖα.

Γαληνόμορφον· παρὰ τὸ γαλήνη καὶ τὸ μορφή· τὸ γαλήνη γέγονεν οὕτως· ἐστὶ ἅλς ἁλός· ἢ θάλασσα· καὶ ἢ ταραχή· καὶ μετὰ τοῦ νῆ στερητικοῦ καὶ πλεο:νασμῶ τοῦ γ̄ ἀλήνη καὶ γαλήνη· ἢ ἐστε:ρημένη τῆς ταραχῆς· τὰ δὲ στερητικὰ καὶ ἐπιτατικὰ πάντοτε ἐν τῇ ἀρχῇ θέλουσι τίθεσθαι· πλὴν τοῦ γαλήνη· χελῶ:νη· σελήνη· χελώνη δὲ παρὰ τὸ τρέχω καὶ τοῦ νῆ στερητικοῦ· ἢ ἐστερημένη τοῦ τρέχειν· σελήνη παρὰ τὸ σέλας ὃ σημαί:νει τὸ φῶς· καὶ τοῦ νὴ στερητικοῦ, ἢ ἐστε:ρημένη τοῦ σέλας· γαλήνη δὲ παρὰ τὸ

γελῶ. γελάσω. γελάνη. καὶ γαλήνη. τὸ δὲ μορφή, παρὰ τὸ μείρω τὸ μερίζω. ἡ γὰρ μορφὴ πάντα μερίζει. καὶ εἰς τὸ μορ:φή.

Γαλόω. ἡ ἐνθεῖα γάλως. τὸ λῶς μέγα. καὶ κλητικὴ τῆς γάλω. ὁ κᾶλ. τὰ δὲ βαρύτονα, κατὰ ἀποβλὴν τοῦ σ̄ ἡ δοτικὴ γάλω. καὶ πλεονασμῶ τοῦ ο̄ γαλόω. διατί καταβιβάζει τὸν τόνον. ἐπειδὴ οὐδέπο:τε τοῦ ω̄ ἐπὶ τέλους κειμένου τρίτη ἀπὸ τέλους τίθεται ἡ ὀξεῖα. χωρὶς τῶν Ἀττικῶν.

Γαλῶη. ἡ τοῦ ἀνδρὸς ἀδελφή.

Γάλως. ὁ ἀλὸ τῖς γενόμενος. καὶ μεταβάλ:λων τὴν φύσιν, τὴν φύσιν ἐξ ἀνδρῶν ἀνδρὸς ἀδελφή:

Γαμήλιον. καὶ ἐπιθαλάμιον διαφέρει. ἐπι:θαλάμιον μὲν γὰρ ἐστὶ τὸ ἐπὶ θαλάμου τῆς γαμουμένης γραφὲν ποίημα. γαμήλιον δὲ ὁ περιωρισται χρόνω:

Γαμήλια. παρὰ τὸ γαμῶ, γαμήσω, γαμήλια. ὧς δεσμῶ, δεσμήσω. δεσμηλία. καὶ θεμέ:λια. καὶ παρὰ τὸ κατοικῶ κατοικήσω, κατοίκησιν. καὶ κατοικεσιάν.

Γαμησείω. παρὰ τὸν γαμήσω μέλλοντα.

Γάμος. οἷον δάμος τίς ὁ δαμαστικός, καὶ

ἀποθητικά τῶν θηλείων. ὅθεν καὶ τὰς παρθένους ἀδαμάστους λέγουσι:

Γάμος. παρὰ τὸ δομῶ δάμος. καὶ γάμος. ἐτυμολογεῖται δέ, παρὰ τὸ δύο ἅμα εἶναι. κατὰ μετάθεσιν τοῦ δ εἰς γ. ἢ διὰ τὸ εγγαμίζεσθαι. ἤτοι ἁρμόζεσθαι. ἢ διὰ τὸ ἄγεσθαι γαμετήν, ἢ διὰ τὸ γῆν ἅμα γενεσθαι. ἢ διὰ τὸ γόμος. ἢ διὰ τὸ γεννᾶν.

Γναμπῆσιν. ἐπικεκρυμμένοις.

Γαμφύλη. ἢ γνάφος. ἢ φαγών. παρὰ τὸ κάμπτω. ὡς παρὰ τὸ θάπτω. ταφή.

Γαμψός. παρὰ τὸ κάμπτω. καμψός. ἐξ οὗ καὶ γαμψώνυχες οἱ καμψώνυχες.

Γάνος. παρὰ τὸ γανῶσαι τὸ λαμπρῶσαι. καὶ εἰς τὸ ὄργανον.

Γανωθείς. εἰς τὸ γεγανωμένον.

Γὰρ σύνδεσμος. ἰσοδύναμος τοῦ ὅτι. διαφέρει δὲ τοῦ ὅτι. ὅτι τὸ μὲν ὅτι, προτακτικόν. ὡς τὸ ὅτι. ἢ παιδεύτησας. ἐτύφθης. ὁ δὲ γὰρ ὑποτάσσεται. ὡς τὸ ἐτυπήθης. ἢ παιδεύτησας γάρ. ἵνα πλεονάσῃ τὸ ἀήτιον.

Γαστήρ παρὰ τὸ γῶ τὸ χωρῶ, ἢ παρὰ τὸ γῶ τὸ λαμβάνω. καὶ δέχομαι. γῶ γάζω. γαστήρ

Γαστήρ. ἡ πάντα τὸν βίον λαμβάνουσα

καὶ μὴ πληρουμένη· οὕτω φιλόξενος.

Γαμβρός· γαμηός· καὶ συγκοπῇ καὶ προ:θέσει τοῦ β̄ γαμβρός.

Γαμβρός ὁ ἀνὴρ τῆς θυγατρός.

Γαμβρὸς δὲ λέγεται, ὁ γήμας ἐπὶ τῶν οἰκεῖ^χ τῆς γαμηθείσης.

Γαμφηλοῖσι· σιαγόσιν· ἀπὸ τοῦ τὸ σχῆμα κεκάμφθαι δοκεῖν.

Γάμμα· ὅτι ἐστὶ δρεπανοειδές· καὶ ἅμα τὴν γῆν· ἣν βρίζει· ὥσπερ τὸ δρέπανον· οὕπερ καὶ ὁ τύπος τοῦ γράμματος εἴ:κελος, ἤτοι ὅμοιος.

Γαγγαμῶν δικτύου ἐστὶν εἶδος· ἀπὸ τοῦ λαμβάνειν τὰ ἀγρευόμενα· κεῖται δὲ τὸ ὄνομα ἐν τοῖς τοῦ Ὀππιάνου ἁλιευ:τικοῖς· —

Τί ἐστι γαστριμαργία· καὶ πόθεν ὠνόμασται· καὶ κατὰ ἀναγωγὴν πῶς θεωρεῖται· οὐδεὶς οὔτε γραμματικῶν οὔτε ῥητόρων ἐμνημόνευσε ταύτης· Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζώων λόγῳ μέμνηται ζώου μάρ:γου λεγομένου· καὶ ὅτι γεννάται ἀπὸ σήψεως μεταξὺ τῆς γῆς καὶ τοῦ ὕδατος· καὶ ἀφ' οὗ γεννηθῇ οὐ παύεται γηϊφα:γοῦν· ἕως τοῦ ἐκτρυπῆσαι τὴν γῆν, εἰς ἐπιφάνειαν ἐξέλθῃ· ὅταν δὲ ἐξέλθῃ θνήσ:κει· καὶ κεῖται νεκρὸν τρεῖς ἡμέρας· καὶ

μετὰ τρεῖς ἡμέρας, ἔρχεται νεφοῦ βρο-
χῆς. καὶ βρέχει ἐπάνω αὐτοῦ, καὶ ἀναζῆ
μηκέτι γηϊφαγοῦν. καὶ ἐκ τούτου οἱ μετὰ
τοὺς ἀρχαίους φιλοσόφους ὁρμηθέντες τοὺς
πολυφάγους γαστριμάργους ἀποκαλέσαι.
δύναται δέ τις εὐσεβῶς τοῖς οὖσι κατὰ
θεωρίαν ἐπιβαλλεῖν τὰ εἰρημένα. πᾶν
γὰρ πάθος ἀπὸ δήψεως γεννᾶσθαι πέφυκε.
καὶ ἐπειδὰν γεννηθῇ, οὐ παύεται ἐαθίων
τὴν ὑποστήσασαν καρδίαν. ἕως ἂν διὰ τῆς
γνωστικῆς ἕξεως, εἰς φανέρωσιν ἔλθοι.
καὶ ἐλθὸν θνήσκει ταῖς τρισὶ δυνάμεσι
τῆς ψυχῆς. καὶ οὕτως ἡ χάρις τοῦ ᾠίου
πνὸ ὡς διὰ νέφους τῆς διδασκαλίας ἐπι-
φανεῖσα σταλαγμοὺς δίδωσι τῆς γνώσεως.
καὶ ζωοποιεῖ. οὐ κατὰ τὴν προτέραν ἐμ-
παθῆ ζωὴν, ἀλλὰ κατὰ τὴν ἐνέργειαν.
καὶ θῶοικεῖαν.

Γαστριμαργία. ἡ περὶ τὴν γαστέρα μανία.
μαργένειν γὰρ λέγεται παρὰ τοῖς ἕξω. τὸ
μινεσθαι. καὶ μάργος καλεῖται, ὁ μανιώδης.
παρὰ τὸ μαργαίνειν ὅ ἐστι μαίνεσθαι τὴν
γαστέρα. διαφέρει δὲ γαστριμαργία λαι-
μαργίας. γαστριμαργία μὲν γὰρ ἐστιν ἡ τῆς
γαστρὸς χόρτασις. λαιμαργία δὲ ἡ τοῦ
λαιμοῦ ἡδονή. ἤτοι τὰ γλυκάσματα.

Γαυριᾶ. εἰς τὸ κομᾶ.

Γαῦρος. παρὰ τὸ γαίω τὸ γαυριῶ. ἐξ οὗ

γαῖρος· καὶ τροπῇ τοῦ ῑ εἰς ῡ γαῦρος· προ-
περισπᾶται· τὰ εἰς ρος δισύλλαβα τῇ
αῦ διφθόγγῳ παραληγόμενα, ἢ προσηγο-
ρικά· ἢ ἐπίθετα, προπερισπᾶται· οἷον·
σαῦρος· μαῦρος, ταῦρος, γαῦρος·

Γαργάνιον· γάργανον λέγεται τὸ ἄκρον·
ὅθεν καὶ γαργάνιον τὸ ὑψηλότατον τοῦ
ἀνοῦ· τὸ πρὸ τοῦ στόματος σωῶ κοιλου-
μένω· ὑπερῶ·

Γάστρα· ἡ ἐκ τὸ κῆτος γεννηθεῖσα· καὶ
εἰς τὸ λαμβάνειν τῖ·

Γαυλός· ὁ ἐξ ἀλλοτρίων ζῶν· λέγεται δὲ
τὸ σκάφος· διὰ τὸ κοῖλον καὶ πλεῖστα
δέχεσθαι· ὡς φησὶν Ἡρωδιανὸς ἐν τῇ ῑ
τῶν ἱστοριῶν·

Γαστρός· ἡ ἐνθεῖθε γαστήρ· ἡ δοτικὴ γαστέ-
ρι γαστρῒ· ἐξ οὗ καὶ γαστρίμαργος·

Γαῦρος ὁ μεγαλόφρων, παρὰ τὸ ἄγαν
καὶ τὴν αὖαν· ὁ ἄγαν πεφυσιωμένος·

Γαῦρος· ἀγγεῖον· σημαίνει δὲ καὶ πλοίου
εἶδος·

Γαυλός τὸ γαλακτοδόχον ἀγγεῖον· παρὰ
τὸ γάλα, γάλος· καὶ πλεονασμῷ τοῦ υ
γαῦλος·· ἢ παρὰ τὸ γῶ τὸ λαμβάνω·
τὸ δεκτικόν τινός· γαυλός τὸ σκάφος·
γύαλός τις ὤν· τουτ' ἐστι κοῖλος· καὶ
ἄλλως·

Γαυλός. παρὰ τὸ γῶ το γάζω. γαλὸς ἀγγεῖ:
ον δεκτικόν. καὶ οὐ πάντως δὴ δία τὸ
γάλα. ἀντὶ τοῦ λαμβάνειν. σημαίνει
δὲ καὶ πλοίου εἶδος.

Γε σώδεσμος. εἰς τὸ ὅγε.

Γέα. εἰς τὸ ἀνώγειον. καὶ βαθύγειον, καὶ
γέγειον.

Γεγαῦια. γεγῶσα. γεγωνυῖα. μετοχή.
τὸ ῥῆμα γῶ. ἐξ οὗ καὶ τὸ γείνω ὁ μὴχ
ὁ μέλλων γήσω. ὁ παρακ/ γέγηκα. καὶ
οἱ ἰώνες ἐπὶ τοῦ παρακειμένου ἡνίκα
ὑφεσὶν ποιήσωσι τοῦ συμφώνου. τότε
καὶ συστολὴ φωνήεντος ἀκολουθεῖ. βεβή:
:κασι βεβάασι. οὕτω καὶ γέγηκα, γέγαα.
καὶ ἡ μετοχὴ γεγαῶς. γεγαῶτος. καὶ
τὸ θηλυκὸν γεγαῦια. καὶ τὸ γεγῶσα παρ'
αὐτῶ. κανῶν γάρ ἐστιν ὁ λέγων. αἱ εἰς
ῶν μετοχαὶ εἰ μὲν ὦσιν ἀπαθεῖς, διὰ τοῦ
ῶ κλίνονται. καὶ τὸ θηλυκὸν ἔχουσι διὰ
τοῦ ῦια. ἡ δὲ παθητικὴν κλῆσιν μὲν
ἔχουσι διὰ τοῦ ῶ. τὸ θηλυκόν. εἰς ᾱ
μεταποιοῦσιν. ἑστὸς ἑστῶσα. γεγῶς γεγῶ:
:σα.

Γεγανωμένος. λελαμπρισμένος. ἢ χαίρων.
ἢ διακεχυμένος. καὶ γανωθεὶς οἷον καλ:
:λωπισθεὶς. καὶ γανῶσαι ἐπὶ τοῦ λαμ:

πρῶσαι. καὶ γανεῖν λευκάναι. καὶ γένε-
-ρον. λαμπρόν. λευκόν. καὶ γάνος. ὕδωρ.
χάρμα. φῶς, λίπος. αὐγῆ, λευκότης.
λαμπηδόν. ὑπὸ Κυπρίων. παράδεισος.

Γεγάσα. εἰς γεγῶσα.

Γέγεος. ὁ ἀρχαῖος. ἀπὸ τοῦ γέα. γέγο-
-νε. διὰ τοῦ ε̄ γέϊος. καὶ κατὰ συναίρε-
-σιν τοῦ ε̄. καὶ ῑ. εἰς τὴν ῡ δίφθογ-
-γον. γεῖος. καὶ κατὰ διπλασιασμόν,
γέγειος. ἢ ἀπὸ τοῦ γέα γέγονετέειος.
καὶ κατ' ἐπένθεσιν τοῦ γ̄ γέγονεν.

Γεγηθότες. ἔστι γήθω τὸ χαίρω. ὁ μέλ-
-λων γήσω ὁ μ̄ παρα κ' γέγηθα. καὶ
τὰ λοιπὰ δῆλα. τὸ γῆ. ῆ. τὰ διὰ
τοῦ ῆ ῥήματα. δισύλλαβα χωρὶς εἰ
μὴ ἐν κινήσεσιν εὑρίσκεται γεννῶντα
τὸ ō. διὰ τοῦ η̄ γράφεται. οἷον πλή-
-θω τὸ πληρῶ. γήθω τὸ χαίρω. πήθω
τὸ πάσχω. χωρὶς εἰ μὴ ἐν κινήσεσιν
εὑρίσκεται. διὰ τὸ πείθω τὸ καταπεί-
-θω. καὶ πλὴν τοῦ βρίθω. ὅπερ διὰ
τοῦ ῑ γράφεται.

Γέγηκα. εἰς τὸ γεγῶσα.

Γεγωνέμεν. ἀπὸ τοῦ φωνῶ τροπῇ

τοῦ φ εἰς γ γωνῶ. γωνήσω, γεγώνηκα.
ἀπὸ τοῦ γωνῶ γωνεῖν καὶ γεγωνεῖν.
κατὰ διπλασιασμόν, καὶ ποιητικῶς
γεγονέμεν.

Γεγωνῶ τὸ φωνῶ τὸ λέγω.

Γεωλόφος. γειόλοφος. γήλοφος δέ.

Γεγανότερον. ἐξακουστότερον. λαμπρό-
:τερον. γέγονε δὲ παρὰ τὸ φωνῶ· τρο-
:πῇ τοῦ φ εἰς γ. γωνῶ. τοῦτου ὁ
μεῖς παρακ γέγωνα. καὶ ἡ μετοχὴ
γεγωνῶς. καὶ ἐξ αὐτοῦ γεγωνότερος.
τὸ συγκριτικόν. καὶ γεγωνότερον ἐ-
:πίρρημα.

Γεγῶσα. γεγονυῖα. ἀπὸ τοῦ γεγῶ τὸ
γίνομαι. οὗ ὁ μέλλων γενήσω. ὁ μεῖς
παρακ γέγηνα καὶ κατ' ἀποβολὴν τοῦ γ
γέγηα. ἡ μετοχὴ κατὰ τροπὴν τοῦ ε
ᾱ γεγαῶς. καὶ ἔστι σεσημειωμένον τὸ
γεγαῶς. βεβαῶς. ἑσταῶς. ἅπερ κατὰ
κρᾶσιν γίνεται βεβῶς βεβῶτος. μεμῶς.
μεμῶτος. ἑστῶς. ἑστῶτος. γεγαῶς. γεγῶτος.
καὶ τὰ θηλυκὰ γεγῶσα. μεμῶσα. ἑστῶ-
:σα, βεβῶσα. καὶ τὰ οὐδέτερα διὰ τοῦ
ω μεγάλου, τὸ γεγῶς. τὸ βεβῶς. τὸ
ἑστῶς. τὸ μεμῶς.

Γεγωνῶ. ἀλλ' οὔπωσοι ἐμβῶσαν τί —

γεγώνειν· παρὰ τὸ γνώω ἐν ὑπερθέσει γωνῶ· καὶ ἐν διπλασιασμῷ γεγωνῶ· οἱ γὰρ ἐξακουόμενοι γνωστοί· Δίδυμος δέ φησι γεγώνην εἶναι· τὸ εἰς πᾶσαν γωνί:αν ἀφικνεῖσθαι τὴν φωνήν.

Γεγωνωτέραν· ἐκ τοῦ φωνῶ γίνεται ὠνῶ· ἐκβολῇ τοῦ φ̄ καὶ πλεονασμῷ τοῦ τ, γω:νῶ· καὶ κατὰ ἀναδιπλασιασμὸν γεγωνῶ.

Γείνεται· εἰς τὸ γίγνεται· ὅμηρος.

Γείνατο· ἐγέννησε μ̄ς̄ ϙ̄ς̄· ἀπὸ τοῦ γίνω κατὰ πλεονασμὸν τοῦ ῑ· ὁ γὰρ μέλλων γενῶ· τὸ γεῖ διφθόγγον· διατί· διότι ἔχει ἐν τῷ μέλλοντι τὸ ε̄· ὁ παθητικὸς γεί:νομαι· τὸ τρίτον γείνεται· καὶ εἰς τὸ γείνομαι καὶ γωή.

Γείτων· τὸ γεῖ δίφθογγον· τὰ παρὰ τὸ γεῖα συγκείμενα, διὰ τῆς εῑ διφθόγγου γράφεται· ἐξ οὗ καὶ γητνιῶ· ἀπὸ γὰρ τοῦ γέα· τοῦ γραφομένου διὰ τοῦ ε̄ ψιλοῦ γί:νεται γέϊτον· καὶ κατὰ συναίρεσιν γήτων.

Γείτων διὰ τῆς εῑ διφθόγγου· λέγει δὲ ὁ Δίδυμος· ὅτι ὥσπερ ἀπὸ τοῦ τεύχω γίνε:ται τέκτων· οὕτω καὶ ἀπὸ τοῦ γείνω τοῦ συμαίνοντος τὸ πλησιάζω· ὅπερ γράφε:ται διὰ τῆς εῑ διφθόγγου, γίνεται γείτων

ἡ λέξις μέν. ὅτι ἀπὸ τοῦ γέα τοῦ ἀπὸ
τοῦ ε̄ ψιλοῦ γεγραμμ̄ᵘ, γίνεται γείτων,
καὶ κράσει γείτων.

Γείτων. παρὰ τὸ γέα. ὅπερ γράφεται
διὰ τοῦ ε̄ ψιλοῦ. εἴτων. παρα τὸ γέα.

Γείτων. παρὰ τὸ γέα. ὅπερ γράφεται
διὰ τοῦ ε̄ ψιλοῦ ὁ γείτων καὶ ἡ γείτων.

Γεγῶσα ἐκ τοῦ γῶ τὸ χωρῶ, ὁ μέλλων
γήσω. ὁ παρακείμενος γέγηκα. καὶ τὸ
ἰωνικὸν γέγαα. ἐπεὶ γὰρ τοῦ παρακει
μένου οἱ Ἴωνες. ἡνίκα ἀφαίρεσιν ποιήσον
ται συμφώνου, τότε καὶ συστολὴ παρα
κολουθοῦσι. λοιπὸν ἡ μετοχὴ γεγαως
γεγαῶτος. τὸ θηλυκόν. τὸ μὲν ὑπερτρι
σύλλαβον, γεγαῖα. τὸ δὲ τρισύλλαβον
γεγῶσα. ἐπὶ μὲν γὰρ τῶν ὑπερτρισυλ
λάβ̄ γεγαῦα ἡ μετοχὴ. ὥσπερ τὸ
μεμαῦια. τὸ δὲ τρισύλλαβον γεγῶσα, ὡς
μεμῶσα.

Γεγῶσα. ἐκ τοῦ γῶ τὸ χωρῶ. ὁ μέλλων
γήσω. ὁ παρακ̄ γέγηκα. καὶ τὸ ἰωῆξ γέγα.
καὶ ἡ μετοχὴ γεγαως. γεγαῶτος. καὶ τὸ
θηλυκὸν γεγαῦια. καὶ τὸ γεγῶσα παρ' αὐ
τό.

Γειόμορος. ὁ γεωργός. εἴρηται δὲ ἀπὸ τοῦ
τὴν γῆν μορεῖν. ὁ ἐστὶ πονεῖν. καὶ γή
μορος ὁ γίνεται μερίζων.

Γεῖβα. παρὰ τὸ γέα. ὁ δηλοῖ τὸ οἴκη-
μα. γεῖβα παράγεται γεῖβα. κυρίως γὰρ
λέγεται τὰ κατὰ γῆς. τουτέστι τὰ καθ' ἑαυ-
τὸν ἐξέχοντα οἰκοδομήματα.

Γενεός. γηΐνος.

Γειτνιῶ. ἀπὸ τοῦ γείτων γέγονε γειτονῶ
καὶ γειτονιῶ. καὶ κατὰ δυγκοπὴν γειτνιῶ.

Γελεῖος. πρόδηλον τὸ δηλοῦν. λέγεται πα-
ρὰ τὸ γέλως γελωΐος. ὡς πατρωΐος καὶ
μητρωος. μητρωΐος. καὶ Βοιωτικῶς γελοῖ
ος. οἱ γὰρ Βοιωτοὶ τὸ ω καὶ τὸ ι εἰς
τὴν ει διφθογγον τρέπουσι. τὸ πατρω-
ΐος πατροῖος λέγοντες. καὶ τὸ ἡρωΐος
ἡροῖος.

Γελοΐΐος. ἐκ τοῦ γελοῖος. τὰ διὰ τοῦ οῖος
ὀνόματα ὅπερ δύο βυλλαβῶν ἅπαντα
προπερισπᾶται. οἷον παντοῖος, ἀλλοῖος.

Ἀλλοῖός μοι ξυμφάνης νέον ἢ τὸ πάροιθ'
ἑταιροῖος. γράφεται δὲ διὰ τοῦ ι. ἐπιδη-
τὰ ἀπὸ τῶν εἰς ως, διὰ τοῦ ιος κατὰ
τοῦ αὐτοῦ δηλουμένου παρηγμένα, εἰ
μὲν ὀξύνεται, διὰ τῆς ει διφθόγγου γρά-
φονται, οἷον δαμός. δαμεῖος. ἀδελφός
ἀδελφειός. εἰ δὲ βαρύνεται διὰ τοῦ ι
γράφεται. κάπρος. καπρειος. τάφος τάφιος

καὶ μὴ ἐπιτάφιος. ὀρθός. ὄρθιος. λοῖαθος λοῖαθιος. αἰτωλὸς αἰτώλιος. αἰτηὸς αἰτήϊ=ος. ὅμοιος. ὁμοιΐος. γέλως γελοῖος. γελό=ϊος γέλοιος. διαφέρει. προπαροξυτόνως μὲν λέγεται, ὁ γελωποῖος. προπερισπω=μένως δὲ ὁ γέλωτος ἄξιος. καὶ εἰς τὸ κῶμμα.

Γενέα παρὰ τὸ γένος. τοῦτο παρὰ τὸ γείνω τὸ γεννῶ. σημαίνει τέσσαρα. τὴν ἡλι=κίαν. ὡς τό.

—— γενεῖς νεώτατος ἔσκεν ἁπάντων. καὶ τὴν εὐγένειαν. ὡς τό - τέκνον ἐμόν. καὶ τὴν φυλήν. γενεὰ λέγεται καὶ τὰ εἰκο=σιεννέα ἔτη.

Γέλως. παρὰ τὸ γένειον ἑλῶν καὶ συστρέ=φων. περὶ γὰρ τὸ γένειον μυῶς τινὲς κινούμενοι. ποιοῦσι τὸν γέλωτα.

Γελῶ. περισπᾶται. τὰ εἰς ῶ λήγοντα καθαρόν. ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν εἰς ε̄ καταλήγουσαν. μὴ ἀπὸ συμφώνα μέσου. βαρῶνται. οἷον κέλω. πέλω. πρόσ=κειται. μὴ ἀπὸ συμφώνου ἀρχόμενα, διὰ τὸ ἐλῶ ἐλάσω. μέσου δέ, διὰ τὸ γελῶ γελάσω.

Γονειάζω. ὡς τὸ δανείζω.

Γενειάς. ἐκ τοῦ γένειον. ἡ βαθεῖα ὑπήνη

ἐκ τοῦ γένους γένειον. διακρίνει γὰρ τὰ γένη. λέγεται γὰρ ἀπὸ ἱστορίας. ἔθνος εἰκοσιπέντε χιλιάδες ἐπελθὸν παρεκάθη-το τοῖς Ῥωμαίοις. ἐκεῖνοι δὲ ὀλίγοι δὲ ὄντες, ἔφερον τοὺς σθαβηνίας· ἔτι δὲ οἱ σθάβοι ὀλίγοι ὄντες ἔφερον τὰς γυναῖκας αὐτῶν. καὶ περιθέντες αὐταῖς σχῆμα ἀν-δρεῖον καὶ γενειάδας, ἐξήρχοντο. ἰδόντες δὲ τὸ πλῆθος οἱ ἐθνικοί, ἠρώτων τοὺς Ῥωμαίους. τίνες εἰσὶν οὗτοι. καὶ ἔλεγον λογγίβαρδοι. τουτέστιν ὑπήνην βαθεῖαν καὶ μακρὰν ἔχοντες.

Γένειον. ὁ ποιητὴς ἐν τῷ περὶ τῆς ὀδυσσεί-ας. τὸ γένειον ἐπὶ τοῦτο ποῦ φησί. τὰς γενιάδας ἐπὶ τῶν τριχῶν.

Γένειον. παρὰ τὸ τὰ γένη ἐξ αὐτοῦ διακρί-νεσθαι καὶ ἀρρένων καὶ θηλείων. καὶ ἡλικί-ας τελείων καὶ ἀτελῶν.

Γένυς. παρὰ τὸ γεννᾶν ὀδόντας καὶ τρίχας. γένοι ἐκ τοῦ γείνω ὃ δημαίνει τὸ γεννῶ.

Γενερόν. εἰς τὸ γεγανωμένος.

Γένετο ἐκ τοῦ γένω. γενῶ ὁ δεύτερος ἀό-ριστος ἔγενον. ὁ μέσος ἐγενόμην.

Γενήσεται. γενῶ τὸ πράττω. καὶ ὁ μέλλων γενήσω. καὶ ὁ μέσος μέλλων γενήσομαι.

γενήσω. γενήσεται. καὶ εἰς τὸ ἔσται.

Τὸ γεννῆσαι τοῦ τεκεῖν διαφέρει. τεκεῖν μὲν ἐπὶ μητρὸς τάσσεται. γεννῆσαι δὲ ἐπὶ πατρός. ὅθεν κυρίως εἶπεν ὁ ποιητὴς

Ξ ἄνθου δινήσω. τόσον ἀθάνατος τέκετο Ζεὺς.

ὅμηρος.

Γείνατο. μῆρ ἐστι μέσος ἀόριστος πρῶτος. γέγονε δὲ ἐκ τοῦ γέω τοῦ σημαίνοντος τὸ τίκτω. ἐξ οὗ γέγονε. γέα. διὰ τοῦ ε ψιλοῦ. τοῦτο τὸ γέω γίνεται κατὰ πλεονασμὸν τοῦ ν γένω. ὁ μέλλων γενῶ. ὡς μένω μενῶ, καὶ νέμω. νεμῶ ἔνειμα. οὕτως ἔγεινα. καὶ ὁ μέσος ἀόριστος παθητικὸς ἐγενάμην. καὶ τὸ τρίτον ἐγήνατο. καὶ ἀφαιρέσει τοῦ ε γήνατο.

Γενική. παρὰ τὸ γένος γενῶ, γενήσω, γενική. ἡ τὰ γένη δηλοῦσα.

Γένυς. τὸ μέρος τοῦ προσώπου. ὅτι γόνεσις τρίχων καὶ ὁδόντων.

Γένυς. διότι γεννᾶ ὁδόντας καὶ τρίχας.

Γένειον. τὸ μέσον καὶ ἐξόχον τοῦ τῆς κάτω γένυος. ἀπὸ τοῦ δι' αὐτοῦ τὰ γένη διαστέλλεσθαι. τῶν ἀρσένων καὶ θηλείων. καὶ ἀτελῶν καὶ τελείων.

Γεραίρω παρὰ τὸ γέρας γεραίρω ὁ μέλλων γεραρῶ. ἀλλαχοῦ ἐστι.

Γέρα. εὐθεῖα τῶν πληθυντικῶν. ἢ εὐθεῖα τῶν ἑνικῶν τὸ γέρας. παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ. ἔρας καὶ γέρας. πᾶς γάρ τις γέρατος ἐπιθυμεῖ. σημαίνει δὲ τὴν τιμήν. ἢ εὐθεῖα τῶν πληθυντικῶν τὰ γέρα ἰωνικῶς καὶ κατὰ συγκοπὴν τὰ γέρα ὅμηρος.

Γέρων. ἤτοι παρὰ τὸ γέρας ἵν' ἦ παρώνυμον τὸ ὄνομα, ἢ παρὰ τὸ ἔντιμον ἤδη εἰς τιμῶν ἐρῶν. ἢ ὅ εἰς γῆν ὁρῶ. ὅ ἐγὼ τοῦ θανάτου.

Γέρανος παρό τι ἐκ τῆς ἀεί τι ἐρανιζόμενος συλλέγει. καὶ γέρανος ὁ ὄμβρος ὑπὸ κυρηναίων, παρὰ τὸ τὴν γῆν ῥαίν. οὕτως ἐρέννιος.

Γέρρα. εἴς τε τὰ σκηνώματα ἐν οἷς τὰ ὤνια ἐπιπράσκετο. εἴτε τὰ δερματινὰ αἰδοῖα, εἴτε τὰ ὑποδήματα. φίλων ἐν τῷ περὶ χρησομαθείας φησὶ τὴν δευτέραν δασῶειν.

Γέρανος. γηρανός τις ὤν. ὁ τὰ τῆς ψυχῆς ἐρευνῶν σπέρματα. ὅστις καὶ σπερμολόγος καλεῖται. ὅτι γὰρ ὁ γεωργὸς σπείρει. καὶ οὐ χωννύει αὐτὰ ἐκεῖνος συλλέγων ἐσθίει. καὶ ἐκ τούτου ἐκλήθη σπερμολόγος. ἔχει δὲ βραχὺ τὸ ᾱ. ἐστι δὲ εἰδικὸν τὸ γέρανος.

Γέρανος. ὅτι τὴν γῆν ἐρᾶ. ἢ κατὰ τὴν γῆν ὁρᾶ.

Γερανός. παρὰ τὸ γέρας. τοῦτο παρὰ τὸ ἐρῶ ἔρας. καὶ γερ. πᾶς γὰρ γέρατος ἐπιθυμεῖ καὶ τιμῆς.

Γέρας. γίνεται. ἐκ τοῦ εἴρω τὸ λέγω. καὶ εἰς τὸ γέρα καὶ γεραιὸς.

Γέρας ἢ τιμή. παρὰ τὸ γῆρας τὸ τίμιον. τροπὴ τοῦ ῆ εἰς ε.

Γερδία. ἢ ὑφάντρια. παρὰ τὸ ἐπὶ τῆς γῆς ἔρδειν. ἔρδος. ἔργον. ποίησιν. καὶ ἔργον τεχνικόν.

Γερουσία. εἰς τὸ οὐσία.

Γέρραον. περδικόν. ἃ μὲν ἐστιν ὅπλαον. κυρίως τὸ ὅπλαον. κυρίως τὸ γέρραον. κα:ταχρηστικῶς δὲ καὶ ἅπαν σκέπασμα. εἴτε δερμάτινον. εἴτε ἐξ ἄλλης τινὸς ὕλης. λέγεται δὲ οὕτω καὶ τὰ γυναικεῖα αἰδοῖα παρὰ Σικελοῖς. οἷον δερατινὰ ὄντα. παρὰ τὸ δέρας. ὃ σημαίνει τὸ δέρμα.

Γέρον οὐδετέρως τὸ παλαιόν, ἢ ὅπλον.

Γέρων, καὶ πρεσβύτης. καὶ προβεβηκῶς διαφέρει. Ἀλεξίων ἐν τῇ ἐπιτομῇ τοῦ Διδιδύμου συμμίκτου φησὶν οὕτως ἐκ τῶν Ἀριστάρχου περὶ ἀνοῦ γενέσεως ἄ:χρι γήρως. βρέφος μὲν γὰρ ἐστι τὸ γεννηθὲν

ἐυθεως. παιδίον δέ. τὸ τρεφόμενον ὑπὸ
τηθῆς. παιδάριον δὲ τὸ ἡδὴ περιπατοῦν.
καὶ λέξεως ἀντιχόμενον. παιδίσκος δὲ ὁ
ἐν τῇ ἐχομένῃ ἡλικίᾳ. παῖς δὲ, ὁ διὰ τῶν
ἐγκυκλίων μαθημάτων δυνάμενος ἰέναι.
β τὴν δὲ ἐχομένην ταύτης ἡλικίαν οἱ μὲν
πάλικα, οἱ δὲ, βουπαιδα, οἱ δὲ ἀντίπαι-
δα. οἱ δὲ, μελέμφηβον καλοῦσι. ὁ δὲ
μετὰ ταῦτα ἔφηβος. ἐν δὲ κυρήνῃ τοὺς
ἐφήβους τριακαδίους καλοῦσιν. ἐν δὲ
Κρήτῃ, ἀποδρόμους. διὰ τὸ μηδέπω τῶν
κοινῶν δρόμων. Ἀχαιοὶ δὲ κούρους. κάδες
δὲ ἀγούρους. ὡσαύτως καὶ Ἀττικοί. ὁ δὲ
μετὰ ταῦτα. μειράκιον ἢ μείραξ, εἶτα
νεανίσκος. εἶτα νεανίας. εἶτα ἀνήρ. μέ-
σος. εἶτα προβεβηκὼς. ὃν καὶ ἡμιοτέροντα
καλοῦσιν. εἶτα γέρων. εἶτα πρεσβύτης.
εἶτα ἐσχατόγηρως.

Γέρων. τινὲς φασίν, ὁ εἰς γῆν ὁρῶν.
ἢ ὁ μετὰ φθορᾶς πορευόμενος, ἢ ὁ καλῶς
δημηγορῶν.

Γέρων. παρὰ τὸ ἔρω τὸ φθείρω. ὁ μετὰ
φθορᾶς εἰς ἅδην πορευόμενος. ἢ παρὰ
τὸ εἴρω τὸ λέγω. λεκτικοὶ γὰρ οἱ γέρον-
τες. καὶ ὅμηρος. — ἀλλ' ἀγορηταὶ ἐσθλοί.

ἢ παρὰ τὸ γέρας ὃ σημαίνει τὴν τιμήν.
ἢ παρὰ τὸ ἐκγῆν ὁρᾶν τοῦ γέροντος. ὃ
κᾶ τὰ εἰς ρω ὀνόματα δισύλλαβα
βαρύτονα μὴ ὄντα συγκριτικὰ φυλάσσει
τὸ ω καὶ ἐπὶ γενικῆς. τὸ οὖν γέρον, ὡς
μετοχικόν, διὰ τοῦ ο κλίνεται. οἷον μύρων,
μύρωνος. χάρων. χάρωνος. τὸ δὲ γέρων,
οὐκ ἐφύλαξε τὸ ω. διότι ὡς μετοχὴ ἐ-
κλήθη. συνεξηκολούθησε γὰρ τὸ φέρων
φέροντος. ἐπειδὴ δὲ γέρων οὐκ ἐστι μετο-
χή. ἀλλ' ὄνομα. οὐ γὰρ μετοχὴ ἦν, φυλάτ-
τειν εἶχε, καὶ ἐπὶ κλητικῆς τὸ ω. αἱ
γὰρ περιτοσυλλαβῶς κλινόμεναι μετοχαί,
τὰς αὐτὰς ἔχουσιν ὀρθάς. καὶ κλητικάς.
τὸ δὲ γέρων ἢ κλητικὴ διὰ τοῦ ο μικροῦ.

Γεῦσις κυρίως ἢ ἐπὶ τῶν ὑγρῶν προφο-
ρά. δεῦσις τις οὖσα. παρὰ τὸν δεύσω
μέλλοντα. ὡς γνώσω γνῶσις, νεμέσω, νέμε-
σις, δεύσω. δεῦσις. καὶ γεῦσις. εἴωθε δὲ
τὸ δ εἰς γ. τρέπεσθαι. ὡς γάμος. δάμος
γὰρ ἐστιν. ἐν ᾧ ὑποτάσσεται ἢ γυνὴ τῷ
ἀνδρί. ἔνθεν καὶ δάμαρ καλεῖται.

Γέφυρα. ἢ κατὰ ποταμῶν οἰκοδομία.
δι' ἧς οἱ ὁδοιπόροι πορεύονται. εἴρηται

ἢ ἐφ' ὑγροῦ γῆ γέφυρα. ἐλλείπει δὲ τὸ
Γ. ὡς ἐν τῇ σιγωπῇ σιωπῇ. ἢ τῆς ὀπὸς
σιγή.

Γέφυρα. παρὰ τὸ γῆ, καὶ τὸ φύρω τὸ
ἀναμιγνύω. ἢ ἐφ' ὑγρῷ τόπῳ κειμένη
ἢ ἢ τῇ γῇ φυρανθεῖσα. ἢ παρὰ τὸ γεω-
-φυρα. ἢ ἐφ' ὑγρῷ κειμένη γῆ.

Γεφυρισμός. εἰς τὸ σκῶμα.

Γεωγραφία. γεωμετρίας διαφέρει.
γεωγραφία μὲν γάρ ἐστιν. ἢ πάσης
τῆς γῆς διαγραφή. γεωμετρία δὲ,
ἡ μέρας τινὸς αὐτῆς καταγραφή. καὶ
εἰς τὸ γαῖα.

Γεωπεῖναι. παρὰ τὸ τῆς γῆς πένεσθαι.
ὀλίγην γὰρ γῆν εἶχον ὡς φησὶν Ἡρόδο-
-τος.

Γεωπεῖναι. παρ' Ἡροδότου οἱ ὀλίγην
γῆν ἔχοντες. οἱονεὶ πένοντες τῆς γῆς.

Γεωδαισία. παρὰ τὸν δασμὸν ἤτοι τὸν
μερισμὸν τῆς γῆς.

Γήτειον ἀπὸ τοῦ γῆ γίνεται γῆτος.
καὶ ἐξ αὐτοῦ γητεῖον. διὰ τῆς εἶ
διφθόγγου. σημαίνει δὲ τὸ χλωρὸν κρόμ-
-μυον ἢ ἀμπελόπρασον.

Γηθόσωος. ὁ περιχαρής. δηλοῦσιν οἱ Δωριεῖς τὴν τοῦτου γραφήν. γαθόσωος λέγοντες.

Γήλοφος. ἐκ τοῦ γῆ καὶ τοῦ λόφος

Τὸ γῆμα τοῦ γήμασθαι διαφέρει. γήμει μὲν ὁ ἀνήρ. γήμεται δὲ ἡ γυνή. καὶ ὅμηρος διαστέλει.

Γημαμένην ὑῶ ὁδόν πρ. ἐξεναρίξας.

καὶ Ἀνακρέων δὲ διασύρων ἐπὶ θηλύτητι τινὰ λέγει

καὶ θάλλη μόνος κεῖνος. οὐκ ἔγημεν.
ἀλλ' ἐγήμετο.

καὶ Αἰσχύλος δὲ ἐν ἀμυμόνῃ.

ὀνέομεν γαμεῖσθαι. μόρσιμοι γαμεῖν δ' ἔμοι.

Γεωργός. παρὰ τὸ τὴν γῆν ὁρᾶν. ἢ παρὰ τὸ τὴν γῆν ἐργάζεσθαι. τὸ ὦ μέγα. διατί. τὰ παρὰ τὸ ἔργον συγκείμενα, διὰ τοῦ ὦ μεγάλου γράφονται. οἷον γεώργιος. γεωργός. καὶ εἴ τι ὅμοιον.

Γηγενής. ὁ ἐκ τῆς γῆς ἔχων τὴν γένεσιν.

Γηγενής παρὰ τὸ γῆ. καὶ τὸ γεννῶ ὁ ἐκ τῆς γῆς γεννηθείς.

Γῆ παρὰ τὸ γῶ τὸ χωρῶ ὅθεν καὶ γωρητός ὁ χωρῶν τὸ ῥητὸν ἢ τὸ τόξον.

Γῆ διὰ τὸ γένος τῶν ἀνῶν ἐκεῖθεν.
καὶ εἰς τὸ ἄρουρα.

Γήθω. εἰς τὸ γεγηθότα.

Γῆ παρὰ τὸ παγεωθῆναι. ἢν μὴ φέρεσθαι.
ἀλλ' ἀκίνητον ἔχειν τὴν στάσιν.

Γηΐαιος. διὰ τὸ γένος τῶν ἀνῶν. ὅτι
ἐξ αὐτοῦ ἐστι.

Γήμας ὁ συνοίκος. το γῆ. η. ἐντεῦθεν
καὶ γάμος.

Γήπαιδες οἱ λεγόμενοι λογγίβαρδοι οἱ
ονείγε τί παιδες. οἱ ἔτων παῖδες.

Γηραιός καὶ γεραιός. παρὰ τὸ γέρας ὁ
σημαίνει τὴν τιμήν.

Γῆρας. οἱ δὲ παρὰ τὸ εἰς γῆν ἔρρειν. τὸ
ἠγὰ εἶναι θανάτου. ἢ ὁ εἰς γῆν ὁρῶν
καὶ βλέπων.

Γῆρας. ἐκ τοῦ γήρημι γηράς. ὡς ἵστημι
ἱστάς.

Γήρας παρὰ τὸ εἰς γῆν ῥεῖν, ἐγγὺς γὰρ
θανάτου. ἢ παρὰ τὸ γέρας ἡψοῦν τιμὴ
ἢ γῆν ὁρᾶ.

Γῆρυς. εἰς τὸ κῆρυξ καὶ διακήρυκτος.

Γηροκομεῖον διὰ τὸ τοὺς γέροντας μέ:
:νειν.

Γηροκομῶ τὸ ῥῶ μέγα. ἐκ τοῦ γῆρας γήρως. καὶ τὸ κοσμῶ τὸ ἐπιμελοῦμαι. τὰ παρὰ Ἀττικὴν γενικὴν σωθέτα, διὰ τοῦ ῶ μεγάλου.

Γήσω εἰς τὸ γεγῶσα.

Γίνεται καὶ γείνεται διαφέρει. γίνεται μὲν γὰρ ἐστιν ἀντὶ τοῦ κατασκευάζεται. γείνεται διὰ τῆς εἶ διφθόγγου τὸ γεννᾶ:ται.

Γινώσκω. ὥσπερ ἀπὸ τοῦ ὀγδοήκοντα ὀγδώκοντα. κατὰ κρᾶσιν τοῦ ο̄ καὶ η̄ εἰς ω̄. οὕτω καὶ ἀπὸ τοῦ νοήσω κατὰ κρᾶσιν τοῦ ο̄ καὶ η̄. εἰς ω̄. νώσω, καὶ πλεονασμῶ τοῦ γ̄ γνώσω. καὶ ὥσπερ ἀπὸ τοῦ τρώσω μέλλοντος ἀποτελεῖται ἐνεστῶς τρώσκω; οὕτω καὶ ἀπὸ τοῦ γνώσω γνώσ:κω, καὶ κατὰ ἀναδιπλασιασμὸν Ἰωνι:κόν, γινώσκω καὶ εἰς τὸ μισητή.

Γίνομαι. τὸ μὲν σημαίνει τὸ ἀποτελοῦ:μαι. ἀπὸ τοῦ γένομαι γέγονε. τὸ γὰρ ο̄ ἐν ταῖς τοιαύταις παραγωγαῖς ἐπιφε:ρόμενον δύο σύμφωνα εἰς ῑ πέφυκε τρέπεσθαι. οἷον μένω. μίμνω. τέκω τίκ:τω. οὕτω καὶ ἀπὸ τοῦ γένομαι γίνο:μαι διὰ τοῦ ῑ. τὸ γὰρ σημαίνον τὸ

γενῶμαι. ἀπὸ γένος γέγονε. γένω καὶ γέ:
:νωμαι. καὶ προσθήκη τοῦ ῑ διὰ τῆς εῑ
διφθογγου.

Γίνω. τὸ γῑ μακρόν. διότι γίγνω. καὶ τὰ
θέματα μακρὰ ἡνίκα ἀποβάλλωσι συμ:
:φωνα, εἰς φυσει μακρὰ μεταβαίνουσι.

Γήτειον. χλωρὸν κρόμμυον ἢ ἀμπελόπρα:
:σον.

Γινώσκω. ἔστι ῥῆμα νοῶ νοήσω, ἐν συνα:
λοιφῇ νώσω. ὡς ὀγδοήκοντα ὀγδόκον:
:τα. τοῦτο ἐπιθέσει τοῦ κ̄. νώσκω. ὡς
τρώσκω. θνήσκω. καὶ πλεονασμῷ τοῦ
γ̄ γνώσκω. ὡς ἔνοφος. γνόφος. καὶ νοήμη.
νώμη. καὶ γνώμη. κατὰ διπλασιασμόν, γι:
:νώσκω. εἶτα κατὰ ἀφαίρεσιν τοῦ γ̄ γινώσ:
:κω.

Γινώσκω τὸ ω̄ μέγα. διατί. ἐκ τοῦ νῶ.
νώσω. νώσκω. καὶ κατὰ διπλασιασμόν γι:
:νώκω.

Γλαγόνες. οἱ τὸ γάλα πήσσοντες. παρὰ
τὸ γάλα. γάλακτος. γλάγος.

Γλαυκός. λευκός. κυανός. γάλακτι ἐοικός.
τὴν σάρκα, καὶ τὰ ὄμματα σὲ λευκὰ θηλυ:
:κόν.

Γλαυκῶπις. ἀπὸ τοῦ γλαυκοπίου ὄρους

τῆς Ἀττικῆς. ὁ Λυκαβυττός καλεῖται. ἢ ἀπὸ τοῦ γλαυκοὺς ἔχειν τοὺς ὤπας. ἢ ἀπὸ τοῦ δεινὸν γλαύσσειν τοὺς ὀφθαλμοὺς. ὅ ἐστιν ἀπαιθύσσειν. ἢ ἀπὸ τοῦ γλαυκὰ ὠπίζεσθαι. τουτέστιν ἐκτρέπεσθαι. γλαυκώπιδος ὁ κατ. τὰ εἰς ις θηλυκὰ, εἴτε ἁπλὰ, εἴ:τε σύνθετα, διὰ τοῦ π ἐκφερόμενα, διὰ τοῦ δοῖ κλίνονται. οὐκ ἔστι δὲ ὁ κατ. ὡς τὸ δραπέτης. ἔστι γὰρ καὶ ἀρσενικὸν ὁ δραπέτης. οὕτω καὶ ὁ γλαυκώπις. καὶ πόθεν. ἐκ τοῦ εἰπεῖν τὸν τεχνίτην, σοί τε κωώπα. ἐκ τούτου δῆλον ἀρσενι:κόν. ὁμοίως καὶ τὰ λοιπά.

Γλαυκώπις. παρὰ τὸ γλαύξω. ἐξ οὗ καὶ ἡ γλαύξ τὸ ὄρνεον. παρὰ τὸ λεύσω, λαύσω. καὶ γλαύσω. σημαίνει δὲ τὸ λάμ:πω. ἐκ τούτου οὖν γέγονε. καὶ τὸ γλή:νη.

Γλαξ. εἰς τὸ αἴξ.

Γλαφυρῆσι κοῖλαις. ὄνομα ἡ γλαφυρά. τὸ ἀρσενικὸν ὁ γλαφυρὸς γίνεται παρὰ τὸ γλάπτω τὸ διορύττω. ἐξ οὗ καὶ γλά:φη πετρῆον λυγρόν. ἔστιν οὖν γλάπτω γλάψω. ἔγλαψα. καὶ ἡ μετοχὴ ὁ γλαψ.

καὶ ὅμηρος.

Εὐνὰς ἐν ψαμάθοισι διαγλάψας ἁλίησιν. ἐπὶ δὲ τοῦ ἡδέος. παρὰ τὸ διορύττειν καὶ κινεῖν τὴν ἀκοὴν πρὸς ἡδονήν. κα:ταχρηστικῶς δὲ καὶ ἐπὶ ἄλλων.

Γλαυκόφθαλμος. ὁ τὸ γλαυκὸν ἐν τῷ ὀφθαλμῷ. παρὰ τὸ γλαύσσειν. ὅ ἐστι λάμ:πειν.

Γλαύκω. λάμπω. ἐξ οὗ καὶ γλήνη ἡ τῶν ὀφθαλμῶν κόρη. παρὰ τὸ δι' αὐτῶν γαλη:νεύεσθαι. τῇ ποικιλίᾳ. τῶν ὁρατῶν παρὰ τὴν αἴγλην. γλήνη δὲ ἐστι φάος. γλήνη δὲ λέγεται καὶ κόρη παρθένος.

Γλουτοί. ἔνυγροι τῆς κοτύλης. οἱ κύκλοι. τουτέστι ποτηρίου. κοτύλη κράσεως μέτρον.

Γλουτός. τὸ ὑπὸ τὸν πρωκτὸν μέρος ὄ:πισθεν τῶν μηρῶν. διὰ τὸ τρυφερὸν καὶ ἁπαλὸν καὶ γλοιώδες εἶναι τὸ μέρος. γλοιοῦτος καὶ γλουτός.

Γλαρίδες. οἱ κολαπτῆρες. παρὰ τὸ κολάπ:τειν.

Γινώσκω διὰ τοῦ τ. ὥσπερ γὰρ ἀπὸ τοῦ ὀγδοήκοντα γίνεται κατὰ κρᾶσιν ὀγδό:κοντα. οὕτω καὶ ἀπὸ τοῦ νοῶ, νοήσω, νώσω. καὶ πλεονασμῷ τοῦ τ γνώσκω

ὥσπερ γὰρ ἀπὸ τοῦ τρώσω μέλλοντος
γίνεται ἐνεστῶς πλεονασμῷ τοῦ κ τρώσ-
κω, καὶ ἀναδιπλασιασμῷ τιτρώσκω,
οὕτω καὶ ἀπὸ τοῦ γνώσω, γνώσκω.
καὶ ἀναδιπλασιασμῷ γιγνώσκω. καὶ ἀπο-
βολὴ τοῦ ἑνὸς γ̄. γινώσκω. καὶ λοιπὸν
ἡ θέσει μακρά, ἐπῆλθεν εἰς φύσιν, ὥσ-
περ καὶ ἐπὶ τοῦ γίγνεται γίνεται. ἀποβο-
λῇ γὰρ τοῦ ἑνὸς γ̄, ἐξέτεινετό ῑ. κατὰ
δὲ ἄλλον λόγον τὸ γινώσκω διὰ τοῦ ῑ
γράφεται. ἐπειδὴ ὡς ἐμάθομεν ἀπὸ
διπλασιασμοῦ ἔχει τὴν γῑ συλλαβήν.
οὐ θέλουσι δὲ οἱ διπλασιασμοὶ διὰ τῆς
εἰ διφθόγγου γράφεσθαι. οἷον, δίδω. θῶ.
τιθῶ. θῶ κιμῶ. οὕτως οὖν καὶ γνώσω
γιγνώσκω.

Γλίχεσθαι. τὸ ἐπιθυμητικῶς σπεύδειν
παρὰ τὸ λῑ ἔχεσθαι. καὶ ἐν πλεονασμῷ
τοῦ γ. γλίχεσθαι. τὸ δὲ λῑ. διὰ τοῦ ῑ γρά-
φεται. ἐπειδὴ εἴρηται συνεσταλμέ-
νον.

Γλαφυρόν. ἐπὶ μὲν τοῦ ἡδέος τὸ διο-
ρύττον καὶ κινοῦν τὴν ἀκοὴν εἰς ἡδονήν,
ἐπὶ δὲ τοῦ κοίλου καὶ βαθέος παρὰ τὸ
γλάφω τὸ διορύττω καὶ κοιλαίνω.

Γλαφυρόν. κοῖλον διὰ τὸ γεγλύφθαι.

Γλαφυρότατος. ἡδύς. καλοί. σοφοί. καὶ παρὰ Μενάνδρῳ. ὁ εὐτράπελος. γέγονε δὲ παρὰ τὸ γλάφω τὸ διορύττω καὶ κοιλαίνω. γλαφυρόν ἐπὶ τοῦ κοίλου.

Γλήνη. ἡ τοῦ ὀφθαλμοῦ κόρη. παρὰ τὸ δι' αὐτῆς, τὸν νοῦν γαληνιοῦσθαι τῇ ποι:κιλίᾳ τῶν ὁρατῶν. ἢ ἀπὸ τοῦ γλαύειν, ὅ ἐστι λάμπειν. εἰσὶ γὰρ αἱ κόραι ἔμ:πειροι. ὅθεν παρ' ὁμήρῳ. ὁ λέων γλαυ:κιόων. ἢ παρὰ τὸ αἴγλην ἀποβολὴ τῆς αἱ συλλαβῆς. καὶ προσθέσει τοῦ ἢ γλή:νη.

Γλιχόμενος. καρτερ? ἢ ἐπιθυμῶν. παρὰ τὸ λίς ἔχεσθαι τινός. συντάσσεται μετὰ γενικῆς καὶ δοτικῆς.

Γλυκείδιον. ἀπὸ τῆς γλυκέος γενικῆς. γέγονε γλυκείδιον. ὡς πράξεως πραξεί:διον, καὶ λέξεως, λεξίδιον.

Γλυκύς. γλυκίων. καὶ ἡ κλητικὴ ὦ γλυ:κυον. ὁ κᾶς. τὰ εἰς ὧν ὑπὲρ δύο συλλαβὰς ἀναβιβάζουσι τοῦ τόνους κατὰ τῆς κλητικῆς. οἷον ὦ ἄρειον. ὦ βέλτιον. ὦ γλύκιον. γίνεται παρὰ τὸ γλεῦκος

ὅ σημαίνει τὸν οἶνον. ὅ νεωστί ἀποστά-
:ζων ἐκ τοῦ ληνοῦ οἶνος.

Γλυπτὸν ἐκ τοῦ γλύφω.

Γλύφω. ἀπὸ τοῦ γλάφω. ὅθεν καὶ βραλῦ
ἔχει τὸ ῡ. ὡς φησίν ἐν τῷ περὶ διχρό-
:νων:

Γλυκύτερα. παρὰ τὸ γλυκύς. τοῦτο παρὰ
τὸ γλεῦκος. ὅ σημαίνει τὸν ἀποστάζοντα
οἶνον ἀπὸ τοῦ ληνοῦ. γλεῦκυς καὶ γλυκύς.

Γλῶσσα. παρὰ τὸ γνῶ. γνῶσω, γνῶσσα,
καὶ γλῶσα. ὡς διαγνωστικὴ οὖσα τῶν
χυμῶν. σημαίνει τριά.

Γλῶσσα. τρέψας τὸ λ̄ εἰς τὸ ν̄ καὶ τὰ
δύο σ̄ εἰς τὸ τ̄. φημὶ οὕτως. ἡ γνωστὰ
ἐν τῷ νῷ τοῖς ἀκουουσὶ ποιοῦσα λεγό-
:μενα.

Γλωσσαλγία. φλυαρία. ἀργολογία. παρὰ
τὸ γλῶσσα. καὶ τὸ ἄλγος, ὅ σημαίνει
τὴν λύπην. τὸ δὲ γνῶσσα παρὰ τὸ γνῶ
γνῶσσα. καὶ γλῶσσα. ἡ τὰ τοῦ νοὸς εἰς
φῶς φέρουσα. ἡ ἐκ τοῦ νοῶ. τὸ δὲ ἄλ-
:γος. παρὰ τὸ ἀλέγω τὸ φροντίζω καὶ
συγκοπῇ ἄλγος. τὸ φροντίδος ἄξιον.
βαρύνεται τὰ εἰς δὸς δισύλλαβα ἔχοντα
τὴν τρίτην πρὸ τέλους συλλαβὴν εἰς σύμφωνον

καταλήγουσαν προσηγορικά ὄνται βα:
:ρύνεται. οἷον. πύργος. σπόγγος. οὕτω
καὶ ἄλγος.

Γλωττήμασιν. ἡ ἐνθεῖα τὸ γλώττημα.
τοῦτο παρὰ τὸ γλώσσω. γλώσσα. ἐξ αὐτοῦ
γλώττημα. τὸ δὲ γλώσσω παρὰ τὸ γλώσσα.

Γλωσσόκομον. ὡς γλώσσα. τὸ μακρὸν σῶμα
κομίζον. διὸ καὶ λέγει γλωσσόκομον.

Γλωχίνα. δοτική. γλωχίνι. γωνίαν. παρὰ
τὸ γλάπτω τὸ κοιλαίνω. ἢ γλάφω. γίνε:
:ται γλωχίν. καὶ εἰς τὸ τριγλῶ.

Γλωχίν. ἡ γωνία. παρὰ τὸ γλύψαι καὶ
καὶ κοιλάναι.

Γναθμῶν. ὄνομα προσηγορικόν. γέγονε
δὲ παρὰ τὸ κάμπτω. τροπῇ τοῦ κ̄ εἰς
γ̄. ὡς κόρυ, γόνυ. παρὰ τὸ κονῶ γὰρ γέ:
:γονεν. ἐπενθέσει τοῦ ν̄. γνάπτω. ὁ πα:
:θητικὸς παρακείμενος. γέγναμμαι.
γναμμός. καὶ τροπῇ τοῦ μ̄ εἰς θ̄. γναθ:
:μός.

Γναθμοῖς. γνάθοις. ἀκοαῖς.

Γνάθοι. οἷον χαλινοί τινες ὄντες. χαίνον
:τι γὰρ ἡ ἔνθεσις γίνεται τῶν εἰσφερομέ:
:νων.

Γνάπτω. ῥῆμα. ἐκ τοῦ κάμπτω, μετὰ τῆς

ἀνα προθέσεως ἀνακάμπτω. ἡ γὰρ ἀνὰ
πρόθεσις σημαίνει τὴν ἐξυστέρου ἐπά-
νοδον. βαρύνεται τὰ εἰς πτῶ λήγοντα
ῥήματα, εἰ μὴ προκατάρχη ὄνομα. βα-
ρύνεται. κάμπτω. λάμπω. λαχόντες
γλώσσησιν ἀκραίησει. βάπτω. ὀπτω. τὸ
δὲ ὀπτῶ. περισπώμενον. ἐκ τοῦ βαρυτό-
νου γέγονε. ὡς διήλλαξε κατὰ τὸ ση-
μαινόμενον. διήλλαξε καὶ κατὰ τὸν τό-
νον. εἶπεν. εἰ μὴ προκατάρχη ὄνομα,
διὰ τὸ ἄελπτος. καὶ ἀπεπτῶ ἄπεπτος.

Γνάψαι. εἰς τὸ ἀνέγραψεν.

Γνήσιος. μετὰ ψυχῆς. ἐν δυσὶ σώμασιν,
ἐκ τοῦ γεννητῶς γεννητόσιος. καὶ κατὰ
συγκοπήν, γνήσιος. τὸ ἐν δυσὶ σώμασι
μίαν εἶναι τὴν ψυχήν. καὶ κατὰ συγκο-
πὴν γνήσιος.

Γνήσιος. παρὰ τὸν γνήσω μέλλοντα.

Γνόφος. παρὰ τὸ δονῶ καὶ τὸ νέφος. δό-
νοφος καὶ ἐν συγκοπῇ, δνόφος. καὶ
γνόφος.

Γνόφος. ἐστὶν ἔρω καὶ σημαίνει τὸ κινῶ.
ἐγράφη.

Γνόφος ἡ πυκνωτάτη συνεφία. καλεῖται
δὲ γνόφος. παρὰ τὸ νείφω νέφος. καὶ

νόφος· καὶ ἐν πλεονασμῷ γνόφος.

Γνόφος· καὶ νεφέλη· γνόφος μέν ἐστιν ὁ ἀχλυώδης· καὶ ὁμιχλώδης σκοτασμός· νεφέλη δὲ· τὸ ἐκ φωτοειδοῦς ἀέρος φεγγοβόλου λεπτότατον ὕφασμα·

Γνόφος· παρὰ τὸ κενὸν φάους εἶναι, ἢ παρὰ τὸ νείφω· νέφους· καὶ γνόφος·

Γνόφος· καὶ δνόφος· μᾶλλον τὸ διὰ τοῦ δ: ἀναλογώτερον· παρὰ τὸ δνόφους ὅτι δονεῖ τὰ νέφη· οὕτως εἰρηναῖος· ὦ ἀττικῶς·

Γλυπτόν· παρὰ τὸ γλύφω· τοῦτο παρὰ τὸ γλάπτω τὸ κοιλαίνω·

Γλῶσσα τὸ φωνητικὸν ὄργανον· παρὰ τὸ γνώσω· γνῶσσα· καὶ πλεονασμῷ τοῦ σ γνῶσσα· καὶ γλῶσσα· ἢ ὑπὸ γνῶσιν ἄγουσα τὰ ἐν τῇ διανοῖα· ἀπὸ μελλόντων πολλὰ γίνεται θηλυκά· ὡς δόξω δόξα· θήσω· θήσα καὶ ἐν πλεονασμῷ θήσσα· καὶ γὰρ διαγνωστική ἐστι τῶν ἐν τοῖς χυμοῖς ποιοτήτων· τὸ γὰρ γευστικὸν ἐν αὐτῷ· ἢ γλῶσσα, διὰ τὸ εὐχερῶς κλᾶσθαι· καὶ ὅμηρος·

— τρεπτὴ δὲ γλῶσσα· ἐστὶ βροτῶν·

κλωσσα οὐω καὶ γλωσσα. τροπῆ τοῦ κ̄ εἰς γ̄.

Γνόφος. ὁ κενὸς φάους ἀὴρ κατὰ μετά:θεσιν τοῦ κ̄ εἰς γ̄. κενόφαός τις ὢν. τινὲς δὲ οὕτω, νείφω. νόφος. καὶ πλεο:νασμῶ τοῦ γ̄ γνόφος. καὶ μεταθέσει τοῦ γ̄ εἰς δ̄ δνόφος.

Γνόφος παρὰ τὸ δονῶ δονήσω δόνηφος. καὶ κατὰ συγκοπὴν γνόφος τροπῆ τοῦ δ̄ εἰς γ̄.

Γοννορροίας. τὰ παρὰ τὸ νοῦς καὶ ῥοῦς καὶ πλοῦς, διὰ διφθόγγου. οἷον εὔχροια. εὔροια. εὔοια. ὄνομα ἀρσενικὸν ὁ γωνω:ρυής. γονορρωής. δὲ.

Γομόρ. τὸ μέταμέτρον ἐστί. το λεωθὲμ λεθὲκ δὲ. ὡς ἐν τῶ προφῆτ. ὡσηὲ εἴρηται. ἐμιαθῶσαμεν ἐν αὐτῶ λεθὲκ κριθῶν, ἐν ἄλλοις δὲ ἀντιγράφοις λέγει γομὸρ κρι:θῶν. τὸ οὐω αὐτὸ ιε̄ μόδια δῆλ. λεθὲκ δὲ κατὰ τὴν τῶν ἑβραίων φωνὴν εἴρη:ται. ὅ ἐστι ἔπαρμα. ἀπὸ τοῦ δῶσασθαι νεανίαν ἐπάραντα τὸν γόμον τῶν ιε̄ μοδίων τοῦ σίτου. ἢ κριθῆς. τῶ ὄνω ἐπιτιθέναι. ἔστι δὲ καὶ μικρὸν γομὸρ, μόδια ιβ̄. ξέστων δὲ ὀκτῶ.

Γ[illegible] γνύξ. σημαίνει τό ἐπί γόνυ παρά τό γόνυ. γόνυξ καί γνυξ ἐν συγκοπή.

Γνυξ. γόνυξ ἐστίν ἀντί του ἐπί γόνυ. ἔνθεν ἰγνία. ἡ τό γονϊ συνέχουσα.

Γνωματεύοντες. διακρίνοντες. διατινάσ:σοντες ἀκριβῶς. γέγονε δέ παρά τό γνῶμα καί τό ματεύω, ὅ σημαίνει τό ζητῶ. καί γνωματεύοντες ἐγίνωσκον. ὁπόσον ἐτύγχανον ἀφηρημένοι.

Γνῶμη. παρά τό νοῶ, νοήσω, νοήμη καί συναλοιφή. ἤτοι κράσει.

Γνῶμη. καί πλεονασμῶ του Γ γνῶμη καί εἰς τό διάνοια.

Γνῶσω. παρά τό γνῶσω γνῶμη. στήσω, στήμη. φήσω. φήμη. ἤ ἀπό του νοή:σω. νοήμη. νόμη. καί γνῶμη.

Γνώμονος. τό μέτρον ἤ στάθμη.

Γνώμων. ὁ ὁδός τῶν ζώων ἀλόγων καί προβατογνώμων εἴρηται, ἀπό του τόν χρό:νον ἀπ' αὐτοῦ διαγινώσκεσθαι.

Γνώριμοι. μαθηταί ἤ φίλοι.

Γόης κόλαξ. πλάνος περίεργος ἀπατέων φαρμακός. ὅμηρος.

Γνώθεαι. ὁ καὶ. οἱ Ἴωνες ἐπὶ τῶν τρίτων προσώπων τῶν παθητικῶν ἀπο-
βάλλοντες τὸ τ. αἱ ποιοῦσιν. οἷον·
βούλεται, βούλεαι. γνώθεται γνώθεαι.
Γνώθις. σοφίαν διαφέρει. γνώθις μέν ἐστι
τὸ εἰδέναι τὰ ὄντα. σοφία δέ. καὶ τὸ
τὰ ὄντα γινώσκειν. καὶ τὴν τῶν ἀντιπι-
τόντων λύσιν ἐπίστασθαι.
Γνωστός. παρὰ τὸ μᾶλλον τῶν ἄλλων γινώσ-
κεσθαι.
Γνώθω. εἰς τὸ γινώσκω.
Γνωστός. παρὰ τὸ γνώθω γνωτός καὶ ἀγ-
νωστος.
Γνωτός εἰς τὸ β. δωδ.
Γνωτός. ὁ ἀδελφός. ἢ ὁ ἅμα τινὶ γεν-
νητός.
Γοητεία. ἀπάτη.
Γογγύζω. ἐκ τοῦ γεύζω. τοῦ δηλοῦντος
τὴν φωνὴν ὑποκλαίω. καὶ παρακλαίω.
καὶ κατὰ ἀναδιπλασιασμὸν γογεύζω.
καὶ ἐκβολῇ τοῦ ε καὶ πλεονασμῷ στ-
ου γ γογγύζω.
Γοητεία. εἰς τὸ Φαρμακία.
Γογγύζω. τὸ τῇ φωνῇ ὑποκλαίω. καὶ
γίνεται ἐκ τοῦ γεύζω καὶ κατὰ ἀναδιπλασμ.

γογρύζω. καὶ ἀποβολῇ τοῦ ρ̄ καὶ πλεο-
-νασμῷ ἑτέρου γ̄ γογγύζω.

Γόμφος. κυρίως τὸ ξύλινον καρφίον παρὰ
τὸ κόπτω. γάμψω.

Γόνατα. παρὰ τὸ κινεῖν καὶ ἐνεργεῖν

Γονεῖα. ἡ γέννησις. γωνία. ἡ τοῦ τεί-
-χους. καὶ γονεία. εἶδος ὀρνέου.

Γονεὺς. καὶ τροφεὺς διαφέρει. γονεὺς
μὲν λέγεται ὁ γεννήσας. τροφεὺς δὲ ὁ
θρέψας.

Γόνος υἱὸς γνήσιος. παρὰ τὸ γένω γό-
-νος. ὡς λέγω. λόγος. ἢ παρὰ τὸ γείνω.
καὶ εἰς τὸ ἄγονος.

Γόνυ ὅτι καθ' αὐτὸ καμπτόμενον τὸ
σκέλος. ὥσπερ γονίαν ἀποτελεῖ.

Γόνυ. τὸ εἰς γῆν νεῖον. ἔστι πόνω τὸ πράτ-
-τω. καὶ ἐκ τούτου γίνεται πόνος. καὶ
ἐκ τοῦ πόνος πονῶ, καὶ κατὰ τροπὴν
τοῦ π̄ εἰς κ̄. κονῶ. καὶ ἐκ κονῶ, κόνη. καὶ
τροπῇ τοῦ κ̄ εἰς γ̄. γόνυ.

Γουνάσομαι. ἔστι μέσος μέλλων δευτέ-
-ρας συζυγίας τῶν περισπωμένων.

Γονοῦμαι. γονυπετῶ. ἱκετεύω.

Γοιῶ. τοίνων.

Γοῦτος. λικίθου εἶδος. εἴρηται παρὰ τὸν
γρῖτον ὅ ἐστι ῥύπον.

Γραῦδην. εἰς τὸ παραβλήδην.

Γραικός. ὁ ἕλλην τὼ ἔθει. Καλλίμαχος.

Γραικοὶ καὶ γῆς ἡμετέρης ἀδαεῖς. β.

παρὰ τὸ ῥαῖσαι ῥαικός. καὶ γραικός. διὰ γὰρ τὴν πόλιν καὶ ἀνδρίαν οὕτως οἱ ἕλληνες ἐκαλοῦντο. ἢ ἀπὸ τινος ἕλληνος τραγικοῦ. ὡς ἀπὸ ἕλληνος. ἕλληνες.

Γράμμα στοιχείου διαφέρει. στοιχεῖον μὲν οὖν ἐστίν. αὐτὴ ἡ ἐκφώνησις. καὶ ὁ φθόγγος. οἷον. ᾱ β̄. γ̄. δ̄. καὶ τὰ ἑξῆς στοιχεῖα. γράμμα δὲ τὸ σύγγραμμα. ὡς ἐν τῇ συνηθείᾳ φαμέν. πολλὰ εἶδε γράμματα. οὐ γὰρ τὰ κδ ἀλλὰ πολλῶν γραμμάτων ἔμπειρός ἐστιν.

Γραμματική. γραμματήκει. ἡ χωνεύω:

Γραμματική. ὡς κατὰ πολυ. τῶν ἄλλων ἐνωκειωμένη ἐστὶ πολυμαθεία. ἔνθεν καὶ αὕτη. καὶ τὰ τῆς ἐπικλήσεως κατῆρξε. γραμματεὺς καὶ οὐ γραμματαῖος.

Γραμματείας. ἐστὶ γράμμα καὶ ἐξ αὐτοῦ γραμματεὺς. γραμματεύω. γραμματεία. καὶ γραμματεῖας:

Γρυψ. παρὰ τὸ γρύζειν, ἰσχυρὸς ἐν τῷ ἁρπάζειν. καὶ ἀνασπᾶν τὴν θήραν.

Γυῖα. κυρίως. ἐπί τῶν ποδῶν τῶν ἐπί τῆς γῆς ὅ ἐστι ὅ ἐστι τῆς γῆς ἰέναι.

Γυμνάσια. οἱ τόποι ὅπου ἐγυμνάζοντο. ἐπειδή γυμνοί ἠγωνίζοντο.

Γράστις. ἡ χλωρὰ κριθή.

Γράμματα. οἱ χαρακτῆρες τῶν στοιχεί:ων, παρὰ τὸ γράφεσθαι. ὅπερ ἐστι κα:ταξέεσθαι. ἔνθεν καὶ γραῦδις. ἡ κατεξ:υσμένη λαμπάς. καὶ γρᾶς. ἡ κατεξυσ:μένη τὸ σῶμα διὰ τὸ γῆρας. ὡς τρέφω οὖν θρέμμα. θρύπτω. θρύμμα. οὕτω γράφω γράμμα. ἡ παρὰ τὸ γλάπτω. γλάφω. γλάμμα. καὶ συγγράφω. συγ:γραμμα. καὶ ὅμηρος

Εὐνὰς ἐν ψαμάθησι διαγράψ ἁλίησι.

Γρᾶς Ἀττικῶς ἀναλογώτερόν ἐστι. γρὰς γίνεται δὲ παρὰ τὸ ῥέω. ὁ μέλλων ῥεύσω καὶ πλεονασμῷ τοῦ γ γρεύσω. καὶ ἐξ αὐτοῦ γρᾶς. καὶ γραῦς. τὸ διερρυηκὸς γῦσαιον. τροπῇ τοῦ ε εἰς α. κλίνεται δὲ γραός. ὁ κατ. δὶς μόνα εἰς ᾶς θη:λυκὰ μονοσύλλαβα περισπώμενα ναῦς καὶ γραῦς. κλίνεται δὲ ἀμφότερα διὰ

καθαρου του ος. ναῦς. ναός. γραῦς. γραός.

Γρᾶς. παρά τό ῥέω. ραυσω. ρᾶς.

Γραφεῖον. διά τό ἐπιγραφῆ όν. γραφεῖον. ὥσπερ ἀπό του ἄγω. γίνεται ἀγεῖον. καί ἀγγεῖον. καί ἐκεῖθεν ἀγγείδιον. ὅυπο καί ἀπό του γράφω γραφεῖον καί γραφείδιον.

Γράφω. με ποίας πτωσεως συντάσσεται πρός διάφορον σημασίαν. ἐάν γράφω σοι εἴπω. μετά δοτικῆς. σημαίνει τό ἐπιστέλλω σοι. εἰδέ μετά αἰτιατικῆς γράφω. σε. σημαίνει τό ἐκτυπωμά σου ποιω. εἰδέ εἴπης γράφω σου μετά γενικῆς σημαίνει τό ἐγγράφως κατά σου εἰς τό δικαστήριον ἀποτίθημϊ:

Γρηγορω. καί πλεονασμω του γ καί ρ γρηγορω καί τροπῆ του ε εις η. γρηγορω.

Γρήνικος. ἔστιν ὄνομα ποταμου, γέγονε δέ ἀπό του κρήνη. κρήνικος. ἐκ τῆς κρήνης. ἤ ἀπό του γῆ. καί του νικω. γήνϊκος. καί γρήνϊκος. ὁ τὴν γῆν νικων. ἤ ἀπό του νικω καί του γραικός. ἐκεί γάρ οἱ γραικοί ἐνίκησαν τους βαρβάρους.

Γρῖπος. παρά τό ἀγρεῖν ὅ ἐστι παρακολουθεῖν

τῇ ἄγρα. οὕτως Ἡρωδιανός. ἐν τῇ ὀρθο-
γραφίᾳ. Θεόκριτος. — τοῖς δὲ μετὰ γριπεῦσι.
β γριπεὺς γὰρ ὁ ἁλιεύς. καὶ γρῖπος τὸ ἁλιευ-
-τικὸν δίκτυον. οἷον ἄγριπον. ἀγρεῖν δὲ
τὸ λαμβάνειν. οὕτω θέων ἐν ὑπομνήματι
τῶ εἰς Θεόκριτον. γρίπος πάλιν. τὸ συμ-
-ποτικὸν πρόβλημα. τὸ θηρεῦσαι καὶ κατ-
-χεῖν δυνάμενον διὰ τὴν δυσχέρειαν.

Γριπεύς. ὁ ἁλιεύς. παρὰ τὸν γρύπον τὸ
δίκτυον. παρωνύμως γριπεύς. γρίπος δὲ
παρὰ τὸ ἀγρεῖν. ἐνδεία τοῦ ᾱ. τὸ δ' αὐτός.
καὶ γρῖφος καλεῖται. παρὰ τὸ γράφειν. ὅ
ἐστι ξύειν. ὅ τὴν γῆν ξύων. γράφος καὶ γρῖ-
-φος.

Γρυμεῖα. ἣν οἱ πολλοὶ γρυμαῖαν καλοῦσι.
τὰ εἰκῇ συμπεφορυμένα. καὶ ἔστι πολικό-
-τερον ἀνεῦ τοῦ ῑ γρυμέα. καὶ ἐκεῖθεν
τὸ λεγόμενον. ἐν τῇ συνηθείᾳ ἐγρυπήσαμεν.
τοῦ φ̄ τραπέντος εἰς π̄.

Γρῶνη. ἡ βεβρωμένη. ἤτοι τετρημένη
β πέτρα. Λυκόφρων. οἷον δ' οὖσα γρῶνης
εὐγάληνος τερμάδος. παρὰ τὸ γῶ ὅ σημαίνει
τὸ δέχομαι γῶνη καὶ προσθέσει τοῦ ρ̄.
γρῶνη. ἡ ἐν τῇ τρήσει δεχομένη τὰ —

χοινία· πέτρα οὐδ γάρ τὰ χοινία οὕτω·

Γρῖφον· τὸ δύβλυτον αἴνιγμα· καὶ δύβκολον· παρὰ τὸ ἀγρεύειν ὅ ἐστι ζητεῖν·

Γριφόδες· τὸ δύβκολον καὶ συμπεπλεγμένον· λόγιον· λέγονται δὲ γρῖφοι καὶ τὰ δίκτυα· καὶ συμπόσια· καὶ ζητήματα· γίνεται δὲ παρὰ τὸ ἀγρεύειν ὅ ἐστι ζητεῖν· ὁ παρακολουθῇ τῇ ἄγρα· καὶ τῇ θήρα· οὕτως ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ·

Γρύζω· εἰς τὸ γογγύζω·

Γρυπός· ὁ ἐπικεκαμμένην ἔχων τὴν ῥῖνα· ῥυβὸν γὰρ τὸ ἐπικαμπὲς, παρὰ τοῖς Αἰολεῦσιν· ἤτοι ῥεβόν· τροπῇ τοῦ β εἰς π· καὶ πλεονασμῷ τοῦ γ· γρυπός· ἢ παρὰ τὸ ῥέπω ῥυπὸς καὶ γρυπὸς ὅ δ' ἐνι ῥίν·

Γρῶνη· παρὰ τὸ γῶ· γῶνη· καὶ προσθέσει τοῦ ρ· γρῶνη· ἡ δεχομένη τὰ χοινία πέτρα·

Γύ εἰς τὸ κύπτω·

Γυῖα· ὄνομα οὐδέτερον·

Γυῖα· ὄνομα οὐδέτερον· εὐθεῖα τῶν πληθυντικῶν ἐστι γὰρ τὸ γυῖον· γίνεται παρὰ τὸ γυῖα ὅ σημαίνει τὰς χεῖρας· διὰ γὰρ τῶν χειρῶν τὰ ἔργα ἐκτελοῦνται· ἢ παρὰ τὸ γυή· ὅ σημαίνει τὴν

γῆν. τὸ δὲ τ. πλεοναζόμ. καὶ γίνεται γῦον. καὶ γυῖα. καὶ εἰς τὸ ἐγγυαλίζω καὶ ἐξ ὑπογδου.

Γδαλον. τὸ κοίλωμα τῆς χειρὸς κυρίως. λέγεται γδαλον ἀπὸ τοῦ λαμβάνειν. ἠβιόδος.

Γόνυς. τὸ κατώτατον ἄκρον τοῦ ἀρότρου. τὸ ποὸς τῷ ἐλύματι. ἤτοι τῷ ξύλῳ τὸ λεγόμενον γονάτι. τίθεται παρὰ τὸ γῶ τὸ λαμβάνω: ἢ ὅτι ἀεί πτεί τὴν γῆν. λέγεται. καὶ γόνυς μέτεον παρ' ὁμήρῳ.

Γυαλίζω. εἰς τὸ ἐγγυαλίζω.

Γυῖ. εἰς τὸ γῦα.

Γυμνός. ὁ ἄνευ ἱματίων. ὃ ὄπτε παρὰ τὸ ὀκύζω. ὀκυμνός. καὶ ὀκμνός. καὶ ὀκμνός. οὕτω καὶ παρὰ τὸ κύπτω κυμνὸς. καὶ γυμνός. ὁ γὰρ τοιοῦτος κύπτει. πρόσβων τὰ αἰδοῖα ὑπὸ αἰδοῦς. ἢ παρὰ τὸ γῦα μόνα ἔχειν.

Γυναιμανές. ὄνομα ἀρσενικοῦ πλυτικὴ ἢ εὐδεῖα γυναιμανής. καὶ γίνεται ὃ ὄπτε παρὰ τὸ κελαινὸν καὶ τὸ νέφος. κελαινονεφής. καὶ κελωνεφής. οὕτω καὶ παρὰ τὸ γυνὴ γυναικός. καὶ τὸ μαίνω μανῶ καὶ κατὰ συγκοπὴν γυναιμανής. καὶ ἡ κλητικὴ γυναιμανές.

Γραμματείδιον· ἀμφίβολόν ἐστιν εἰ διὰ
τῆς εῖ διὰ τῆς εῖ διφθόγγου, εἶτε διὰ
τοῦ ῑ. εἰ μὲν οὖν ἀπὸ τοῦ γραμμάτιον
τοῦ σημαίνοντος τὸ μικρὸν γραφεῖον·
διὰ τοῦ ῑ μακροῦ γράφεται· ὥσπερ
ὀψάριον ὀψαρίδιον· λάχανον, λαχανίδι
:ον. εἰ δὲ ἀπὸ τοῦ γραμματεῖον γέγονε
τοῦ σημαίνοντος τὸ μητρόν δέλτον· διὰ τῆς
εῖ διφθόγγου· ὥσπερ γραφεῖον γραφείδιον.
ἰστέον δὲ ὅτι τινὲς λέγουσι γραμματεῖον
τὸ μικρὸν ὁδὲ ὧρα· τὴν μικρὰν δέλτον.
Γυνή· γονή τις οὖσα· ἡ δεκτικὴ τοῦ
σπέρματος· διατί μὴ ἐκλήθη γυνὴ γυνῆς
ἀλλὰ γυναικός· διότι τὰ εἰς νη θηλυκά·
δισύλλαβα, ἐκτείνη αὐτό· μήνη· βύνη·
ἡθεοί· ἥς τις καὶ ἰνώ· ὕστερον ἐκλήθη
βύνη ὄνομα· ἄκλιτον ἔμεινε· τὸ δὲ γυνὴ
συλλαβή· γυνὴ γυναικὸς ἑτερόκλιτόν ἐστι·
τῆς μὲν οὖν γυναικός· ἡ εὐθεῖα ἀπέλειψ- υνα
:εν· ὤφειλε γὰρ εἶναι γύναιξ· ἀλλ' ἐπει
:δὴ τὰ εἰς ξ λήγοντα ἀρσενικὰ γάλι εἰ
:σιν· οἷον· θράξ· ἐὰν δὲ ὦσιν ἀρσενικά·
πάντως καὶ θηλυκά· οἷον ὁ αἴξ· καὶ
ἡ αἴξ· ὅτι δὲ λέγεται ἀρσενικῶς, ἐδήλωσεν

ὁ ποιητής· εἰπών

— τόξον εὔζωον ἐξάλου αἰγός· ἐπειδή
ὀῶ τὸ γῶαιξ οὐ λέγεται ἀρσενικῆς· ἡ γὰρ
σημασία κωλύει· τοῦτου χάριν ἡ εὐθεῖα·
ἀπέλειψε· τοῦ δὲ γυνὴ ἀπέλειψεν ἡ γενική.
ὅτι τὰ εἰς νῆ θηλυκὰ δισύλλαβα τῶ ῡ
παραληγόμενα· ἐκτείνει αὐτό· τὸ μὲν τοὶ
γυνὴ συλλαβή· τὸ ῡ συστέλλει· καὶ εἰκό:
:τως· ὡς μονῆρες ὄν, ἄκλιτον ἔμενεν·
ἡ αἰτιατικὴ τὴν γυναῖκα· ὁ τόνος· πᾶσα
αἰτιατικὴ ἑνικῶν εἰς ᾱ λήγουσα, διφθόγ:
:γω παραληγομένη, προπερισπᾶται· οἷον
γυναῖκα· παῖδα·

Γυνή· παρὰ τὸ γῶ τὸ λαμβάνω καὶ δέχομαι,
ἡ δοτική· τοῦ σπέρματος, ἡ παρὰ τὸ γεί:
:νω τὸ τίκτω γίνεται γονή· καὶ τροπῇ
τοῦ ο̄ εἰς ῡ αἰολικῶς· ὡς ὁύμοιον ὕμοιον,
γίνεται γυνή· ἄκλιτον δέ ἐστιν· ἐπειδὴ τὰ
εἰς η̄ λήγοντα δισύλλαβα τῶ ῡ παραληγό:
:μενα· ἐκτεταμένον ἔχουσι τὸ ῡ;

Γυνή· δυνή τις οὖσα· παρὰ τὸ δύνειν ἐν αὐτῇ
τὸ ἀνθρωπινὸν σπέρμα· τροπῇ τοῦ δ̄ εἰς
γ̄· ἡ παρὰ τὸ ἐκ μηρῶν τοῦ ἀνδρὸς γένεσθαι.

Γυνὴ παρθένου διαφέρει· γυνὴ μὲν γὰρ
καλεῖται κυρίως· ἡ ἤδη ἀνδρὸς πεῖρα εἰληφῶα·

παρθένος ἢ μηδέπω μωνθῆσα ἀνδρός.

Γύναιξ. ἡ κλιτική. παρὰ τὸ τὴν γυνῶαιξ εὐθεῖαν. καὶ δῆλον ἀπὸ τῆς δοτικῆς τῶν πληθυντικῶν. αἱ γὰρ εἰς ξ δοτικαὶ πληθυντικαὶ ἀποβάλλουσι τὸ ι. ποιοῦσι τὰς κλητικάς. φοίνιξι φοίνιξ. κόλαξι. κόλαξ.

Γυνή. ὡς μὲν Δημόκριτος. γονή τις οὖσα. ἡ γονῆς δεκτικῆ. ἢ ἀπὸ τῆς γῆς. καὶ τοῦ γεννᾶν. κλίνεται δὲ ἡ γυνὴ κατὰ τὰς ἄλλας πτώσεις ὡς τὰ εἰς η λήγοντα. φερεκράτης. ὡς ἄτοπόν ἐστι. μῆτερ εἶναι καὶ γυνή.

Γύννις. γυναικώδης. εἴρηται παρωνύμως. παρὰ τὸ γυνὴ γύννις. ὡς δάφνη. δάφνις. νύμφη. νύμφις. νίκη. νίκις.

Γύαλον. τὸ κόλωμα τοῦ θώρακος. χύαλον τὸ περικεχυμένον τῷ φοροῦντι. καὶ ἁπλῶς πᾶν κοίλωμα. τινὲς δὲ καὶ ἐπὶ τοῦ γυαλοῖσιν ἀρήροτα τοῖς ἔξωθεν κόσμου χάριν ἐπικεκολπομένην, διὸ καὶ ἀρήροτα εἶπεν. οἱ δὲ πάλιν ἡρμοσμένα τὰ κοῖλα τῷ φοροῦντι.

Γυῖα. τὰ μέλη τοῦ σώματος. κυρίως δὲ χεῖρες καὶ πόδες. ἐξ οὗ γυώσω. χωλώσω.

Γυόν. εἰς τὸ αἱματόεσσα καὶ γυῖα καὶ ὑπόγυιον

Γυρῖνοι οἱ βάτραχοι. παρὰ τὸ γώρω τὸ περιφερές.

Γύψ διὰ τὸ γυρεύειν τὰ ὕψη. τὸ μὲν γὰρ γυ.

σημαίνει τὸ γυρεύειν· τὸ δὲ ψ̄ τὰ ὕψη.

Γυρίν· καὶ γύρινος ὁ μικρὸς βάτραχος παρὰ τὸ γυρὸν τὸ περιφερές.

Γῶ· εἰς τὸ γαστήρ· καὶ γεγῶσα· καὶ γῆ καὶ γυνή· καὶ χωρητός· καὶ διὰ κείρυκος· καὶ ἐγγυαλίζω· καὶ ἐγγύη καὶ χθών.

Γωνία· διὰ τὸ τὰ γινόμενα ἴεσθαι ἢν φέρειν· ἢ παρὰ τὸ γόνυ γίνεται τὸ κτητικὸν γωνία· κατ' ἔκτασιν τοῦ ο̄ εἰς ω̄· ὅπερ ἐπικαμπεῖ τε καὶ κεκλασμένω σχήματι φύσει πεποίηται.

Γωνῶ· εἰς τὸ γεγωνέμεν καὶ γεγωνότερον.

Γωρυτοὺς θῆκας βελῶν· ἀπὸ τοῦ χωρεῖν τοὺς ῥυτοὺς· τουτέστι τὰ βέλη.

Γωρυτὸς ἢ τῶν βελῶν θήκη· παρὰ τὸ γῶ τὸ χωρῶ· καὶ λαμβάνω· ῥυτὸν γὰρ τόξον· σημαίνει καὶ τὴν ξιφοθήκην.

Γωρυτῶ· τῇ θήκῃ τοῦ τόξου· μετείληπται δὲ ἐκ τοῦ χ̄ καὶ τοῦ γ̄· οἱονεὶ χωρός· παρὰ τὸ χωρεῖν τὸ τόξον.

Γωνία· ἢ τοῦ τοίχου γωνία· ἢ γέννησις καὶ γονία εἶδος ὀρνέου.

ἀρδάπτουσιν ἐσθίουσι καίουσι.

Γώω τὸ κοιμῶμαι· ἐκ τοῦ εὕδω.

Γαδάπτουσι· παρὰ τὸ δάπτω ἐπιτατικὸν δὲ τὸ ᾱ.

Γάδυξ· εἰς τὸ δοῖδυξ.

Γάη εἰς τὸ ἠέλιος.

Γαήρ· ἀνδρὸς ἀδελφή· παρὰ τὸ δαίω ὃ σημαίνει τὸ γινώσκω. . . . . .

x . . x . . .

x

Ἀρχὴ τοῦ Δ̄

τὸ Δ̄ μετὰ τοῦ Ᾱ.

Δαδάπτουσι· παρὰ τὸ δάπτω ἐπιτα:
:τικὸν δὲ τὸ ᾱ.

Δάδυξ· εἰς τὸ δοῖδυξ.

Δάη· εἰς τὸ ἠέλιος.

Δαήρ· ἀνδρὸς ἀδελφή· παρὰ τὸ δαίω·
ὃ σημαίνει τὸ γινώσκω· ἀφ' οὗ τὸ ἐδάω.
ὃ ἐν γνώσει τοῖς κατ' ἐπισταμίᾳ οἰκείοις.
τινὲς δὲ παρὰ τὸ δαίω ὃ σημαίνει τὸ
καίω· εἴγε τούτοις ἐν τοῖς γάμοις ἔθος
ἐστὶ λαμπαδηφορεῖν· οὕτω καὶ παρὰ
τὸ πατῶ τὸ ἐξουσιάζω πῆρ.

Δαιαλεύς· εἰς τὸ δαιταλεύσι.

Δαὶ σύνδεσμος· ἴσος τῷ δέ.

Δαίδαλα ἐκ τοῦ δαιδάλλω τοῦ σημαί:
:νοντος τὸ ποικίλλω· τοῦτο δὲ ἐκ τοῦ
δαίω· τοῦ μέλλοντος.

Δαίδαλα παρὰ τὸ διδαήσεως καὶ ἐμπει:
ρίας εἶναι.

Δαίδαλος· παρὰ τὸ δαίω τὸ γινώσκω·
οἱονεὶ ὁ πολυΐστωρ.

Δαίεαλαι· εἰς τὸ δῆμος.

Δαιμόνιος. ὁ μακάριος. ἐπιστημονικός. τὸ νῖ. ῑ. ὧς ἐπίθετον. τὸ μῶ μικρόν. ἐκ τοῦ δαίμων δαίμονος.

Δαιμονέστατοι. τῆς τῶν ἀστέρων πορείας τεχνικώτατοι, ἐμπειρότατοι. ἐπιστημονικώτατοι. παρὰ τὸ δαίω ὅ σημαίνει τὸ μανθάνω.

Δαίμονος. ἐκ τοῦ δαίω τὸ μανθάνω, δαίμων τὶς ὤν.

Δαίνυτο. εὐωχεῖτο. τὰ εἰς η λήγοντα ῥήματα βαρύτονα ποιοῦντα τὴν παραγωγήν. διὰ τοῦ νυω. εἰ μὲν διφθόγγω παραλήγεται. δι' ἑνὸς ἀμεταβόλου ἐκφέρονται. οἷον δαίνω, δανυω. εἰ δὲ ἑνὶ φωνήεντι διπλασιάζει τὸ συμφωνον. οἷον ἕω. ἐνυω. σθένω. σθενυω.

Δαῖς ἡ μεριστὴ εὐωχία. τρία εἰσιν ἐν αἷς ὀνόματα ἀρσενικὰ τὸ παῖς θηλυκόν. τὸ δαῖς οὐδέτερον. τὸ σταῖς. σημαίνει δὲ τὴν ζυμην. καὶ εἰς τὸ παῖς.

Δαίμων. παρὰ γὰρ τὸ δέω τὸ γινώσκω ὅ εἰδήμων παντί.

Δαίσκω. εἰς τὸ διδάσκω. καὶ ἠέλιος.

Δαισάνη. πιαλνη. ἀπὸ σίτου ἐπτισμένου

ἐφημέρα. εἴρηται παρὰ τὸ δαίομαι. ὅ ἐστιν εὐωχέομαι. τὴν γὰρ πρώτην τροφὴν πρὸ τῆς εὑρέσεως τῶν ἄρτων οὕτως ἐποιοῦντο.

Δαιταλωδοί. διαδῶται. ἢ δυμπόται. παρὰ τὴν δαῖτα ὃ δημαίνει τὴν εὐωχίαν. ἢ παρὰ τὸ δαίω. τὸ εὐωχοῦμαι. δαιαλως. καὶ δαιταλως. πλεονασμῷ τοῦ τ.

Δαίτας τοὺς μερισὰς Μακεδόνες.

Δαιτός. ἡ ὁ παῖς.

Δαίμων. ὄνομα. δημαίνει καὶ τὸν δαίμονα. καὶ τὸν ἐπισήμονα. καὶ τὸν δαίζοντα. καὶ τὸν διακόπτοντα.

Δαίμων δημαίνει ἐξ. τὸν πάντα εἰδότα θν'. τὸ ἀκάθαρτον. τὸν τεχνίτην. τὸν μακάριον. τὸν πλοῦσιον. τὸν εὐτυχῆ. καὶ τὸν ἀστέρα.

Δαιτρός. ὁ μάγειρος. παρὰ τὸ δαίω τὸ μερίζω. καὶ κόπτω. ἢν διαιρῶν τὰ κρέα.

Δαιτυμόνιος. ὁ τὸ ἄριστον ποιῶν. ὁ φίλιος. καὶ ξένιος. παρὰ τὸ δαίω ὃ δημαίνει τὴν εὐωχίαν. δαιτυμόνας δὲ οἱ φίλοι.

Δαίνυτο παρατατικοῦ τρίτου προσώπου

των εἰς μι· ἀπό του δανδω ἐκ τῆς συ=
βυγίας των βαρυτόνων· τό παράγωγον
δαίνυμι· ὅμηρος.

Δαίμονες· θεοί· ἅτε δαήμονες πάντων
ὄντες· ἤ μερίζονται ἡμῖν πάντα· παρά
τό δαίσασθαι.

Δαίμονες· παρά τό δαῆναι τά πάντα,
ἤ μερίζειν τά ἀγαθά καί τά κακά τοῖς
ἀνοῖς.

Δαιομένη· διαιρουμένων· διανεμομένων.
ἤ καιομένων.

Δαῖτρον· τό μεριστόν.

Δαῖ· σωδεσμος· ἐρωτηματικός· ἐκτετα=
=μένον· τίς δαί ὅμιλος· πως δέ των ἄλλων
τρωων· ὅ δέ συμπλεκτίς δέ· συνεσταλ=
=μένος.

Δαιτός· θηλυκου γένους μόνου· γενική
των ἑνικων· κλίνεται δέ ἥ δαῖς τῆς δαι=
=τός· γέγονε δέ ἀπό του δαίω ῥήματος.
του σημαίνοντος τό κόπτω καί μερίζω.
τουτέστιν ἥ μεριστή ἐνωχία· ἥ ἴσως
διδομένη πᾶσιν· ὅ μέλλων ἐκ του δαίω.
δαίσω· καί κατά ἀποβολήν του ω δαίς·
ὀξυνεται· τό δέ παῖς περισπᾶται καί
σταῖς.

Δαΐς· ἥ λάμπας· ὀξύνεται· δάϊς δέ ἥ—

μάχη βαρυτόνως.

Δαύω. τὸ κοιμῶμαι. ἐκ τοῦ εὕδω.

Δαιτρεύειν. διαιρεῖν. ὅθεν καὶ δαιτρὸς ὁ μάγειρος. παρὰ τὸ διαιρεῖν τὰ κρέα.

Δακτύλιος. ἐπὶ τῆς ἕδρας. ἤγουν ἀφαι:δρῶν. ἤτοι διὰ τὸ δακτύλω ἐφικτὸν εἶναι. ἢ ἀπὸ τῆς στρογγυλότητος. τοῦ σημαντῆρος. τουτέστι τῆς σφραγίδος. ὁ δὲ φορούμενος. ἀπὸ τοῦ περὶ τὸν δάκτυλον ἵεναι.

Δάϊς. ἡ μάχη βαρύνεται. καλλίμαχος.
εἰς δάϊν ἔρχομαι-καὶ μεταθέσει τοῦ ᾱ εἰς ῑ. δῆϊ.

Δαΐφρονι. πολεμήτορι. δάϊς γὰρ ἡ μάχη.

Δαΐφρων. ὁ πολεμικὸν φρόνημα ἔχων. παρὰ τὸ δάη δοτική. καὶ τὸ φρήν. τῆς δὲ δοτικῆς. ἡ εὐθεία δαΐς. τοῦτο παρὰ τὸ δέω. τὸ κόπτω. κατὰ διάνοι:αν. δαΐω. καὶ πλεονασμῷ τοῦ ζ δαΐζω. τοῦ δαΐζω ὁ μέλλων. δαΐσω. καὶ ἐξ αὐτοῦ δάϊς. κλίνεται δὲ δάϊος. ὁ κ[illegible]! τὰ εἰς ῑς ὀξύτονα θηλυκὰ ὑπὲρ μι[illegible] συλλαβην. διὰ τοῦ δος κλίνεται. οἷον. ἐλπὶς ἐλπίδος. δαΐς δαΐδος. ἡ δοτική δαΐδι. καὶ κατὰ συγκοπὴν τῆς δι —

συλλαβής. δάϊ. ἐν δάϊ λυγρή. καὶ ἐξ
αὐτοῦ δαΐφρων. τὰ δὲ ἐκ δύο συγκεί:
:μενα τελ ὀνομάτων, ἢ ἀπὸ εὐθεῖας
συντίθεται. ὡς τὸ ἕως. ἑωσφόρος. βου:
:λη βουληφόρος. ἢ ἀπὸ γενικῆς. οὐ:
:δεὶς οὐδενός. καὶ τὸ ὥρα ὃ σημαίνει
τὴν φροντίδα. οὐδενόσωρα. καὶ τὰ
β Ἕλλης Ἑλλήσποντος. ὡς Λυκόφρων.
ἁπόντος ἕλλης. καὶ πέτραι συμπληγάδες.
ἢ ἀπὸ δοτῆς, ὡς τὸ ἄρηϊ. ἀρηΐφιλος.
καὶ δουρι δουρίκλυτος. ἢ ἀπὸ αἰτια:
:τικῆς. ὡς τὸ νοῶ νουνεχής. καὶ πόδα
ποδαλείριος. λέγει δὲ ὃ μαχάων. παρὰ
τὸ τοῖς πᾶσι λήρια ἐπιτιθέναι. ὃ ση:
:μαίνει τὰ ἄνθη. ἰατρὸς γάρ. ἀπὸ δὲ
τῆς κλητικῆς μόνον οὐ συντίθεται.
ἐπὶ δὲ τοῦ κουριδίης ἀλόχοιο. δαΐφρο:
:νος Πηνελοπείης. οὐ σημαίνει τὴν πο:
:λεμικήν. ἀλλὰ τὴν σώφρονα. καὶ σωε:
:τήν. καὶ γέγονε δὲ παρὰ τὸ δάω τὸ
μανθάνω. ὃ μέλλων δαήσω. καὶ ἐξ αὐ:
:τοῦ δαΐφρων. τὰ γὰρ ἀπὸ τῆς δευτέ:
:ρας συζυγίας τῶν περισπωμένων —

γινόμενα ὀνόματα· ἢ τὸ ω παραλήγε-
-ται· ὡς ἁμαρτῶ ἁμαρτωετιής· μισῶ
μισογώνης· ἢ τῶ ι· ὡς τὸ εἰλῶ εἰλί-
-πους· οἰδῶ οἰδίπους· ἁμαρτῶ ἁμαρτί-
-νιος· οὕτω καὶ δαῶ· δαήσω· δαήφρων·
ἢ παρὰ τὴν διὰ πρόθεσιν καὶ τοῦ φρὴν·
διάφρων· σημαινούσης ἐπιτάσεως· καὶ
ὑπερβιβασμῶ δαΐφρων·

Δαίδαλος· τὸ φαῖ δίφθογγον· παρὰ
γὰρ τὸ δαίω τὸ ποικίλλω γίνεται· οἱονεὶ
ὁ πολυΐστωρ·

Δαίω· παρὰ τὸ δαίω τὸ μανθάνω γίνε-
-ται ὁ δαήμων πάντων·

Δαίω· εἰς τὸ εἰς ἀδήωτον· καὶ αἴμυλον·
καὶ δαίδαλον· καὶ δαήρ· καὶ δαημονέστα-
-τος· καὶ δαιταῖος· καὶ δαΐφρων· καὶ
δηΐος· καὶ δηΐσω καὶ δῆμος· καὶ δήνεα·
καὶ δῆρις· καὶ διδάσαι· καὶ δοῖδυξ·

Δαΐς· ἡ λαμπάς· παρὰ τὸ δαίω τὸ καί-
-ω· ἀφ' οὗ δᾶος μετὰ χερσὶν ἔχουσαι·
καὶ ὡς σκέλος σκελίς· μέρος· μερίς· καὶ
δᾶος δαΐς· ὡς δέ τινες· δάϊς· δαῖς·

Δάκνω· παρὰ τὸ καίνω· μεταθέσει
τοῦ ν καὶ πλεονασμῶ τοῦ δ·

Δάκνυον. δάκνυόν τι ἐστιν. ἀπὸ τοῦ δάκνεσθαι. δι' αὐτῶν τὰ ὄμματα. ἢ ὅτι πολλὰ, ἀπὸ τῆς δοτικῆς λύπης γίνονται.

Δάκρυον. παρὰ τὸ δύκω τὸ δακνάνω. δάκνυδιν καὶ δάκρυον. δακνομένης τῆς ψυχῆς. ἐξέρχεται τὸ δάκρυον:

Δάκρυον. ὡς ἐπὶ πᾶν. παρὰ τὸ ἐκ δέους, ἢ ἀπὸ τοῦ δέοντος. ἐκκεινόμενον. ἐξιὸν. ἢ παρὰ τὸ δάκνεσθαι δι' αὐτοῦ τὰ ὄμματα.

Δακρύω. δακρύβω. δάκρυς. κατὰ ἀποβολὴν τοῦ ῡ καὶ μετὰ τοῦ πολὺς. πολυδακρύς, πολυδακρύω. προπαροξύτονος. καὶ ἄλλως. τὰ εἰς ῡς ὀνόματα εἴτε βαρύτονα. εἴτε ὀξύτονα. εἴτε περισπώμενα, ἐν τῇ συνδέσει συστέλλονται τὸ ῡ. προπαροξύνονται. οἷον ὀφρύς. λευκόφρυς.

Δάκτυλος. παρὰ τὸ δεάδβω δάκτυλος. καὶ δελφοποιὸς εἶναι. καὶ ἀδελφὰ τὰ τικτόμενα.

Δαλέας. εἰς τὸ ἁλέας.

Δαλός. παρὰ τὸ δαίω. τὸ καίω. δαίσω-
δαλός. καὶ εἰς τὸ ἀρίδηλος. ὅμηρος.
Δαμᾶ. ἐνεστῶτ. γέγονε δὲ παρὰ τὸ δαμῶ
τὸ δαμάζω. καὶ καταπονῶ. ὁ β^ος Ϙ^ος,
ἔδαμον καὶ ὁ δεύτερος μέλλων δαμῶ.
καὶ μετάγεται εἰς ἐνεστῶτα. καὶ γίνεται
δαμῶ, δαμᾶς, δαμᾶ. τινὲς δὲ οὕτω.
δαμῶ. ὁ μέλλων δαμάσω. τὸ τρίτον δα-
μάσει. καὶ ἀποβολὴ τῆς σεῖ συλλαβῆς.
δαμᾶ.
Δάμαρτος. ἡ γαμετή. παρὰ τὸ δαμάζεσθ-
αι. καὶ ὑποτάσσεσθαι τῷ ἀνδρί.
Δαμασκός. πόλεως Συρίας. παρὰ τὸν ἀν-
τιλίβανον. εἴρηται δὲ ὅτι δαμάσων
στράτευμα Διονύσου. ἐκεῖσε σκηνὴ
πηξάμενος ἱδρύσατο. ἐκεῖ θεοῦ ζῶανον.
ἡ οἶω δαμασκηνή. δαμασκός. ἡ ὅτι
ἀσκοὶ εἷς τῶν γιγάντων. ὃς μετὰ Λυ-
κούργου τὸν διόνυσον ἔδησε. καὶ εἰς
ποταμὸν ἐνέβαλεν. ἐφονεύθη δὲ ὑπὸ
ἑρμοῦ. καὶ Ἀσκὸς ἐξεδάρη. καὶ ἐκεῖ ἐτά-
φη. καὶ ἐκ τοῦ ταφέντος ἡ πόλις ἐκλήθη.
καὶ οἰνοδόχα δὲ δέρματα καλοῦσιν ἀσκοῦς.
Δαμάσκινον. παρὰ τὸ θαυμαστῶς κινεῖν.
θαυμάσκινόν τι ὄν.

Δάμαρ. γαμετή. παρὰ τὸ δεδαμᾶσθαι παρὰ τὸν γάμον. γάμαρις. δάμαρ.

Δάκτυλοι. παρὰ τὸ δράττεσθαι. ἢ δέκτυλοι δεκτικοὶ ὄντες. ἢ δείκτυλοι. ἀπὸ τοῦ δι' αὐτοῦ γίνεσθαι τὴν δεῖξιν.

Δάκτυλοι. δαπτυλοί τινες ὄντες.

Δάμαλις. καὶ δαμάλιον. τὸ θηλυκόν. καὶ μικρὸν βοΐδιον. τὸ δὲ ἀρσενικὸν ταῦρος. ἐτυμολογεῖται δὲ δάμαλις παρὰ τὸ δαμάζεσθαι ἅλις, καὶ οὕτως ἡμερούσθαι.

Δάμαλις. καὶ δάμαλης διαφέρει. × × × × × × παρὰ τὸ δῆν. καὶ διὰ τὸν χρόνον ξηρᾶ. ἢ παρὰ τὸ δαίω. τὸ καίω.

Δαμάτερ. εἰς τὸ δημήτηρ.

Δαμεῖον. δαμᾶν. ὁ κα̅ τὰ εἰς μὲν εὐκτικὰ εἰ μὲν μονοφθόγγω παραλήγεται ἀποβολῇ τῆς παραληγούσης ποιεῖ τὸ πρῶτον τῶν πληθυνθικῶν. ἐστὶ δὲ δαμείημεν. ἐπειδὴ ἀπὸ τοῦ δαμείω γίνεται. καὶ κατὰ συγκοπὴν δαμεῖμεν. τὸ ῥῆμα δαμῶ. δημαίνει τὸ ὑποτάσσομαι. ὁ δεύτερος ἀόριστος ἔδαμον. ἐδάμην. καὶ ἐδάμημεν. τὸ γὰρ μ̅ τοῦτο οὐκ ἐστὶ κλιτικὸν, ἀλλὰ θεματικόν. πᾶν γὰρ πρόσωπον εἰς ν̅ λῆγον, μὴ ἔχοντα

τὸ μ̄ κλητικόν, τροπῇ τοῦ ν̄ εἰς ς̄. ποιεῖ τὴν μετοχήν. δαμείς. καὶ τὸ ἐνκτικὸν δαμείλω.

Δαβεῖα. τὸ πνεῦμα. παρὰ τὸ σφοδρὸν καὶ μέγα εἶναι. πρὸς σύγκρισιν τῆς ψυχῆς. παρὰ τὸ δᾶ ἐπιτατικὸν μόριον. καὶ το στόμα τὸ ὁρμᾶν τὸ σφοδρῶς ἐκπεμπόμενον πνεῦμα. Ἀππιανός.

Δαρθεῖν. καὶ καταδαρθεῖν τὸ κοιμηθῆναι καὶ δράθλω. παρὰ τὸ δρῶ τὸ ἐνεργῶ. καὶ δρήθω τὸ κοιμῶμαι. οἱ γὰρ κοιμώμενοι οὐκ ἐνεργοῦσιν. ὅμηρος.

Δαρδάπτουσι. διασπαράσσοντες. ἐσθίουσιν. ἐπέκτασις δέ ἐστι τοῦ δασέος. ἐμφάσεως χάριν.

Δαμῶ. εἰς τὸ δαμεῖον.

Δανείζω. ἀπὸ τοῦ δάνειον γίνεται δανειάζω. καὶ κατὰ συγκοπὴν τοῦ ω̄ γίνεται δανείζω. ὡς ἀπὸ τοῦ γένειον γίνεται γενειάζω καὶ κατὰ συγκοπὴν γένειον.

Δάνειον. εἰς τὸ γένειον.

Δάνειον. παρὰ τὸ δάνος. ὃ σημαίνει τὸ δῶρον. ὡς οὖν τέλος τέλειον. οὕτω δάνον δάνειον κατὰ ἀντίφρασιν τὸ μὴ δῶρον. τρυφῶν δὲ ὁ τοῦ Ἁρποκρατίωνος φησὶ

τό παλαιόν· ἐπί τοῦ ἀναφαιρέτου δώρου τάττεσθαι τήν λέξιν· Δίδυμος δὲ τό χρονί:ζον· χρέος παρά τό δῆν·

Δαπάνη· παρά τό δάπτω τό ἐσθίω· γίνεται δάπτη· καί πλεονασμῶ τοῦ ᾱ καί ν̄ δαπτά:νη· καί ἀποβολή τοῦ τ̄ δαπάνη· ὅμηρος·

Δαπάνη· δέοντος· σπάνις· ἡσ. ἐλάττωσις·

Δαπάνη· καί ῥῆμα δαπανῶ· καί παράγω:γον δαπανηρός· παρά τό δάπτω τό ἐσθί:ω· τό γάρ οὕτω δάκνει· ὦς δαπάνη· ὦς γάρ θήσω θηγάνη· ἀκῶ ἀκόνη· περῶ περό:νη· οὕτω δάπτω δαπάνη·

Δάπεδον· παρά τό πέδον· τό δᾱ ἐπιτα:τικόν·

Δάπιδες· τάπειτος· παρά τό ἐν δαπέδω στρώννυσθαι·

Δάπεδον· ἔγκειται τό δᾱ δηλοῦν τό ἄγαν· ὦς τό ζᾱ ἀφ' οὗ τό μέγα· τό μέγα οὖν πεδίον· ζάπεδον μεταθέσει τοῦ δ̄ εἰς ζ̄·

Δάπτω· εἰς τό δαδάπτω· καί δαπα[illegible]·

Δαρεικός· ἀπό τοῦ Δαρεῖος γέγονε δαρει:ακός· καί κατά συγκοπήν δαρεικός·

Δαρθεῖν καί καταδαρθεῖν· παρά τό δρῶ ἔδραθον· καί κατά ἀντίφρασιν δέ λέγει,

ἀντὶ τοῦ μηδὲν δρᾶν.

Δάσκω. εἰς τὸ διδάσκω.

Δαδω τὸ κοιμῶμαι. παρὰ τὸ εὕδω. δεδω. καὶ δαδω. καὶ πλεονασμῶ τοῦ δ. καὶ τροπῇ τοῦ ε εἰς α δαδω.

Δαφοινός. ἐκ τοῦ φοινός. ὁπυρός. καὶ τοῦ :το ἐκ τοῦ φόνος. καὶ τὸ θηλυκὸν φωνή. καὶ πλεονασμῶ τοῦ ι. φοινή. καὶ τὸ ἀρσενι :κὸν φοινός. καὶ μετὰ τοῦ δα δαφοινός. διατί οὐκ ἀνεβίβασε τὸν τόνον. κανῶν γάρ ἐστιν ὁ λέγων. τὰ εἰς ος ὀξύτονα ἐν τῇ συνθέσει ἀναβιβάζουσι τὸν τόνον οἷον τέλος ὀψιτέλεστος. χωρὶς εἰ μὴ διὰ σημα :σίαν τινὰ κωλυθή. διὰ τὸ λοιγός. βρο :τολοιγός. καὶ χωρὶς τῶν ἐθνικῶν. διὰ τὸ ἀχαιός. παναχαιός. καὶ χωρὶς τοῦ ἰατρός. ἀρχιατρός. τοῦτο γὰρ φυλάττει τὸν τόνον ἐν τῇ συνθέσει. ἀρχιητρός γὰρ τοῦτο δὲ διὰ τὸ σημαινόμενον ὡς εἶπον. ἐκωλυθη βαρυσεσθαι

Δαφοινὸς ὁ μέγας. παρὰ τὸ δαφοινὸν τὸ μέ :λαν. τὸ δὲ δα ἐπιτατικόν. καὶ εἰς τὸ φοι :νικοῦν.

Δαψιλὴς. ἀρκετοί. κεχορτασμένοι. παρὰ τὸ δάπτω τὸ ἐσθίω. ὁ μέλλων δάψω. καὶ

ἐξ αὐτοῦ κατὰ παραγωγὴν δαψιλής.

Δαψιλός. ψιλὸν λέγεται τὸ μόνον καὶ ταπει:νόν. ὡς καὶ ψιλὸς στρατιώτης ὁ μεμονωμέ:νος. καὶ ὅπλα μὴ ἔχων. καὶ μετὰ τοῦ δᾱ ἐπιτατικοῦ μορίου δαψιλός. ὁ ἀρκετὸς καὶ ἱκανός.

Δαβέος. γενικὴ οὐδετέρου ἡ εὐθεῖα τὸ δαβύ.

Δέ σύνδεσμος εἰς τὸ γε.

Δέω. εἰς τὸ ἔνδεια.

Δέδασθαι. ἐκ τοῦ δῶ. δώζω γέγονε. τὸ δέδασθ:αι παθητικοῦ παρακειμένου τρίτου προ:σώπου. σημαίνει δὲ τὸ μεμέρισται.

Δεδείρημαι. εἰς τὸ ἀδήριτον.

Δεδμήατο. ὁ καὶ. ταῦτα δὲ τὰ τρία ἰωνι:κῶς. ἔστι δεδμέατο. καὶ ἐκτάσει τοῦ ᾱ δεδ:μείατο. χρόνου ὑπερσυντελίκου. τὸ ῥῆμα δευτέρας συζυγίας τῶν περισπωμένων. ὅπερ γίνεται ἀπὸ τοῦ δαμῶ. ἐξ οὗ καὶ τὸ εἰδή.

Ὁμοῦ πόλεμός τε δαμᾶι καὶ λοιμὸς Ἀχαιοῦς.

Δέδοικα. μέσος παρακείμενος τὸ δέδοικα, ἀπὸ τοῦ δεδειῶ ἐστίν. ὁ ἐστὶ τὸ φοβοῦμαι. καὶ ὁ παρατατικὸς ἔδειον. καὶ ὁ παρακεί:μενος δέδοικα. καὶ ὁ μέσος δέδοιδα. καὶ διὰ τὴν ἐπαλληλίαν τῶν τριῶν. δ ἐτράπη τὸ ἐν εἰς τὸ κ. καὶ ἐγένετο δέδοικα.

Δεδωδαμαι· εἰς τό δωνάστης.

Δεεινός· εἰς τό δεινός· εῖ εἰς τό δεῖπνος· καί χρῆ·

Δειδήσω· εἰς τό ἔδδησε.

Δειδία· ἤ ἀσέλεινος νυξ· ἤ σκοτεινή διά τῆς εῖ διφθόγγου· γράφεται κατά τήν ἄρχουσαν· παρά τό δέος ἐστίν· ὁιονεί ἤ φόβου ἐμποιητική.

Δείδια· τό δῖ· ῖ· ἐξ αὐτοῦ δειδίσσω, δειδίσσαμαι· δειδισσόμενος· διαθέσεως ἐνεργητικῆς· οὐκ ἔστι παθητικῆς· ἀντί τοῦ ἐκφοβῶν καί οὐκ ἐκφοβούμενος.

Δαυω τό κοιμῶμαι· ἐκ τοῦ ἀυδω ἐστί· καί ἐν ὑπερθέσει τοῦ δ δεύω· καί τροπῇ τοῦ ε εἰς α δαυω· ἵνα μή τό δεύω τοῦτο· ἐπί τοῦ χρήζω συμπέσῃ·

Δάφνη τό φυτόν· δαοφάνη τις οὖσα· ἤ ἐν τῷ δέεσθαι φωνοῦσα· ἠχεῖ γάρ καιομένη· μαρτυρεῖ Θεόκριτος·

Χῶς αὐτά λάμνοι· κέγα καππυρίσασα.

Δεινός ὁ πονηρός· παρά τό δέος δεϊνός· καί δεινός· ὁ φόβον δωνάμενος τοῖς ὑπεναντίοις ποιεῖν.

Δεῖσα· ἤ ὑγρότης· ἤ δυσωδία· εἴρηται παρά τό διῶ· τό διά· τοῦ ῖ γραφόμενον καί σημαίνει τό φοβοῦμαι· ἵν ἤ δίσα ἤ δύσοσμος,

ἦν φεύγομεν. εἴτε οὖν διὰ τοῦ ῑ. εἴτε διὰ τῆς ει διφθογγου. γράφοιτο τὸ διῶ καὶ δείω διαφόρως. ὅθεν δέος καὶ δίος διὰ τοῦ ῑ. ὅθεν καὶ δήδιε θάνω. καὶ τρίς-παρὰ ἄστυ Πριάμου δίον.

Δεξαμ/ή. ἡ δεχομένη. ὡς δεξάμενος ἡ μετοχή.

Δειδίσασθαι. ῥῆμα. καὶ δειδίσσω. τὸ πρῶτον δίφθογγον. καὶ τὸ δεύτερον ῑ. οὐδέποτε πρὸ τῶν δύο συμφώνων. δίφθογγον εὑρίσκεται. οἷον ἐλίσω. αἰνίσσω.

Δείδω σημαίνει τὸ φοβοβοῦμαι. ἀπὸ τοῦ δέος. δέω. γέγονε. κατὰ πλεονασμὸν τοῦ ῑ. δείω. καὶ κατ' ἐπενθέσει τοῦ δ δείδω. καὶ εἰς τὸ δεισίδαιμον.

Δείκηλον. ὥσπερ ἀπὸ τοῦ πέμπω γίνεται πέμπεος. σημαίνει δὲ τὸν πολλῶν ἐνιαυτῶν ὄντα. καὶ ὥσπερ ἀπὸ τοῦ ἄγω γίνεται ἄγε:λος. καὶ ἄγγελος; οὕτω καὶ ἀπὸ τοῦ δείκω τοῦ σημαίνοντος τὸ δεικνύω. γίνεται δίκε:λος. καὶ κατ' ἔκτασιν τοῦ ε εἰς τὸ η. δεί:κελος. σημαίνει δὲ τὸ ὁμοίωμα, φάσμα.

Δίκω. εἰς τὸ δείξω καὶ δυξούμενος. καὶ ἔδειξεν.

Δειλίω. ἐκ τοῦ δέω. τὸ φοβοῦμαι, δέοντος λίαν γίνεται.

Δείλη· διὰ τῆς ει διφθόγγου γράφεται. παρὰ τὸ ἐνδεῖν καὶ ἐλλείπειν τὴν ἴλην. ἢ τὴν θερμασίαν. δείλη οὖν φησίν ἐστιν. καὶ κατὰ κρᾶσιν τῶν δύο ε εἰς τὴν ει διφθόγγον γέγονε δείλη. ἐκ τούτου ἡ δείλη τῆς δείλης. ἐπιρρηματικῶς. οἱονεὶ δεί=λης ἦλθον.

Δειλός· κακός· ἄνανδρος· παρὰ τὸ φο=βεῖσθαι τὰς ἴλας τῶν πολεμίων· ἢ παρὰ τὸ δέω τὸ φοβοῦμαι· πλεονασμῶ τοῦ ι δείω ὁ μέλλων δείσω· καὶ ἐξ αὐτοῦ δειλός· ἢ παρὰ τὸ δέω δεινός· καὶ κατὰ τροπὴν τοῦ ρ εἰς λ· δειλός· κατὰ συγκο=πήν.

Δειλός· διὰ τῆς ει διφθόγγου γράφεται. ὥσπερ γὰρ παρὰ τὸν χύσω μέλλοντα τὸν δηλοῦντα τὸ χωρήσω· γίνεται χηλός· ἢ κιβωτός· καὶ παρὰ τὸν χύσω χυλός. καὶ παρὰ τὸν βήσω βηλός· ὁ βιασμός. οὕτω καὶ παρὰ τὸν δείσω δειλός· διὰ τῆς ει διφθόγγου

Δειλός· ὁ ἀσθενὴς παρὰ τὸ δέω τὸ φο=βοῦμαι δειλός· καὶ γίνεται ἐκ τοῦ δέε=λος· σημαίνει δὲ ὁ δειλὸς δύο· τὸν κακὸν καὶ τὸν ἄνανδρον· δειλὸς δὲ κυρίως ὁ —

δεδιῶς τὰς ἴλας τῶν πολεμίων· ἤτοι τὰ στίφη.

Δειλιῶ· ἐκ τοῦ δειλός· τοῦτο παρὰ τὸ δέος, ὃ σημαίνει τὸν φόβον· δειλὸς καὶ δειλός· σημαίνει δὲ τὸν δείλαιον. ὡς τὸ — ὤ μοι ἐγὼ δειλός· τίνυ μοι μήγιστα γένοιτο καὶ τὸ παρ' ἡμῖν λεγόμενον.

Δειλακρείων· ὁ δειλός· Ἀριστοφάνης

ὦ δειλακρείων πῶς ἦλθες· συντίθεται ἡ λέξις· παρὰ τὸ δειλός· καὶ τὸ ἄκρος· ὁ ἄκρος δειλός· εἴρηται δὲ καὶ δείλακρος· καὶ δειλακρίνας.

Δείλη· παρὰ τὸ ἐνδεῖν τηνικαῦτα τὴν ἕλην· ἀπὸ γὰρ τῆς μεσημβρίας ἀμυδροτέρα γίνεται ἡ τοῦ ἡλίου θερμότης. λέγεται καὶ δείλη· καὶ δειέλη· τὸ δείκω σημαίνει τριά· δείκω τὸ δεικνύω· ἐξ οὗ καὶ ἀπόδειξις· δείκω τὸ βάλλω καὶ ῥίπω· ἐξ οὗ καὶ δίκτυον· δήκω· τὸ δακνύνω· ἐξ οὗ καὶ δηγμός.

Δεῖμος· ὅμηρος. Δεῖμός τε ἠδὲ φόβος παρὰ τὸ δέος δεῖμοι· ὡς ἄνθος ἄνθιμοι· κύδος· κύδιμος· ὁ δέος ἐμποιῶν· ὄνομα πρέπων ἄρενος παιδίου.

Δεῖν. συναλοιφὴ τοῦ δέον. δεῖν. ὡς πλέον, πλεῖν.

Δεῖμα. ὁ φόβος. ὡς ἀπὸ τοῦ ποίησω μέλ-λοντος. γίνεται ποίημα. οὕτω καὶ ἀπὸ τοῦ δείσω γίνεται δεῖμα.

Δημαλέος. ὥσπερ παρὰ τὸ τάρφος γίνεται ταρβαλέος. οὕτω καὶ ἀπὸ τοῦ δεῖμα, ὅ σημαίνει τὸν φόβον γίνεται δειμαλέος. διὰ τῆς εἶ διφθόγγου.

Δειμάμενος. ἀόριστος πρῶτος. παθητικός. ἐδειμάμην. ἡ μετοχὴ δειμάμενος. ὅμηρος.

Δειματουμένη. φοβουμένη μετοχή. τρί-τη συζυγία. τῶν περισπωμένων ἐκ τοῦ δεῖμα. καὶ ὅμηρος.

Δεῖμα φέρων Δαναοῖσι

τοῦτο ἐκ τοῦ δεῖμος. ἀρσενικόν. τοῦτο ἐκ τοῦ δέω τὸ φοβοῦμαι. δείμοι. καὶ κατὰ συναίρεσιν δεῖμος. ὅ σημαίνει τὸν φόβον. ἐξ αὐτοῦ δεῖμα. δείματος. δειματοῦ ἀντὶ τοῦ φοβοῦμαι.

Δεῖμος ὁ φόβος. ἀπὸ τοῦ δέος γίνεται δεῖ-μος. καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι. εἰς τὴν εἶ δίφθογγον δεῖμος.

Δεῖν. τὸ πρέπον ἀπὸ τοῦ δέον γίνεται δεῖν. κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν εἶν

Δεῖσσα. ἀπὸ τοῦ δεῦσω μέλλοντος γέγονε δεῦσαι. καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι. δεῖσ=σα. καὶ ἡ παράδεισος. παρὰ τὸ δεῖσαν ἐστὶ καὶ τὴν παρὰ πρόθεσιν.

Δεισιδαιμονία. εἴρηται παρὰ τὸ δεδιέναι τοὺς δαίμονας. καὶ παρὰ μὲν τοῖς ἕλλησιν ἐπὶ καλοῦ λαμβάνεται. ὡς δέον δεδιέναι τοὺς θεοὺς αὐτῶν. παρ' ἡμῖν δὲ τοῖς χριστι=ανοῖς, ἐπὶ τῆς ἀσεβείας. λέγεται τὸ δυσ=ειδαιμονίας. ὄνομα. οὐ τοὺς δαίμονας γὰρ δε=διέναι χρῆ. ἀλλὰ τὸν ὄντως ὄντα. κἀκείνους μὲν μισεῖν ὡς ἐχθροὺς. καὶ πολεμίους καὶ ἀσπόνδου ἀεί.

Δεισιδαιμονία. ἡ πρὸς τοῦ θεοὺς εὐσεβεία.

Δεισιδαιμονία. ἡ πρὸς τοῦ πονηροὺς δαί=μονας ἐπιμέλεια καὶ φόβος. γίνεται δὲ παρὰ τὸ δείω. ὃ σημαίνει τὸ φοβοῦμαι ὃ μέλλων δήσω. καὶ τοῦ δαίμων ὃ σημαίνει τὸν θν'.

Δεισιδαίμων. ὃ δεδηὼς τοὺς δαίμονας. πα=ρὰ τὸ δαίω. δαίσω. δεῖσθαι παρὰ τὸν δεῦσω μέλλοντα. ὃ βοτανώδης τόπος.

Δείω. εἰς τὸ ἔδδεισε.

Δείσω. εἰς τὸ δεισιδαίμων καὶ ἔδδεισε.

Δέησις. παρὰ τὸ δέω τὸ παρακαλῶ, δέησις

δὲ ἱκεσίας διαφέρει οὐδέν.

Δέησις. δεήσις. καὶ Ἀττικῶς δεῆ. καὶ ἐπὶ τὸ ἐπίρρημα.

Δέησις καὶ προσευχὴ καὶ εὐχαριστία. καὶ ἔντευξις διαφέρει. δέησις μέν γάρ ἐστιν, ὅταν τὶς ἀξιοῖ τὸν θν εἰς πρᾶγμα. ἢ ὑπὲρ ἀπαλλαγῆς τινων λυπηρῶν ἱκεσίαν προσφέρει. προσευχὴ δὲ αἴτησις ἀγαθῶν. εὐχαριστίαν δὲ ὅταν τὶς ὑπὲρ ὧν εὐπαθῆσεν εὐχαριστῇ τῷ θεῷ. ἔντευξις δὲ κατηγορία τῶν ἀδικούντων. ὡς καὶ παῦλος δοκεῖ.

Δεκάς. πόθεν παρὰ τὸ δεκτικόν αὐτὴν εἶναι τῶν ἀριθμῶν. οἱονεὶ δεκάς οὖσα. ἡ τοὺς λοιποὺς ἀριθμοὺς ἐν αὐτῇ δεχομένη.

Δεκάς. παρὰ τὸ δέχεσθαι. παρὰ τὸ δέχεσθαι πάντα τὰ γένη τῶν ἀριθμῶν.

Δεκάς. λέγεται οἱονεὶ δεκάς τις οὖσα. ὁ γὰρ δέκατος δέχεται ἢν περιέχει ἐν ἑαυτῷ πάντας τοὺς πρὸ αὐτοῦ ἀριθμούς. ὡς δεκτικὸς ὢν πάντων. λέγεται δέκατος. καὶ ὅτι μέχρις αὐτοῦ προϊόντες οἱ ἀριθμοί, ἐπαναχάμπτουσιν ἐπὶ τὴν μονάδα. διὸ καὶ δευτέρου μένην μονάδα καλοῦσι τὴν δεκάδα οἱ πυθαγορεῖοι.

Δέκατος. πόθεν γίνεται παρὰ τὸ δέχωτὸ

Λαμβάνω. δέκατος καὶ δέκατος. δεκτικὴ γαὲ ἐστι πάντων τῶν ἀριθμῶν ἡ δεκάς. πό-
:δεν δέκατος. ἀπὸ τοῦ δεκάς. τοῦτο παρὰ τὸ δέχω δεκάς. καὶ δεκάς. ἢ τοῦ ἀριθμοῦ δεχο-
:μένη.

Δεκαδωτήριον. τελώνιον. ἀπὸ τοῦ δεκαδώ-
:της. τοῦτο παρὰ τὸ δεκατῶσιν. δεκατώ-
:σιν δὲ ἀπὸ τοῦ δεκάτας εἰσπράττεσθαι καὶ
λαφυραγωγεῖν. τὰ γαὲ ἀπὸ τῶν - - χ.
ληφθέντα ἐδεκατοῦντο θεοῖς. διὸ κυρίως
δεκατοῦσθαι τὸ πολιορκοῦσθαι. μεταφορικῶς
δὲ καὶ τὸ δεκάτην ὁποδήκω λαβεῖν, ἢ ἀπο-
:τῖσαι.

Δεκαχόρδω. ἡ ᾠδεῖα δεκάχορδος. γίνεται
δὲ παρὰ τὸ δέκα καὶ τὸ χορδή. δυμαίνει
δὲ ἔντερον. ἐτυμολογεῖται δὲ παρὰ τὸ χέειν
ᾠδήν. ἢ παρὰ τὸ χέειν κάτωθεν τὴν χορη-
γουμένην ἐδωδήν.

Δεκάχορδος. παρὰ τὸν δέκα ἀριθμὸν, καὶ
τὸ χορδή. τοῦτο παρὰ τὸ χέω τὸ δυμαίνον
τὰ κοινῶς. χορδὴ καὶ χορδή. τὸ χέον ᾠδήν.
ἢ παρὰ τὸ χωρεῖν τὴν ἐδωδήν. ὁ δυμαίνει
τὴν τροφήν.

Δέκας ὁ ἀριθμός. παρὰ τὸ δέχομαι δεχάς.
διὰ τὸ δέχεσθαι τὸ ἄπειρον. ὀρφικῶς δὲ-

κλαδοῦχον αὐτὸν ὀνομάζει· ὅτι πάντες οἱ ἀριθμοὶ ἐξ αὐτοῦ φύονται.

Δέκτο· ἐκ τοῦ δέχω δέξω· καὶ πλεονασμῷ τοῦ ι δεξιῶ· καὶ ἐδεξιοῦτο τὸ λυτρον· ἀντὶ τοῦ φιλοφρόνως ὑπεδέχετο· λοιπὸν ἐκ τοῦ δέξω ὁ παρακείμενος· δέδεχα· ὁ παθητικὸς δέδεγμαι· ὁ ὑπε ἐδεδέγμην· τὸ τρίτον ἐδέδεκτο· καὶ συναρχομένω δέδεκτο· καὶ συγκοπῇ δέκτο· καὶ δέχεαται ἄποινα.

Δέλεαρ παρὰ τὸ δόλος δέλεας· καὶ δέλεαρ· ἤτοι παρὰ τὸ δόλον· ἢ παρὰ τὸ ἑλεῖν· καὶ πλεονασμῷ τοῦ δ δέλεαρ τὸ βέλος· δολερὸν γὰρ ἐστιν.

Δελφίνιος· οὕτω καλεῖται ὁ Ἀπόλλων καθ' ἱστορίαν.

Δέλφακες· οἱ χοῖροι· ἀπ' αὐτῶν καὶ δελφοὶ διὰ πονηρίαν· ἐπεὶ καὶ ὅμηρος ὁλόφρονας αὐτοὺς καλεῖ· οἱ γὰρ πονηροὶ δελφοὶ προσηγορεύοντο· καὶ οἱ τυρηνοὶ διὰ τὴν πονηρίαν.

Δέλτος· βίβλος· παρὰ τὸ δηλοῦν.

Δέλλιαθε· εἰς τὸ ὄρνιθες· ζωΰφιον ὅμοιον μελίσσης.

Δέλφικα· τὸν τρίποδα ῥωμαῖοι ἐπεὶ πρῶτον ἐν δελφοῖς γέγονε.

Δελφύς. εἰς τὸ ἀδελφειός.

Δέμας. διὰ τὸν δεσμόν. γίνεται δὲ ἀπὸ τοῦ διδῶ. διδεῖς. διδεῖ. δίδημι. ὅ παθη-στικὸς παρακείμενος δέδεμαι. ἐξ αὐτοῦ δέμας. τὸ γὰρ σωμ^ε. δεσμός ἐστι τῆς ψυχῆς. δεσμὸς δέ. ἀπὸ τοῦ δέω. βαρυτο^ης. ἀπὸ τοῦ δεῶ περισπωμένου. δεῖ δὲ γινώσκειν ὅτι ὁ ποιητής, δέμας εἴωθε λέγειν τὸ ἔμψυχον. παρὰ τὸ δεδέαθαι τὴν ψυχὴν ἐν αὐτῷ. σῶμα δὲ τὸ ἄψυχον. ἐπειδὴ σῶμα ἐστι τοῦ ποτέ ζῶντος. ἢν τάφος.

Δέμας. παρὰ τὸ δέμα εἶναι τῆς ψυχῆς. δέμας σώματος διαφέρει. δέμας μὲν γὰρ ἐστι καὶ καλεῖται κυρίως τὸ σῶμα τὸ ζῶν. σῶμα δὲ τὸ νεκρόν. καὶ εἰς τὸ σῶμα.

Δέμας λέγεται. οἱονεὶ δεσμὸς τῆς ψυχῆς.. ἢ παρὰ τὸ δεδέαθαι ἐν αὐτῷ τὰ μέλη.

Δεμήλια. εἰς το γαμήλια.

Δέμνια. ἐγκοίτια. στρώματα. ἀπὸ τοῦ μένειν ἐν αὐτοῖς τὸ δέμας. ἀπὸ τοῦ δέμας εἰς αὐτὰ μένειν δέμνιον. ἢ παρὰ τὸ δέ-μω δέμνιον. ὡς παίζω παίγνιον. τὸ εἰς σώματα ἀνάπαυσιν ὠκοδομημένον. ἢ ὡδεδέν. ἢ παρὰ τὸ δεδεσμεῖαθαι ἡμᾶς κοιμωμένους μηδὲν πράττοντας.

Δεμω. εἰς τὸ δαμᾶ καὶ δεινάμενος. καὶ θεμελίον.

δενάηω εἰς τὸ ἀνδαάκην.

Δενδύλλον διανευόμενος. παρὰ τὸ δίνειν τοὺς ἴλλους ἢ τοὺς ὀφθαλμοὺς κινεῖν καὶ μεταφέρειν. ἴλλοι δὲ οἱ ὀφθαλμοί. οἱ ῥαδίως εἱλούμενοι καὶ συστρεφόμενοι. προσεκατέρω.

Δένδρον παρὰ τὸ δέω δρᾶσθαι. ἢ παρὰ τὸ ἀδρύνεσθαι.

Δέξασθαι. εἰς τὸ λαβεῖν.

Δεξιτέρη. ἔκριται ἡ δεξιὰ. ἀπὸ τοῦ δέχεσθαι δι' αὐτῆς τὸν ἄνον τὰ διδόμενα. ἢ ἀπὸ τοῦ δι' αὐτῆς διεξίεναι τὰς πλείονας πράξεις. εἴπερ διὰ τῆς ἀριστερᾶς.

Δέλφαξ ὁ γαλατινὸς χοῖρος. Ἐπίχαρμος.

Δέλφακά τε τῶν γειτόνων τοῖς ἐλευθινίοις φυλάσσω.

παρὰ δὲ τὴν δελφὺν τὴν μήτραν, κυρίως γὰρ ἐπὶ τῆς θηλείας λέγεται δέλφαξ, ἡ δελφὺν ἔχουσα.

Δελφός. καὶ × × καλλίμαχος.

Δελφὸς ἀνὴρ ἐμὸς ἱερόεργος.

τὸ ἔθνος οἱ πυθιοι. παρὰ τὸ ἀδελφοί τινες ὄντες κατὰ ἀφαίρεσιν τοῦ ᾱ τὰ τοῦ-

Διονυσου μέλη παράξαντες. οἱ τιτάνες.
τῷ Ἀπόλλωνι παρέθεντο. ἐμβάλοντες λέβητι.
ὅδε παρὰ τῷ τρίποδι ἀπέθετο. παρὰ τὸ
τοῦ ἀδελφοῦ δελφοί. τοῦ ᾱ ἀφαιρεθέν-
τος.

Δέλτα. τὸ στοιχεῖον οἱονεὶ δερτάτειον
τὸ ἐλλεῖπον τῇ ἐπάρσει. ἰσόπλευρον γὰρ
ὂν τοῦτο ἐνδεὲς ἐστιν ἐπάρσεως. τινὸς καὶ
ἀφαιρέσεως. οὐ γὰρ ἀφαιρούμεθα τι τῶν
ἴσων. ἵνα ἴσα γένηται. ἐπεὶ οὕτω ἔτυχον
ἔχειν ἐκ τῆς καταρχὴν ἐκτυπώσεως. ἄλ-
λοι δὲ ἀπὸ τοῦ δέλτω τοῦ σημαίνοντος
τὸ εἰρῆσθαι. καὶ τὸν τύπον ἔχειν τοῦ
δ προεβάλλοντο τοῦ ἐξ ἀστέρων συγκειμέ-
νου. καὶ Ἄρατος μνημονεύει λέγων

Δέλτο τὸ πλευρῇ, ἴσαι κεν ἐοικός.

Δέρκω τὸ βλέπω ἐξ οὗ καὶ δράκων καὶ
δορκάς.

Δέχω σημαίνει τὸ δέχομαι. ἐξ οὗ καὶ δεξ-
ιά. καὶ δέπας τὸ ποτήριον.

Δεσποτάτοι. λειτουργοὶ ἀφορίσμενοι.

Δέος παρὰ τὸ δείω τὸ φοβοῦμαι. ὡς
νείφω νέφος.

Δέπας. εἴρηται οἱονεὶ δέχας, ἀπὸ τοῦ δέ-
χεσθαι τὸν οἶνον τροπῇ τοῦ χ εἰς π.

καὶ μεταθέσει τοῦ τόνου. οἷον πλησάμενος.
οἴνοιο δέπας.

Δεξιά. παρὰ τὸ δεῖξιν αὐτὴν εἶναι. δι' αὐ:
:τῆς γὰρ δεικνύομεν τὰ ζητούμενα. ἢ
παρὰ τὸ δέχω δεχιὰ καὶ δεξιά. ἢ πρὸς
τὸ δέχεσθαι ἐπιτήδειος οὖσα. ἐστὶ δὲ
τριγενές. τὸ ἀρσενικὸν ὁ δεξιός. τὸ
οὐδέτερον τὸ δεξιόν. καὶ ἐξ αὐτοῦ δεξι:
:οῖς ἡ δοτικὴ τῶν πληθυντικῶν.

Δεξιτερῆφι. δέπας. πότε οἱονεὶ δέχας
ἀπὸ τοῦ δέχεσθαι τὸν οἶνον. τροπῇ τοῦ
χ εἰς π. καὶ μεταθέσει τοῦ τόνου. οἷον
πλησάμενος οἴνοιο δέπας.

Δεξιά. ἐκ τοῦ δέχω, δέξω. καὶ πλεονασ:
:μῶ τοῦ ι ἐγράφη εἰς τὸ δέκτη.

Δέρος. κώδιον παρὰ τὸ δείρω δέρος, ὡς
μείρω μέρος. καὶ φθείρω φθόρος.

Δεξιάδην. δεξίου υἱόν. ἢ ἀντὶ τοῦ ἐκ δεξ:
:ιῶν. εἴτε οὖν ὄνομα πατρωνυμικὸν τὸ
δεξιάδην. εἴτε ποιότητος ἢ τόπου.
ἐπίρρημα δύναται εἶναι καὶ τοῖς ἄνοις.
καὶ τοῖς ἑπομένοις συντάττε[illegible]. αται.

ἢ γὰρ ἰφίνοον Δεξιάδην βάλεν. ἢ
βάλλε δεξιάδην ὦμον. ἢ
Δεξιάδην ἐπιάλμενον.

ἀπὸ τῶν δεξιῶν ὤμων.

Δέξω. εἰς τὸ δεξούμενοι.

Δέπας· τὸ ποτήριον· παρὰ τὸ δέχεσθαι τὸ πόμα.

Δέρρας· εἰς τὸ γέρρων.

Δέρκειν· εἰς τὸ ἀτρεικέως καὶ δορκάς

Δέρμα τὸ συνεχηκὸς τὸ σῶμα οἷον δέρ=μα τί ὄν.

Δέρμα παρὰ τὸ τέρμα εἶναι τοῦ σώμα=τος τῶν κτηνῶν.

Δέρμα βύρσης διαφέρει.

Δέρριν ἢ εὐθεῖα δέρρις· σημαίνει δὲ τὴν δοράν τοῦ κτήνους· γίνεται δὲ παρὰ τὸ δέρω τὸ ἐκδέρω.

Δέρμα παρὰ τὸ διερεῖσθαι αὐτὸ ἀπὸ τῆς σαρκὸς ἤτοι ἐκφέρεσθαι.

Δέρρις· εἰς το δειρή.

Δέρρις ἱμάτιον παχύ· ἤτοι παράπετασ=μα ἐπὶ ταῖς θύραις ταῖς αὐλίαις βαλ=λόμενον· Εὔπολις.

γυνὴ μέλαιναν δέρριν ἠμφιεσμένη.

ἐπὶ δὲ τοῦ παραπετάσματος Πλάτων. παρὰ τὸ δερωδέρις καὶ ἐν πλεονασμῷ τοῦ ρ̄ δέρρις.

Δέρω· εἰς τὸ δέρω καὶ δόρυ.

Δεσπότης· παρὰ τὸν δεσμόν· ἀφ' οὗ τὸ δέος· ἐπειδὴ τῶν ὅλων δεσμός ἐστι συνέχων τὰ ἄλυτα καὶ σφίγγων αὐτά· ἢ παρὰ τὸ

δεσπόζω. δεσπόσω. ὁ παρακείμενος δεδέσ-
ποκα. ὁ παθητικὸς δεδέσπομαι. τὸ δεύ-
τερον δεδέσποσαι. τὸ τρίτον δεδέσποται.
καὶ ἐξ αὐτοῦ δεσποστής. καὶ τῇ ἐλλείψει
τοῦ σ̄. ἀνεμιμάσθη ὁ τόνος. ἢ δεσπόστις
ὢν ὁ δέος ἐμποιῶν τοῖς ἱκέταις. ἢ
δεσπόστις, διὰ τὸ τὰ πάντα περιέχειν.
καὶ συγκρατεῖν. ἢ εἰς τὸ κυρίως.

Δεσπότης. παρὰ τὸ δέος ποιεῖν. ὁ τοῖς
δούλοις φοβερός. ἢ παρὰ τὸ δέω δεσμώτης
καὶ δεσπότης. ὁ δέσμα περικάλλων καὶ
δουλαγωγῶν.

Δέρτρον τὸ δέρμα. παρὰ τὸ δέρω. ὡς
φέρω, φέρτρον.

Δευοίατο. ἔχρηζε. ῥῆμα ἐυκτικὸν παθη-
τικὸν μ̃ ᾶν τρίτον τῶν πληθυντικῶν.
καὶ οἱ ἰώνες ἐπὶ τῶν ἐυκτικῶν τοῦ
τρίτου προσώπου τῶν πληθυντικῶν με-
τατιθέασι τὸ ν̄. εἰς τὸ ᾱ. τὸ γὰρ πείθων-
το πεπειθοίατο λέγουσιν. οὕτω καὶ τοῦτο.

Πόθεν γίνεται τὸ δεῦρο καὶ τὸ δεῦτε.
τὸ μὲν δεῦτε ἀπὸ τοῦ θεύσω θεῦτε. τρο-
πῇ τοῦ θ̄ εἰς δ̄. καὶ τοῦ σ̄ εἰς ρ̄. κατὰ
Ἐρετριέας. ἢ ἠλείους. διὰ τοῦτο καὶ κλί-
νεσθαι αὐτὸ ὁμοίως τοῖς ῥήμασιν εἰς
ἀριθμοὺς καὶ πρόσωπα. ἢ ἀπὸ τοῦ θεύω

θεύσω, οἱ γὰρ προσκαλούμενοι θέουσι πρὸς τοὺς καλοῦντας. τὸ δὲ δεῦρο ἀπὸ τοῦ δεύσω. τροπὴ τοῦ σ̄ εἰς ρ̄. καὶ τοῦ ω̄ εἰς ο̄. δύο δὲ σημαίνει τὸ δεῦρο, τὸ ἐνταῦθα. ὡς ἐν τῷ δεῦρο μαχησόμεθα. καὶ τὸ ἔξελθε ὡς ἐν τῇ θείᾳ γραφῇ. Λάζαρε δεῦρο ἔξω.

Δεῦρο ἐπίρρημα παρακελευστικόν, οὐδὲν δὲ ἐπίρρημα εἰς ο̄ λήγει πλὴν τοῦ δεῦρο καὶ ἀπὸ τὸ γὰρ ψὸ ποιμενικὸν ἐπίφθεγμα.

Δεῦρο ἐπίρρημα χρονικόν. δηλωτικὸν καὶ γράφεται ὥσπερ καὶ τὸ δύο μικρόν. καὶ μέγα Ἀττικῶς. ἔστι δὲ καὶ ῥῆμα προστακτικόν. καὶ σημαίνει δύο τὸ ἔξελθε. ὡς τὸ λάζαρι δεῦρο ἔξω. καὶ τὸ ἐνταῦθα. δεῦρ' ἴθι. τὸ πληθυντικὸν αὐτοῦ δεῦτε. εἰ γὰρ ὃ κἂν λάβοι ἀπὸ ἐπίρρημα ἀνοίκειόν ἐστιν. ἐπειδὴ τὰ ἐπιρρήματα, ἀριθμὸν οὐκ ἐπιδέχονται. κανὼν γάρ ἐστιν ὃ λέγων.

Δέννυσος ὁ διόνυσος. ἀπὸ τοῦ διόνυσος τοῦ ῑ τραπέντος εἰς ῡ δεόνυσος. οὕτω γὰρ Σάμιοι προφέρονται. συναίρεσις δὲ

ἰωνικὴ δεύνυσος. ὡς θεόδοτος. δεύδοτος. ἔνιοι δὲ αὐτὸν δεόνυσον ὀνομάζεσθαι φασίν. ἐπει=δὴ ἐβασίλευσε νίσης. κατὰ γὰρ τὴν τῶν ἰνδῶν φωνὴν, δεῖνος ὁ βασιλεύς.

Δευσοποιόν. εἰς τὸ ἐξίτηλον.

Δεύσω. εἰς τὸ δεῖσθαι.

Δεύτατατος. ὁ ἔσχατος. παρὰ τὸ δέεσθαι καὶ ἐνδεῖν.

Δεύτερος. παρὰ τὸ δεύω τὸ λείπω. ὁ λειπούμε=νος τοῦ πρώτου.

Δεύτερον αὐθέρηκα. ἐπίρρημα χρονικόν, δηλωτικόν.

Δεύτε. ἐπίρρημα παρακελεύσεως. γίνεται δὲ παρὰ τὸ θέω τὸ τρέχω. θεύτε καὶ δεύτε.

Δεύω. εἰς τὸ δέω. σημαίνει δὲ τὸ βρέχω. ἀπὸ ζεύς. διός. δεύω. ἐξ οὗ καὶ διαίνω.

Δεῶ. εἰς τὸ ξυνεδεδέατο.

Δέω καὶ δεύω, ἐξ οὗ καὶ ἥδοτι καὶ χρυσοῦ ἐπιδεῦαν. ὁ ἐνεστώς. δεύω τὸ χρήζω καὶ πλεονασμῶ τοῦ υ καὶ ποιητικῶς. ἔστι γὰρ περισπώμενον δεῶ. δεῆσα, ἐδέησα, ἐδέησε. καὶ πλεονασμῶ ἐδεύησεν. ἐκ τοῦ δεύω. τὸ τρί=τον δεύεται. καὶ οἱ ἰώνες ἀποβολὴ τοῦ τ τοῦ τρίτου προσώπου, ποιοῦσι τὸ δεύτερον. ἐκ τοῦ δέω γίνεται καὶ δεύτερος. καὶ εἰς τὸ δειλός. καὶ δειματουμένη καὶ δημιουργήθη

καὶ δῆμα καὶ διδά . . . καὶ δοιῶ, καὶ ἔνδεια. καὶ ὑπόδημα. καὶ φλύναφος.

Δηθᾶ. ἐπίρρημα χρονικὸν δηλωτικόν. ἐκ τοῦ δηνᾶ γίνεται δηνθά. καὶ ἀποβολῇ τοῦ ν̄ δηθᾶ.

Δηθύνονται. ἐκ τοῦ δήν. γίνεται δήθην καὶ δηθύω ῥῆμα. καὶ ἐξ ἀντοῦ δηθύνω. τὸ παθητικὸν δηθύνομαι. καὶ ἐστι τρίτου προσώπου τῶν πληθυντικῶν.

Δηθύνω. ἐκ τοῦ δηθά. ὃ σημαίνει τὸ ἐπὶ πολύ. γίνεται δηθύω. καὶ πλεονασμῷ τοῦ ν̄ δηθύνω. πλεονάζει γὰρ ἐν τοῖς ῥήμασι.

Δεύω τὸ χρήζω. ἐξ οὗ καὶ ἔδευσα. δεύω τὸ βρέχω. ἐξ οὗ καὶ ἔδευσε τὸ ἔβρυχε.

Δεύειν τὸ βρέχειν. κυρίως δὲ τὸ ὑποποδιὸς βρέχεσθαι. ἔνθεν καὶ δίερος ὁ ὑγρός.

Δέω σημαίνει ἐννέα. πέντε διὰ τῆς αῖ διφθόγγου καὶ τέσσαρα διὰ τοῦ ε̄ ψιλοῦ καὶ πιμ᾽ διὰ τῆς. αῖ διφθόγγου εἰσὶ ταῦτα. δαίω τὸ μανθάνω, ἐξ οὗ καὶ δαίμων οἱο=νεί. δαήμων τις ὤν, καὶ ἐδάην τὸ ἔμα=θον. ὁ δεύτερος ἀόριστος ἔδαον. καὶ δαΐμων ὁ ἔμπειρος. δαίω. τὸ μερίζω. ἐξ οὗ καὶ δαιτρὸς ὁ μάγειρος. ἢ ὁ ἐν τῇ

τραπέζει κόπτων τὰ κρέα. δαίω τὸ ἐνω-
-χοῦμαι. ἐξ οὗ καὶ δαῖς δαιτὸς ἡ ἐνωχία.
καὶ δαιτυμόνες οἱ φίλοι. δαίω τὸ καίω
ἐξ οὗ καὶ δάδες αἱ κεόμεναι. ἡ ἐνθεῖα.
δαί. δαδός. δαίω τὸ χορεύω. ἐξ οὗ καὶ
δαῖσαι τὸ χορεῦσαι. τὰ δὲ διὰ τοῦ ἐ
ψιλοῦ εἰσι ταῦτα. δέω τὸ φοβοῦμαι. ἐξ
οὗ καὶ δέος ὁ φόβος. δέω τὸ ἱκετεύω καὶ
χρήζω. ἐξ οὗ καὶ δέησις καὶ δέομαι. δέω
τὸ δεσμεύω. ἐξ οὗ καὶ δεσμός. καὶ δημ[illegible]ο
ὁ συνδεδεμένος ὄχλος. δέω τὸ πρέπω.
ἐξ οὗ καὶ τὸ ἔδεον ἔδεε. καὶ ἔδει γενέσθαι.
ἀντὶ τοῦ ἔπρεπε, καὶ κατὰ κρᾶσιν ἐπι
. . . . οἷον δέω τὸ δοκῶ ἐξ οὗ ἀπροσ-
-δεής. καὶ ἐπιδεής. καὶ μικροῦ δέω.

Δέργματα τὰ ὄμματα. δέρξεις γὰρ
ἀποβλέψεις. ὥστε ἀπὸ τῶν βλεπομένων
καὶ τῆς ἐνεργείας ὠνόμασται δέρκεσθαι.
δῆλον δὲ τὸ βλεπόμενον.

Δηλέτιον. φάρμακον, ὀλέθριον. καὶ βο-
-τάνη βανάσιμος. εἴρηται δὲ παρὰ τὸ
δειλήσασθαι καὶ βλάψαι.

Δημήτηρ. ἡ θεός. γημήτηρ τίς ἐστι.

καὶ αὐτὸ δὲ τὸ γῇ δωρικῶς διὰ τοῦ δ λέγει δᾶ· ἡ δήμου μητήρ· καὶ δημή=
=τηρ κατὰ συγκοπήν

Δηθύω· τὸ ἐγχρονίζω ἐκ τοῦ δηθᾶ ὃ σημαίνει τὸ ἐπίπολύ·

Δήϊος· ἐκ τοῦ δαίω· τὸ καίω γίνεται δήϊω· καὶ περισπώμενον δηϊῶ· τρίτης συζυγίας· καὶ δεηθέντων ἀχαιῶν· καὶ διαλύσει τοῦ δαίω δαιω· καὶ πλεονασμῶ τοῦ ζ· δαΐζω· ἐκ τοῦ δαίω γίνεται ὄνομα δάϊος· καὶ τροπῇ δήϊος·

Δηϊώσωσι· παρὰ τὸ δαίω· τὸ κόπτω καὶ δια=
=λύσει τῆς αι· δαΐω· καὶ ἐξ αὐτοῦ ὄνομα δάϊος· καὶ τροπῇ τοῦ α εἰς η· δήϊος· καὶ ἐξ αὐτοῦ ῥῆμα περισπώμενον δηϊῶ· δηϊώσω· ἐξ οὗ καὶ τὸ δηΐσωσι·

Δήκω εἰς τὸ ἔδειξε καὶ ἤνδανε·

Δηϊώσας· διακόψας·

Δηλαδή· ἀπὸ τοῦ δῆλον· ὃ σημαίνει τὸ φανερὸν καὶ τοῦ δὴ συνδέσμου· φανερὸν δή·

Δηλονότι· φανερὸν ἐξ ἅπαντος·

Δηλήσεται· ἐστι ῥῆμα δηλῶ τὸ βλάπτω· πα=
=ρὰ τὸ κῆλα· τὰ βέλη· οἱονεὶ φθαρτικὰ

καὶ βλαπτικὰ κατὰ τροπὴν τοῦ κ̄ εἰς δ̄.
ὦς. καίω. δαίω. γίνεται δηλῶ. σημαίνει δὲ
δύο τὸ φανερὸς καὶ τὸ βλάπτω.

Δηλητήριον δηλῶ. ὃ σημαίνει τὸ βλάπτω
τοῦτο ἀπὸ τοῦ δῆρις. ὃ σημαίνει τὴν μά=
=χην. δηρῶ. καὶ δηλῶ. τοῦτο παρὰ τὸ δαίω
τὸ κόπτω. καὶ εἰς τὸ φάρμακον.

Δηλονότι. παρὰ τὸ δῆλον. ὃ σημαίνει τὸ
φανερόν. καὶ τὸ ὅτι. ὃ σημαίνει τὸ πάνυ
φανερόν. τὸ δὲ. ὅτι ἔστιν ἐπιτάσεως ἐπίρρη=
=μα.

Δῆλον παρὰ τὸ δαίω. δήσω. δῆλον. δηλοῖ
δὲ τὸ ἀναιρεῖν εἰς τὸν γεούεσϊ.

Δήγειρες. στρουθοι. δημαγωγόπ. ἄρχων.
ἐκ τοῦ τὸν δῆμον ἄρχειν καὶ διοικεῖν.

Δῆλος. εἰς τὸ ἀΐδηλος. καὶ ἀρίδηλος. καὶ
ἀρίζηλος. καὶ ἐξίτηλος. καὶ ἠέλιος. καὶ
ἥλιος.

Δηλῶ. εἰς τὸ δηλήσεται. καὶ δηλητήριον.

Δημαγωγὸς ἄρχων. ἐκ τοῦ τὸν δῆμον
ἄγειν. καὶ δικάζειν καὶ διῴκεῖν.

Δημήτηρ ἡ γῆ. τουτέστι δήμου μητήρ.
καὶ πάντων τροφός.

Δημήτηρ. παρὰ τὸ γῆμήτηρ τίς οὖσα.
τροπῇ τοῦ δ̄ εἰς γ̄. ἢ παρὰ τὸ δηοῦν

τὴν γῆν. ὁ ἐστι τέμνειν. ἢ παρὰ τὸ δα-
ίειν. ὅ ἐστι καίειν. λαμπαδοῦχος γὰρ ἡ θεός.
Δημήτηρ καὶ δάματηρ. διαφέρει παρὰ τοῖς
Ἀττικοῖς. Δημήτηρ μὲν γάρ ἐστιν ἐπὶ τῆς
θεοῦ. δάματηρ δὲ ἐπὶ δαυμασμοῦ.
Δημήτηρ. παρὰ τὸ δύλειν τὴν γῆν ἢν τῷ
ἀρόδρῳ. ἢ παρὰ τὸ δαίειν. ὁ ἐστι καίειν.
λαμπαδοῦχος γὰρ ἡ θεός. ἢ ὅτι ζητοῦ-
σῃ αὐτῇ τὸν περσεφόνα ἔλεγε δήεις.
ἢν εὑρήσεις.
Δημιουργός. τεχνίτης. ὁ δεδημαμένος
τὰ ἔργα. ἢν ποιῶν. καὶ ἐκ τοῦ ποιητής.
Δημιουργῶ. ὁ μέλλων δημιουργήσω. ὁ
ἀόριστος παθητικὸς ἐδημιουργήθην.
ἡ μετοχὴ δημιουργηθείς. τὸ θηλυκὸν
δημιουργηθεῖσα. τὸ δὲ δημιουργός πα-
ρὰ τὸ δήμιος. καὶ τὸ ἔργω. γίνεται
δημιουργός. τὸ δὲ δήμιος. παρὰ τὸ
δῆμος. τὸ δὲ δῆμος. ἔστι δέω τὸ δεσ-
μῶ. ἐξ οὗ τοῦ δέμος. καὶ τροπῇ τοῦ
ε εἰς η δῆμος. ἢν ὁ δωκεφιγμένος λαός
ἢ παρὰ τὸ δέω τὸ ἐνδύομαι. οὗ ὁ μέλλων
δεδύσω. δεδύκα. δεδυμαι. δῦμος καὶ
δῆμος. ὁ ἐνδεδυμένος τοῖς ἔχουσι.—

δημιουργός δὲ λέγεται ὁ τὰ κοινὰ ἐργα=
=ζόμενος.

Δημιουργός. πολλὰ σημαίνει ἡ λέξις. ση=
μαίνει γὰρ τοὺς τὰ κοινὰ ἐργαζομένους
τεχνίτας. ἀφ' ὧν καὶ ὁ πάντων ποιητὴς
θεὸς δημιουργὸς εἴρηται. καὶ δημιουργοὶ
ἐκαλοῦντο παρὰ τε Ἀργείοις καὶ θεττά=
=λοις οἱ περὶ τὰ τέλη. ἵνα σημαίνη τοὺς
τὰ δημόσια ἐργαζομένους. καὶ φροντίδας
ἔχοντας. σημαίνει δὲ καὶ τὰς παρὰ τοῖς
Ἀττικοῖς. τοὺς πλακοῦντας ἐργαζομένους
γυναῖκας.

Δημηγόρος. ὁ δημιουργός. δημιγόρος δὲ....

Δημοκράτης. ὁ τὸν δῆμον.

Δήμος. τὰ περιληπτικά, δύο συντάξεις
ἐπιδέχονται. τῷ λόγῳ τῆς φωνῆς. καὶ
τῷ λόγῳ τοῦ σημαινομένου. ἡ μὲν φωνὴ
ἑνική. τὸ δὲ σημαινόμενον παθητικόν.

Δῆμος. ὄνομα. διότι εὑρέθη παρὰ Δορι=
=εύσι. λεγόμενος δᾶμος. καὶ τροπῇ τοῦ
ἀ εἰς η̄. γίνεται δὲ παρὰ τὸ δίδημι
τὸ δεσμεύω. ὁ μέλλων δήσω. καὶ ἐξ αὐ=
=τοῦ δῆμος.

Τί διαφέρει δήμος καὶ δημός. δήμος ὁ
λαός. δημὸς δὲ τὸ λίπος. ἐν πίονι δημῷ.

γίνεται δὲ παρὰ τὸ δαίω τὸ καίω. ἔδαον δαμός. καὶ τροπῇ τοῦ ᾱ εἰς η̄. δημός τὸ λίπος. σημαίνει δὲ τὸ λίπος. καὶ τὸν δημότην. κατὰ διάλεκτον.

Δῆμος τὸ πλῆθος. παρὰ τὸ δέω. δεσμῶ. τὸ συνδεδεμένω πλῆθος. δέος, δέοσμος. καὶ δῆμος. ἢ παρὰ τὸ δέμας. οἷον ἓν σῶμα ὑπάρχει. ἢ παρὰ τὸν δαιμόν τὸν μερισμόν. ἔνθεν δημήτηρ. ἢ τῶν δασ:μῶν μήτηρ καὶ δαῖς ἢ τροφή.

Δημός ὀξυνομένως τὸ λῖπος. πίονι δημῶ. παρὰ τὸ δέω τὸ καίω. τὸ καίομενον ἐν ταῖς θυσίαις. ὡς παρὰ τὸν θῦ θυμός. χύω. χυμός. δήω. δημός. καὶ ἄλλως. δημός τὸ λίπος. παρὰ τὸ δαίω τὸ καίω. δαίμος καὶ δαμός. καὶ τροπῇ τοῦ ᾱ εἰς η̄. δημός. τὸ εὐχερῶς καιόμενον. σημαί:νει καὶ τὸν δημότην κατὰ διάλεκτον.

Δηλώσω. ἐκ τοῦ δήλος. ὃ σημαίνει τὸν φανερόν. τοῦτο ἐκ τοῦ δάλος. τροπῇ τοῦ ᾱ εἰς η̄. καὶ ἀναδόσει τοῦ τόνου.

Δημός. παρὰ τὸ δαίεσθαι εὐχερῶς ὅ ἐστι καίεσθαι.

Δῆμος. παρὰ τὸ δέω τὸ δεσμεύω. ἢ ὃ συνδεδέμενος ὄχλος. ἢ ἐκ τοῦ δάμος.

καὶ δαμονίως· τῶν δοριέων τὸ ᾱ εἰς ῆ τρεπόντων.

Δημός· τὸ λῖπος· ἐπὶ τοῦ λίπου· καὶ ὧς μέν τινες παρὰ τὸ δαίω τὸ καίω. ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸ δαίω τὸ δεσ=μῶ· σωδεῖ γὰρ ὥσπερ ὁ ἐπίπλους τὰ τοῖς βωμοῖς ἐπιτιθέντα.

Δήϊος· ὁ πολέμιος· παρὰ τὸ δαίω· ὃς οὐκ ἂν φεῖσαι τοῦ δέειν καὶ κόπτειν.

Δηΐτη τιμάχη· παρὰ τὸ διοῦσθαι ἐν αὐτῇ τοὺς τιτρωσκομένους· ὅ ἐστι διακόπ=τεσθαι.

Δεδηωμένους· ἐκ τοῦ δαίω τὸ κόπτω· καὶ ἐξ αὐτοῦ παράγωγον· δηῶ δηώσω.

Δήωσας· πορθήσας· χειροσάμενος.

Δήω· κόπτω· καίω· πρᾶ/· δεῦω.

Δήωσιν· πολέμησιν.

Δηῶ· ἢ δημήτηρ· ὅτι πολλὴν ἐδήωσε γῆν· τουτέστι διέκοψε· ζητοῦσα τὴν θυγατέ=ρα· ἢ γηῶ τί ἐστι κατὰ τροπὴν τοῦ γ εἰς δ· δηῶ· ἢ ἀπὸ τοῦ δόματος καθ' ὑπο=κορισμόν· δηῶ· ὡς ἢ ἠδοθέα εἰδῶ· καὶ ὑψοπύλη· ὑψῶ· ἢ ὅτι λυπουμένη διὰ τὴν θυγατέρα ἐδαίετο τὴν ψυχήν.

Δημιουργός· ὁ δημάμενος τὸ ἔργον ἢ ποιῶν.

Δημοσθένης· ὄνομα τοῦ Δημοσθένους ἢ δῶσαμις.

Δήν. εἰς τὸ ἄδδην.

Δήνεα. τὰ βουλεύματα. παρὰ τὸ δαίω τὸ μανθάνω. οὗ ὁ μέλλων δαίσω. καὶ δαί-μων.

Δήνεα. τὰ βουλεύματα. ἀλλὰ δίκαια. καὶ ἤπια δήνεα. οἱ δὲ παρὰ τὰ μήδεα. τροπῇ τοῦ μ̄ εἰς γ̄. καὶ ὑπερθέσει δήνεα. ἢ παρὰ τὸ δήν. ἐπίρρημα σημαίνον τὸ ἐπὶ πολλὼν χρόνον. χρόνου γὰρ δεῖται ἡ βουλή. ἔνθεν καὶ παροιμία. δῆρον βουλεύειν ἵν' ἔχῃ καὶ πολλῶν ἄμεινον. ἢ παρὰ τὸ δήω.

Δῆρις. ἡ μάχη. καὶ ἡ ἔρις. παρὰ τὸ δαίω τὸ κόπτω. καὶ σφάζω. πλεονασμῷ τοῦ ν̄ καὶ εἰς τὸ δηλητήριον. καὶ κοινῶ.

Δηρὸν τὸ πολυχρόνιον ὀνομαστικὸν ἐπίρ-ρημα. πολλὰ γὰρ εἰσι τὰ τοιαῦτα. ὥσ-περ ἡ περατῆς. πέρας. πέραν τοῦ χει-μάρρου τῶν δένδρων. καὶ πρωΐος, πρωΐα. καὶ ἡ αἰτιατικὴ πρωΐαν. καὶ τροπῇ Βοιωτικῇ πρωΐην. ἐξ οὗ καὶ τὸ ἐπίρρημα πρῶ, οὕτως ἐστὶν ἐκ τοῦ δηναιὸς ἀρσενικοῦ. τὸ οὐδέτερον δηναίον. καὶ συγκοπῇ τῆς αι̅ δηνόν. καὶ τροπῇ τοῦ ν̄ εἰς ρ̄. δηρὸν καὶ μετάγεται εἰς ἐπιρρηματικὴν σύν-ταξιν. ἱ ἐστι δεινάριον. ὅτι τὰ δεινὰ αἴρει παρεχόμενον .. ἢ πουθεν. δηλονότι λέξις συναπτική.

Δηρόν τὸ ρῆ· ῆ καὶ τὸ ρο μικρόν· ἀπὸ ὀνόματος παρήχθη· κανῶν γάρ ἐστιν ὃ λέγων· ὅτι τὰ ἀπὸ διαφόρων πτώσεων εἰς ἐπιρρηματικὴν σύνταξιν μεταγόμενα· καὶ τὴν αὐτὴν γραφὴν ταῖς πτώσεσιν ἔχει· καὶ πῶς ἐστι τὸ ὄνομα· δηναιός.

οὐδὲ μᾶλλ' οὐ δηναιός.

λοιπὸν δηναίον καὶ συγκοπῇ δηνόν· καὶ μεταθέσει δηρός· καὶ δηρόν ἐπίρρημα.

Δῆτα εἰς τὸ εἶτα.

Δηῶ εἰς τὸ ἀδήωτον· καὶ ἰῆτο.

Δήσω· δίδημι ὃ μέλλων δήσω· ἔστι δὲ καὶ δέω τὸ δεσμεύω· δήω· δῶ· δήσω· ὃ σημαίνει τὸ εὑρήσω· δήεις τόν γε σύεσσι παρημένον· δῆνος· ὡς κτήσω κτῆνος.

Διαβόητος· καὶ ἐπιβόητος διαφέρει· διαβόητος μὲν γὰρ ἐπ' ἀρετῆς ἐγγνώσμενος· ἐπιβόητος δὲ ὃ μοχθηρὰν ἔχων φήμην. β.

Ἀνακρέων· καὶ μ' ἐπιβόητον κατὰ γείτονας ποίησεις.

τοῦτον δὲ ἔνιοι τῶν ποιητῶν ἐπίσφατον καλοῦσι.

Διαβούλιον· οὐδέτερον ὑποκοριστικόν· γίνεται δὲ παρὰ τὸ βουλή βούλιον καὶ διαβούλιον προπαροξυτόνως· πᾶν εἰς ον οὐδέτερον καθαρὸν μονογενὲς· τῶ ι· μόνω—

παραληγόμενον. ὑπὲρ τρισύλλαβον προ-
παροξύνεται. εἴτε κύριον εἴτε προσηγορι-
-κόν εἴτε ὑποκοριστικόν.

Διαγελήσονται. ἐκ τοῦ διαγέλω ὁ μέλ-
-λων διαγελῶ ὁ δεύτερος ἀόριστος διήγε-
-λον. ὁ παθητικὸς διηγειλόμην. ἢ ὁ Β̃ μέλλων διαγελήσομαι. καὶ τὸ τρίτον τῶν πληθυντικῶν διαγελήσονται.

Διάζειν. παρὰ τὸ ἐν δύο στάσεσιν εἶναι τὴν ψυχήν.

Διάθεσις. μέση καὶ εἰς τὸ τέτηκα.

Διάθεσις. πολλὰ σημαίνει τὴν ἀγάπην, καὶ τὴν προαίρεσιν, καὶ τὸ σχῆμα. καὶ τὴν ἐπιθυμίαν, καὶ τὴν τιμωρίαν, καὶ τὴν κόλασιν.

Διαθήκη. διττῶς ἐκφωνεῖται. ἡ μὲν ἐπὶ θνησκόντων διατάξεως. καὶ ἐντάλματος χαρακτῆρα φέρουσα. θάτερα δὲ συνθήκῃ ἐπὶ διαλλαγῆς πολεμίων συνωμοσίᾳ ἐπέχουσα. συντίθεται δὲ ἐκ τῆς διὰ προθέσεως. καὶ τοῦ θήκη διαθήκη.

Διαίνω εἰς τὸ διερός.

Δίαιτα. παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ ἴεναι. οὕτω καὶ διαιτητής. σημαίνει δὲ τὴν διαγωγήν. καὶ τὴν κρίσιν

Δίαιτα. δαῖς. δαιτός. δαῖτα καὶ δίαιτα.

Διαιτητής. εἰς τὸ δικαστής.

Διφατίων. ῥώμης γὰρ διφαβίων. οὕτω καὶ δηλεγάτωρ. ῥώμης γὰρ δελεγάτωρ.

Διαίρεσις. παρὰ τὸ διαιρεῖν καὶ χωρί=ζειν τόδε ἐκ τοῦδε.

Δίασμα. ἢ πρῶτη τοῦ ἱματίου ἐργασία. ἀπὸ τῆς δέσεως τοῦ μερισμοῦ. ἐπεὶ τοὺς στήμονας διαμερίζουσι. δέδασμαι οὖν δάσμα. καὶ πλεονασμῷ τοῦ ι δίασμα. ἢ παρὰ τὸ ἄσσω ἄσσα. καὶ ἄσμα καὶ δίασμα. τοῦτο τὸ ἄσω. γίνεται Αἰολικῶς ἄζω. καὶ διάζομαι. οἱ γὰρ Αἰολεῖς. τὰ δύο σσ εἰς ζ τρέπουσι. καὶ τὸ μέσον ἀπὸ τοῦ μέγας μέζων. φασὶ καὶ μείζων. καὶ τὸ ὀλίσσων ἐκ τοῦ ὀλίγος ὀλίζων.

Διακηρυκεύεται. διὰ κηρύκων συνθή=κας ἢ πρεσβείας ποιεῖται. γέγονε δὲ παρὰ τὸ κήρυξ κήρυκος. κηρυκεύω καὶ διακηρυκεύεται. τὸ δὲ κήρυξ ἀπὸ τοῦ κηρύσσω. τοῦτο παρὰ τὸ γῆρυς ὃ ση=μαίνει τὴν φωνήν. τοῦτο παρὰ τὸ γῶ ὃ σημαίνει τὸ χωρῶ. ἢ διὰ τῆς τραχεῖ=ας ἀρτηρίας χωροῦσα.

Διαπεφώνηκεν. ἐκ τοῦ φόνου γίνεται. κατὰ παράδοσιν διὰ τοῦ ω μεγάλου.

Διάλεκτος· ἤτοι καθ' ἣν ἕκαστος ἄνοῖ διαλέγονται πρὸς ἀλλήλους· κατὰ τὴν ἰδί-αν συνήθειαν· ἢ ἀπὸ τοῦ διαλελέχθαι καὶ διακεκρίσθαι ἀπὸ τῶν ἄλλων· ἑ-κάστη γὰρ αὐτῶν διακέκριται τῆς ἑτέρας· ἀπὸ τοῦ διηλέχθαι καὶ ἐξιλέχθαι ὡς κρατιστεύουσαν.

Διαίνειν· τὸ ὑγραίνειν ἀπὸ μεταφορᾶς τοῦ ὑετοῦ.

Διάκτορος· ἤτοι διάγορος ἐστί· διὰ τὸ λογικὸν εἶναι· ἢ παρὰ τὸ ἄγω· ἄξω· ἄκτωρ· ἄγγελος γὰρ τῶν θεῶν ὁ Ἑρμῆς διάκτορος· πλεονασμῷ τοῦ κ διάτορος γὰρ.

Διάκονος· παρὰ τὸ κονεῖν καὶ ἐγκονεῖν· τὸ ὑπηρετ... ἐξ οὗ καὶ ἐγκονέουσαι.

Διάκονος· παρὰ τὸ κονεῖν τουτέστι δουλεύ-ειν.

Διακοσμηθεῖμεν ῥῆμα εὐκτικὸν παθη-τικὸν συζυγίας πρώτης· κοσμηθείημεν· καὶ κατὰ συγκοπὴν κοσμηθημεν.

Διακρίνειν· εἰς τὸ κρίνειν.

Διακρίνθητε· τὸ θέμα διακρίνω· διακέ-κρικα· διακρίθω· καὶ πλεονασμῷ τοῦ ν ποιητικῶς διακρίνθην· διακρινθείω.

τὸ εὐκτικὸν διακρινθείημεν, διακρινθεί-
ητε· καὶ συγκοπῇ διακρίνθητε.

Διάκτορος· ὁ λόγιος· παρὰ τὸ ἄγω. ἄκ-
τωρ ὁ ἄγων τὰς ἀγγελίας· ὁ τῶν θεῶν
ἄγγελος.

Διαλεκτική· διὰ τὸ ἐν τῷ διαλέγεσθαι.
ἀναφαίνειν.

Διάλεξις· διαλέκτου διαφέρει διάλεξις
μὲν γὰρ ἐστιν ὁμιλία τις ἔντεχνος· διά-
λεκτος δὲ γλώττης ἰδίωμα.

Διαμετρήσω· τὸ θέμα διαμετρῶ πρώτης
συζυγίας τῶν περισπωμένων· γίνεται δὲ
παρὰ τὸ μέτρον· τοῦτο παρὰ τὸ μείρω τὸ
μερίζω.

Διαμετρῶ· ἡ εὐθεῖα διαμετρητός· σχῆμα
παρασύνθετον· καὶ πόθεν διαχορίζονται τὰ
παρασύνθετα· ἐκ τῶν συνθέσεων· ἐκ τῆς
διαφορᾶς τοῦ τόνου· τὰ μὲν γὰρ σύνθετα
προπαροξύνονται· τὰ δὲ σύνθετα ὀξύνον-
ται· ταῦτα δὲ ὀξύνονται, ἐπειδὴ ἀπὸ
ῥήματος ἔχον τὴν σύνθεσιν· οἷον ἐκλέγω
ἐκλεκτός· ἐπίλεκτος δὲ προπαροξυτόνως.
ἐπειδὴ ἀπὸ ὀνόματος ἔχει τὴν σύνθεσιν
ἐκ τῆς ἐπὶ προθέσεως· καὶ τοῦ λεκτός.
οὕτως οὖν καὶ διαμετρῶ, διαμετρήσω.
διαμετρητός.

Διάμετρον. τὸ ἀπὸ πέρατος εἰς πέρας
κατὰ πλάτος διάσημα.

Διάμηψε. δίκοψε. παρὰ τὸ ἀμᾶν τὸ
θερίζειν. ὅμηρος, διάμησον. ἐθέρισε.
δίκοψεν. ὁ μέλλων διαμήσω τὸ μῆ.
η. ἡ δὲ δευτέρα τῶν περισπωμένων,
ἐπὶ τοῦ μέλλοντος ἔχει τὸ η ἢ τὸ ᾱ.
ὁ ἐνεργῶς διαμῶ. χῆμα δωδεκτον ἐκ
τῆς διὰ προδήδεως. καὶ τοῦ ἀμῶ. τοῦ
δηλοῦντος τὸ θερίζω. γίνεται ὁμῶ ἐκ
τοῦ ἄμη: ὅπερ ἔστι γεωργικὸν ἐργαλεῖον
ἢ λέγεται δρεπάνη.

Διαμπάξ. διόλου, δικτυκῶς. διὰ παντός.
ἐξ ἐναντίας ἀπὸ τοῦ διαρπάζω. ἀποβολὴ
τοῦ ω διαρπάξ. καὶ τροπῇ τοῦ ρ εἰς μ.
διαμπάξ. συντάσσεται μετὰ αἰτιατικῆς.
γίνεται δὲ ἐκ τοῦ πᾶς δωρικῶς. κατὰ τρο
πὴν τοῦ σ εἰς ξ. παρ' οὗ καὶ διαμπάξ.
ὁ διόλου. ἔστι δὲ ἐπίρρημα χαιρου πα
ρασατικόν.

Διαμπερές. παρὰ τὸ πέρας. ἀντὶ τοῦ διόλου.
οἷον ἀπ' ἀρχῆς ἕως πέρατος.

Διάνδιχα. δίχως εἰς τὸ τρίχα.

Διάνοια. παρὰ τὸ ὁδόντινα διανδιεῖν. ἢ

παρὰ τὸ διανοῶ.

Διάνοια. ἡ ἐνθύμησις. διάνοια τὶς οὖσα ἡ διανοουμένη.

Διάνοια. γνώμης διαφέρει. διάνοια μὲν γὰρ ἐστι διχοστάτουσα καθ' ἑαυτὴν καὶ μὴ τὸ βέβαιον ἔχουσα κατακουλεύεσθαι. ἀφ' οὗ καὶ διάνοια ἐκλήθη. διὰ τὸ δισσά τινὰ βουλεύεσθαι. γνώμη δὲ ἡ τὸ βέβαιον ἐν ἑαυτῇ καὶ ἀσφαλὲς ἔχουσα. καὶ οἱονεὶ μετὰ τοῦ διαγινώσκειν τί ποιοῦσα. διὸ καὶ γνώμη ἐλέχθη καθ' ὃ γινώσκει τί ποιεῖ.

Δοῦ διαπονεῖσθαι. τὸ ἀγανακτεῖν διαφέρει. διαπονεῖσθαι περί τι γίνεσθαι καὶ ἐνεργεῖν. ἀγανακτεῖν δὲ τὸ ὀργίζεσθαι.

Διαρὰ. κατὰ ἰωνικὴν μετάθεσιν τοῦ ᾱ εἰς τὸ ε̄. διερὸς παρὰ γὰρ τὸ διαίνω τὸ πληθύνω. ἢ θερμαίνω ἀποβολὴ τοῦ ῑ. διανὸς, καὶ κατὰ ἰωνικὴν μετάθεσιν τοῦ ᾱ εἰς τὸ ε̄. καὶ τοῦ ν̄ εἰς τὸ ρ̄. διερὸς.

Διαρραίω. ῥαίω τὸ φθείρω. καὶ γίνεται ἐκ τοῦ φθείρω. δωρικῶς φθαίρω. ἡ γὰρ Δωριεῖς τὴν εῑ δίφθογγον, εἰς αῑ τρέπουσιν. τὸ κύπειρον. κύπαιρον λέγει. καὶ τὸ εἶκεν αἶκεν. οὕτω καὶ τὸ φθείρω φθαίρω. καὶ ἀφαιρέσει τῶν δύο συμφώνων

ἄιρω καὶ ἐν ὑπερβιβασμῷ, ῥαίω. καὶ σημαίνει τὸ φθείρω.

Το Ρᾱι δίφθογγον. ἢ ὅτι ἐκ παραγωγῆς αὐτὸ ἔχει, ἢ ὅτι κανὼν ἐστι ὁ λέγων, ὅτι τὰ διὰ τοῦ αῑω ῥήματα ἀσυνέρετα ὄντα. κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον διὰ τῆς αῑ διφθόγγου γράφεται. παλαίω, καὶ τὸ αἴω.

Διαρρήδην. μεγαλοφώνως. σαφῶς, φα:νερῶς. παρὰ τὸ ῥῶ ὃ σημαίνει τὸ λέγω. ὃ μέλλων ῥῆσω, ἔνθεν ῥῆσις καὶ ῥῆτωρ. καὶ ἐπίρρημα ῥήδην. ἀπὸ τοῦ ῥήσω. καὶ σύνθετον διαρρήδην. καὶ ἐπίρρημα.

Διαπρύσιον. ἐξάκουστον καὶ μέγα. παρὰ τὸ πεύθομαι. ἐπειθόμην. πύσιον καὶ ἐν πλεονασμῷ τοῦ ρ̄. πρύσιον. καὶ μετὰ τῆς διὰ προθέσεως. διαπρύσιον. ἢ ἀπὸ τοῦ περῶ περάσω. περάσιος καὶ κατὰ συγκο:πὴν πράσιος. ὡς μάθω. μύθιος. καὶ δια:πρύσιος.

—— διαπρύσια Δαναοῖσε κέλευε.

Δίας ὁ ἥρως. εἷς τῶν Πελοπίδων. γέγο:νε παρὰ τὸ δέος. δε. . . . καὶ ἐν συναλοιφῇ δείας, διὰ τῆς εῑ διφθόγγου. ὁ δέος ἐμποίων ἢ παρὰ τὴν διὸς γενικήν.

Δίας. ὥσπερ ἀπὸ τοῦ δράκοντος γενικῆς γίνεται δρακοντείας. οὕτω καὶ ἀπὸ τῆς Διὸς γενικῆς γίνεται δίας, καὶ κατὰ κρᾶσιν τῶν δυ οι εἰς ι δηλ μακρόν, δίας.

Δία. ὁ Ζεὺς ὡσανεὶ δι' οὗ ζῶμεν.

Δίας. ὁ καὶ Ζεὺς. παρὰ τὸ διαίνειν τουτέστι ποιαίνειν τὴν γῆν. ἢ παρὰ τὸ δεῖρ' ὅ ἐστι δεσμεύειν καὶ συνέχειν τὸ σύμπαν αἰσθητὸν. ἢ παρὰ τὸ ζῆν.

Διαπλεῖν. περιπλεῖν. καὶ παραπλεῖν. διαφέρει. τὸ μὲν γὰρ διαπλεῖν ἐπὶ τοῦ μέσου πλεῖν. τὸ δὲ περιπλεῖν τὸ κύκλω πλέειν. τὸ δὲ παραπλεῖν, τὸ παρὰ τὴν γῆν πλέειν. οὕτω καὶ τὸ διαρεῖν τὸ διὰ μέσου ῥεῖν. τὸ δὲ παραρῆν πανταχόθεν. καὶ κύκλω περιρρέειν.

Διάπυρος. ἐκ τῆς διὰ προθέσεως. καὶ τοῦ πυρός. γίνεται διάπυρος. ὁ ἐκκαυστικός. ὁ ἐκκαίομενος τὴν ψυχήν.

Διάπυρος καὶ θερμὸς διαφέρει.

Διαπύρως. ζεόντως.

Δίασμα. ἡ πρώτη τοῦ ἱματίου ἐργασία. ἀπὸ τῆς δέσεως τοῦ μερισμοῦ. ἐπὶ τοὺς στήμονας διαμερίζουσι, δέδασμαι οἷον δάσμα. καὶ πλεονασμῷ τοῦ ι δίασμα—

ἢ παρὰ τὸ ἄσσω καὶ ἄσσα. καὶ ἄσμα. καὶ δίασμα. τοῦτο τὸ ἄσσω. γίνεται Αἰολι:κῶς ἄζω. καὶ διάζομαι. οἱ γὰρ Αἰολεῖς τὰ δύο σσ εἰς ζ τρέπουσιν. οὕτω γὰρ καὶ τὸ μέσσων ἀπὸ τοῦ μέγας. μέζων φασὶ καὶ μείζων. καὶ τὸ ὀλίζων ἀπὸ τοῦ ὀλίγων. ὀλίζων.

Διάφορος. διαφορὰ καὶ διαφέρεσθαι, δια:φέρει. διάφορος. ὁ ἐχθρός. καὶ διαφορὰ ἡ ἐχθρά. καὶ ἡ διαχώρησις. διαφέρεσθαι τὸ ἐχθρόδως διακεῖσθαι.

Διερρύηκεν. ἀντὶ τοῦ ἐξέπεσε καὶ διεφθά:ρη, εἴρηται δὲ ἀπὸ τῶν ἀνθέων.

Δίζω. τὸ ζητῶ. δίζω δὲ τὸ φροντίζω καὶ μεριμνῶ ἐξ οὗ καὶ ἐδίζησα.

Δίκη μὲν περὶ τῶν ἰδίων. γραφὴ δὲ πε:ρὶ τῶν κοινῶν. ἐνθῶη ὑπὸ τῶν ἀρξάν:των.

Διησεσοβήμενος. τεταραγμένος. ἄτακτος, τεθορυβημένος. σεβεῖν γὰρ τὸ διώκειν καὶ τρέχειν. παρὰ τὸ σέβω ῥῆμα ὃ ση:μαίνει τὸ ὁρμῶ

Διασκεδάζω ἐστὶ ῥῆμα χέω, καὶ σημαίνει τὸ σκορπίζω, καὶ ἐξ αὐτοῦ γίνεται χεδάζω καὶ πλεονασμῶ τοῦ σ σχεδάζω καὶ σκεδάζω.

καὶ μετὰ τῆς διὰ προθέσεως· διασκεδάζω.

Διάσσετε· εἰς τὸ διάσσετο·

Διαστήτην· ἀόριστος δεύτερος τῶν εἰς μι τρίτου προσώπου τῶν δυικ. ἀπὸ τοῦ ῥή:ματος τοῦ ἵστημι· κατάχρησις τοῖς Ἀττικοῖς μάλιστα ἁρμόζει· τὸ θέμα ἵστημι· ὁ μέλλων στήσω· ὁ δεύτερος ἀόριστος ἔστην· καὶ τὸ τρίτον τῶν δυϊκῶν ἔστη ἐστήτην· καὶ διαστήτην.

Διάττειν· ὁρμᾶν· διατρέχειν ἢ δάκνειν· οἷον διαθεῖν· ἀπὸ τοῦ θέω τὸ τρέχω τροπῇ τοῦ τ εἰς θ. καὶ πλεονασμῷ ἑτέρου τ.

Διάψαλμα· διὰ παντὸς ψαλλόμενα· μέ:ρη δὲ λόγου δύο· διᾶ πρόθεσις ψάλμα ὄνο:μα· ψαλλόμενα δὲ μετοχῆς·

Δίδυμος· ὁ ἄρχις· εἴρηται παρὰ τὸ δύο τὸ τοῦ ἀριθμοῦ σημαντικὸν δυμος· καὶ ἐν διπλασιασμῷ δίδυμος· ἢ παρὰ τὸ δὶς ἐπίρ:ρημα γίνεται δίσσος· καὶ διάσσυμος· καὶ κατὰ ἀντίθεσιν δίδυμος· καὶ δίδυμος ὁ μετ' ἑτέρου τέχθεις·

Δίδραγμον· ἄγει γράμματα ἕξ.

Διδάσκαλος· ὁ διδοὺς καλὸν ἢ ὁ διδάσκων καλῶς.

Διδάσκω παρὰ τὸ δαίω ὁ σημαίνει τὸ μανθάνω· ὁ μέλλων δαίσω καὶ πλεονασ:μῷ τοῦ κ δαίσκω· ὡς ὀλῶ ὀλεσῶ καὶ

ὀλέσκω. καὶ ἐπεὶ τὰ εἰς κω λήγοντα ῥήμα-
-τα οὐ θέλουσι παραλήγεσθαι. τὸ ἀνεκφώ-
-νητον, γίνεται δάσκω, καὶ κατὰ ἀναδιπλα-
-σιασμὸν διδάσκω. καὶ μετάγεται ὁ μέλλων
εἰς ἐνεστῶτα. καὶ διατί ἀναδιπλασιάζεται.
ἐπειδὴ ὁ διδάσκων, διπλοῦς θέλει εἶναι.

Δίδημι. εἰς τὸ δῆμος.

Δίδωμι. πόθεν ἐκ τοῦ διδῶ.

Διδῶ. ὄνομα κύριον.

Δίδυμος. παρὰ τὸ δύω. σημαίνει τὸ ἄστρον.

Διδῶ. εἰς τὸ ἵημι. καὶ πίπτων.

Διε παρὰ τὸ δίω. ὁ δεύτερος ἀόριστος
ἔδιον ἔδιες ἔδιε. καὶ δίε τὸ προστακτικόν.

Δίειπα. εἰς τὸ δίειπε.

Διέσις τὸ χώρισμα.

Δείελος. ἡ δειλινὴ ὀψία. ἀπὸ τοῦ δεῖν
τὴν ἕλην. ὁ σημαίνει τὴν αὐγὴν τοῦ ἡλίου

εἰς Δι[illegible] τὰς πτέρυγας. τρία μέρη λόγου εἰσί,
διεὶς μετοχή. τὰς ἄρθρον. πτέρυγας ὄνομα.
δίημι τὸ ἐξαπλῶ. ὁ παρατατικὸς δίην.
ἡ μετοχὴ διεὶς.

Τὸ δὲ Διεὶς. σημαίνει τὸ ἐκτείνας, ἔστιν
ἵημι τὸ πέμπω. ὁ μέλλων ἥσω. ὁ δεύτερος
ἦν. ἡ μετοχὴ εἰς ἔντος. καὶ μετὰ τῆς διὰ
προθέσεως. διεὶς. ἢν διανοίξας

Διεπέτασα. ἐκ τοῦ πετάζω. πετῶ γὰρ οὐκ εἴρηται. ἀλλὰ πέτω.

Δίεπε. ἀκολούθει. εἰς τὸ δι' ὀξείαν. ἔστι γὰρ τὸ ῥῆμα ἕπω. τὸ ἀκολουθῶ. καὶ διέ=πω. ὁ μέσος παρακείμενος δίειπα. τὸ εἶ δίφθογγον.

Διεξοδικῶς. πλατέως. διεξοδικῶς. ὁ διωγ=κόμενος.

Δίερος. ὁ ὑγρός. παρὰ τὸ διαίνω τὸ πλώω. δίαρος. καὶ κατὰ ἰωνικὴν μετάθεσιν τοῦ ᾱ εἰς τὸ ε̄. καὶ τοῦ ν̄ εἰς τὸ ρ̄. διερός. καὶ εἰς τὸ ἱερὸν καὶ υἱός.

Διέρους. διύγρους παρὰ τὸ δεύω τὸ βρέ=χω.

Διέφθαρται. καὶ διέφθορε διαφέρει. διέφθαρται μὲν γὰρ ὑφ' ἑτέρου.

Διήγγελον. εἰς τὸ διαγγελήσονται.

Διηγήσομαι. ἐκ τοῦ διηγῶ. τοῦτο παρὰ τὴν διὰ πρόθεσιν. καὶ τὸ ἄγω.

Διηθημένον. ἐκ τοῦ διηθῶ. διηγήσω. τὸ δὲ διηθῶ παρὰ τὸ σήθω. τὸ κοσκινίζω.

Διήγημα. διηγήσεως διαφέρει. διήγη=σις μὲν γὰρ ἐστιν. οἷον ἡ πᾶσα διήγησις ὁ=μήρου. διήγημα μέρος τι τῆς ποιήσεως. οἷον Αἴαντος μονομαχία πρὸς Ἕκτορα.

Διήκω. εἰς τὸ διηνεκής.

Διήρης. νεὼς ὑπὸ δυο αἱρετῶν. καὶ διήρης. οὕτω καὶ τριήρης.

Διηνεκής· ἐκ τοῦ ἐνέκω· ἐνεκής· καὶ μετὰ τῆς διά· διανεκής· καὶ μεταθέσει τοῦ ᾱ εἰς η̄· διηνεκής· ἢ παρὰ τὸ διηκῶ τὸ ἐκτείνω· διηκείς· καὶ πλεονασμῶ τῆς νε̄ συλλαβῆς· διηνεκῆς·

Δίφιλος· εἰς τὸ δίφιλος·

Δικτίονος· διάκονος·

Διΐει· ἐκ τοῦ ἴω· τὸ πέμπω·

Δίκη· ἡ ἀγωγή· καὶ δίκη ὁ τρόπος·

Δίκαιος· διὰ τὸ κρίνειν τὸν λογισμὸν δικαίως·

Δίκαιος· εὐσεβῶς διαφέρει· δίκαιος μὲν γάρ ἐστιν· ὁ τὸ προς ἀνοῦς ἴσον φυλάττων· εὐσεβὴς δὲ ὁ τὸ θεῖον εὐσεβῶς σέβων, καὶ ὀρθῶς·

Δικανικός δίοτι τὰς δίκας νικᾶ·

Δικαιοσύνη· παρὰ τὸ διχάζειν· ἐκ τοῦ ἀδικοῦ τὸ δίκαιον· οἱονεὶ διχαοσύνη ἡ διακωρίζουσα ἡμᾶς ἐκ τῆς ἀδικίας·

Δικαστής· καὶ διαιτητὴς διαφέρει· δι:καστὴς μὲν γάρ ἐστιν ὁ κατὰ νόμον αἱ:ρεθεὶς κριτής· διαιτητὸς δέ· ὁ κατὰ σύμφωνον αἱρεθὴς συμβάσεως χάριν·

Μένανδρος·

Εἴ τις δικαστής· ἢ διαιτητὴς θείων·

Δίκη· ἀπὸ τοῦ δι' αὐτῆς τὰς πλείστας διεξίεναι πράξεις.

Δίκη· παρὰ τὸ δίζω· ὅτι ἀμφίβολον αὐτῆς τὸ πέρας.

Δίκτυον· παρὰ τὸ δίκειν ὅ ἐστι ῥίπτειν καὶ βάλλειν· ἐξ οὗ δίκος· τὸ δίκτυον.

Δίκω· εἰς τὸ δίσκος· καὶ ἔδειξε.

Δῖναι· ποταμῶν εἰσὶ τὸ μεσώτατα· ἔνθα τὸ ῥίζος τοῦ ποταμοῦ ἐν τῶν μερῶν εἰς μέσον συναγόμενον σταχυοδῶς· ὡς ἀπὸ τῆς περιδινήσεως· δίνα ἡ δίνη κέκληται.

Δίνειν· εἰς τὸ δαδίλλων.

Δίνη καὶ δῖνος· εἰς τὸ εὐδίνητον· καὶ ἰλιγγιῶ.

Δινάριον ὅ σταθμίζει λᾱ ὅ.

Διθύραος· ὁ διόνυσος· ὁ δεύτερος βεβηκὸς τὴν θύραν· τουτέστι τὴν τῆς μρ̄ό καὶ ... ... τὸν τοῦ διὸς μηρόν· καὶ ὕμνος ἐκ διόνυσον.

Δινάριον· ξ̄ ἀσσάρια.

Διμίτριος· ὁ πολεμικὸς ἄρης· παρὰ τὸ δυμίτρας· ὅ ἐστι πολεμικάς· ὅπλας ἔχων· καὶ διμίτριος ὁ διώνυμος.

Δημήτριος· ὄνομα κύριον.

Δικασπόλοι· δικασταί· οἱ περὶ τὸ δικάζειν ἀναστρεφόμενοι· ὅθεν καὶ δίκτυον καὶ δίκος

εἴρηται. ὅμηρος.

Δικαβπόλοι. οἱ περὶ τὰς δίκας ἀναστρεφό-
-μενοι βασιλεῖς.

Δίκαιος. παρὰ τὸ δίκη. τὸ δὲ δίκη. παρὰ τὸ
διχάζειν, ἡ γὰρ δίκη τὰ μέρη διήστησεν.

Δίκτυον. παρὰ τὸ δίκτω τὸ ῥίπτω. δίκος ὁ
ῥιπτόμενος. καὶ τὸ κατὰ τῶν ἰχθῶν ῥιπτό-
-μενον διχθυον. καὶ δίκτυον.

Δινῶ. ἐκ τοῦ δίνη. τὸ δῖ ῑ τὰ διὰ τοῦ ῑνη
θηλυκὰ μονογενῆ. μὴ ἀπὸ ἐπιθέτων γινό-
-μενα διὰ τοῦ ῑ γράφεται. οἷον ἀκτίνη.
θριδακίνη. μονογενῆ. διὰ τὸ ἐκεῖνος ἐκείνη.
μὴ ἀπὸ ἐπιθέτων γινόμενα διὰ τὸ φωτεινός.
καὶ τὸ κύριον ὄνομα φωτεινή. μετάγεται γὰρ
ἀπὸ ἐπιθέτου. τὸ δῑ μακρόν. διότι. ἐκ
τοῦ εἱλῶ τὸ συστρέφω ἰλή. καὶ ἐστι παρὰ
τὸ ποιητῆ. μακρὸν τὸ ἰλαδόν.

Διθύρακος. λέγεται καὶ ὁ Διόνυσος. καὶ ὁμω-
-νύμως τοῦ θεοῦ. ὁ εἰς ἑαυτὸν ὕμνος εἴρηται
δὲ ὁ Διόνυσος ἀπὸ τοῦ δεύτερον τέτεχθαι.
ἀπό τε τῆς μητρὸς καὶ ἀπὸ τοῦ μηροῦ τοῦ
διός. ἵν' ἦ ὁ δὶ θύρας βεβηκώς. πίνδαρος
δέ. ὅτι τίκτων αὐτὸν ὁ ζεὺς λύειν δι' ῥάμ-
-μα. ἵν' ἦ λυθίρακος. καὶ ἐν τροπῇ διθύ-
-ραμβος. ἡρωδιανὸς δὲ τὴν πινδάρριν

ἀποδοκιμάζει φάσκω τὰ προσακτικὰ μὴ σαυτιθέσθαι.

Διόνυσος· ὅτι ἐκ τοῦ διὸς ἐγεννήθη· καὶ ἐν ἄντρῳ τῆς νήσου ἐτράφη· καὶ διόνυσσος· παρὰ τὸ τὰς δύο νήσους τῶν κέντρων ὁρίζειν.

Διόβολον· πλῆκτρον πυρὸς κεραυνοῦ· καὶ διόβολον τὸ ὑπὸ διὸς βαλλόμενον· τὸ βο μικρόν· διόβολον δὲ οἱονεὶ δύο ὀβωλοῦς· τὸ βῶ μέγα.

Δῖνος σημαίνει ε̄· δῖνος ἡ συστροφὴ τοῦ ποταμοῦ καὶ εἶδος ὀρχήσεως· καὶ ποτηρίου καὶ ὁ τόρνος· καὶ τὸ ἔντερον.

Δίοπος· ὁ βασιλεὺς· ἢ ἐπόπης· ἀπὸ τοῦ διέπειν ἢ διοπτεύειν περὶ τοὺς ὅπας· ἔνθεν καὶ ὁ βασιλεὺς.

Δινωτοῖσι· πεποικιλμένοις· τετορνευμένοις· ἡ εὐθεῖα· τῶν ἑνικῶν· δινωτόν· δινωτὶς τὸ ἀρσενικόν· ἐκ τοῦ δινῶ· τοῦτο ἐκ τοῦ δῖνος· σημαίνει τὸν τόρνον· τὸ δῖ ῑ· τὰ διὰ τοῦ ῑνος· ὑπὲρ δύο συλλαβὰς· μονογενῆ ἅπαντα· διὰ τοῦ ῑ γράφεται· οἷον φαυστῖνος· ἰουστῖνος· πλὴν τοῦ καρκῖνος.

Δινωτή· ἡ περιφερὴς διὰ τὸ ἐοικέναι δίνῳ· ὅ ἐστι τορνῷ.

Διομήδης ὄνομα κύριον σαυθετον· τὰ παρὰ τὴν

διός· γενικήν· συντιθέμενα ἀποβολή τοῦ σ.

Δῖνος· καὶ ὁ τόρνος· παρὰ τὸ δονεῖσθαι καὶ κυκλοῦσθαι·

Διογένης· δυοπείθης· τὰ εἰς ης κύρια παρασώθετα· εἰς ους ἔχει τὴν γενικήν· παντερπής· εὐπειθής· οὕτω καὶ Διομήδης· σεσημείωται δὲ τὸ θεοκρίνης· τὰ γὰρ διὰ τοῦ ινης εἰς ου ἔχει τὴν γενικήν· λεπτίνης·

Αἰσχίνης· οὕτως ὁμῶ καὶ τὸ αἴδης αἴδου παρὰ τὸ ἰδεῖν· ὅτι οὐδὲν αὐτίκα ἴδοις·

Διονύσιος θεός· παρὰ τὸ τὰς δυονύσους τῶν κέντρων ὁρίζειν· ἢ παρὰ τὸ νύσσαν ὄρος ἐπικαλούμενον· ἐν ᾧ λέγεται εἶναι τυχών·

Διόνυσος· εἰς τὸ διώνυσος·

Διόξενος· εἰς τὸ πρόξενος·

Δῖος· ὁ ἔνδοξος· τὸ δῖ· ῑ· τέσσαρα γὰρ εἰσὶ δισύλλαβα· κτητικά· θεῖος· καὶ νεῖος· ἐκ τῆς νέος νήσου κεῖ καὶ κεῖος· καὶ δῖος, καὶ χῖος· διὰ τοῦ ῑ καὶ εἰς τὰ ζεύς·

Δῖος· ἀπὸ τοῦ ζεύς· διός· δίϊος· τὸ κτητικόν καὶ δῖος· ὡς χύϊος καὶ κατὰ κρᾶσιν χῖος· ὅθεν καὶ μακρὸν τὸ ῑ·

Διόσκουροι· οἱ τοῦ διός ἐπιμελούμενοι· τὸ γὰρ ἐπιμελεῖσθαι κορεῖν λέγεται—

ὧς δῆλον ἐκ τοῦ νεοκόρος· καὶ σηκοκόρος.

Διορίαν· προθεσμίαν· εἰ δὲ διὰ τοῦ ὠ-
μακρὸν δῆλον.

Διότι· εἰς τὸ ὅτι.

Διόρισον· χώρισον. διόπτρα· τὸ ἐσόπτρισ-
μα· κάτοπτρον· καθόπτριον· ἔνοπτρον,
ἔσοπτρον· ἔστι καὶ ὄργιον γεωμετρικὸν καὶ
ἰατρικὰ ἔργα.

Διϊπέτης· ὁ ἐξ ὀρανοῦ κατερχόμενος· παρὰ
τὴν διϊ δοτικὴν· καὶ τὸ πεσεῖν γέγονεν· οἱο-
νεὶ ὁ ἐκ τοῦ διὸς πεπτωκός.

Δίπλακα· διπλήν· ἡ εὐθεῖα δίπλαξ σημαί-
νει δὲ τὴν χλαίναν.

Διππεύω· καὶ διϊππεύω καὶ παριππεύω
τὸ διέρχομαι.

Δίπτυχα· δίθυρα· ἢ διπλά· ἐκ τοῦ διπλοῦς
δίπλαξ· ὧς λίθος λίθαξ· τὸ δὲ διπλοῦς ἐκ
τοῦ διπλόος· τοῦτο παρὰ τὸ δυοπλόου καὶ
διπλόος.

Διπλασίων· ὥσπερ ἀπὸ τοῦ διὸς γέγονε
δίων· οὕτω καὶ ἀπὸ τοῦ διπλάσιου γέγονε
διπλασίων.

Διπλόν· σημαίνει τὴν πανουργίαν, ἐκ τοῦ
διπλόος γίνεται τοῦτο ἐκ τοῦ δύο, καὶ τὸ
πέλω· δυόπελος· καὶ διπλόος καὶ τροπῇ τοῦ
υ εἰς ι· διπλόος διπλόου ἀρσενικόν.

Διπλοῦν· διπλασίου διαφέρει· διπλοῦν μὲν γὰρ τῶν κατὰ τὸ μέγεθος· διπλάσιον δὲ τῶν κατὰ ἀριθμόν· οἷον διπλάσια χρήματα· διπλοῦν δὲ τὸ ἱμάτιον οὐ διπλάσιον.

Διΐφιλος· διὰ τοῦ ῑ· ὥσπερ γὰρ παρὰ τὴν ἄρηϊ δοτικὴν γίνεται ἐν συνθέσει ἀρηΐφιλος· οὕτω καὶ παρὰ τὴν διΐ διΐ:φιλος· ὡς θετιϊ· ὡς θέτιν.

Διϊπολεία· ἑορτὴ διός· παρ' Ἀθηναίοις· παρὰ τὴν διϊ δοτικὴν γέγονε· καὶ ἀπὸ τοῦ πολεῖον εὐθεῖ.

Δίσκος· παρὰ τὸ δίκειν· καὶ ῥίπτειν· λέγε:ται δὲ πᾶν τὸ τροχοηδές.

Δίς· ἀπὸ τοῦ δυο γέγονε δυάκις· καὶ μετὰ συγκοπὴν δυς· καὶ γράφεται διὰ τοῦ ῑ πρὸς ἀντιδιαστολὴν τοῦ τρεῖς ἀριθμοῦ.

Διοπομπῆ· ἡ πέμψις· ἐκ τοῦ πέμπω· ἀποδιοπομπή· ὡς ἀπόπεμψις.

Δίσκος· παρὰ τὸ δίκω τὸ βάλλω· πλεο:νασμῶ τοῦ σ̄· ὁ βαλλόμενος· ἢ παρὰ τὸ δίκω· τὸ ῥίπτω· δίκος· περισσὸν δὲ τὸ σ̄· λέγεται δὲ πᾶν τὸ τροειδές.

Δίσκος· καὶ σόλος διαφέρει δίσκος μὲν γ[illegible]· ἐστὶ λίθος τετρι . . . σόλος δὲ χαλκοῦν

ὁλοσφύριον.

Δῖος. τὸ ἐπίθετον. κτητικῶ τύπω, ἀπὸ τῆς διὸς γενικῆς δῖϊος ἐστί. καὶ συναλοιφῆ δῖος. διὸ καὶ μακρὸν τὸ ῑ. οὕτως ἡρωδιανός.

Διςαγμός. ἐκ τοῦ διςάζω. τοῦτο παρὰ τὸ δύο. καὶ τοῦ ςῶ. ὃ σημαίνει τὸ ἱςημί.

Διαφᾶν. παρὰ τὴν διὰ πρόθεσιν καὶ τὸ ἁφή. γίνεται διαφῶ. καὶ τὸ ἀπαρέμφατον διαφᾶν. ὡς βοᾶν. καὶ κατὰ κρᾶσιν τοῦ ῑ. καὶ ᾱ. εἰς ῑ. μακρὸν διαφῶ.

Διφᾶν τὸ ψηλαφᾶν. παρὰ τὸ ἁφή διαφᾶν. καὶ διφᾶν.

Διφῶσαν. ἐρευνῶσαν. ἐκ τοῦ δίζω τοῦ ζητῶ. σημαίνει καὶ τὸ ψηλαφῶ.

Διχή τὸ αὐτὸ καὶ δίχα παρὰ τὸ δὶς ἐπίρρημα. διχή καὶ δίχα. ὡς τρίς. τριχή. τριχά.

——— δίχα φρεσὶν ἥνδανε βουλή.

Διφένσωρ. ὁ ἔκδικος.

Δισπενσάτωρ. ὁ οἰκονόμος.

Δισοιχία. ἐπὶ τῶν ὀδόντων. δυςοιχία.

Διόνυσος. παρὰ τὸ δέος, δαόνυσος. καὶ διόνυσος. τοῦ ᾱ εἰς ῑ τραπέντος παρὰ

Virgil: ἔσθοεις γάρ δολίοις· ὅ αὐτός τό ἡλίω νομάζεται.
ἵν ἢ ὅ δαίων, ὅ τοῦ δάους· ὅ ἐστι πυρός
ἢ φωτός· αἴτιος· ἢ διόνυσος· παρά τό πολ-
λά διαλύσαι, διάλυσος· καί ἐν τροπῇ τοῦ
ᾱ εἰς ο̄· καί τοῦ λ̄ εἰς ν̄· διόνυσος· ἢ
παρά τόν νοῦν διόνυσος φησίν· ὅ περί
πάντα νοῦς· ἢ ὅτι ἐκ διός ἐγένετο· καί
ἐν νύσῃ ἀνετράφη· ἢ ὅτι δυός· ὕοντος
ἐτέχθη.

Διπετέος· ἐκ τῶν τοῦ διός ὄμβρων
πληρουμένου ποταμοῦ·

Δίφρον· τό ἅρμα· . . . ὅν ὑμεῖς λέγε-
ται ταπεινί· καί οὐχί θρόνον.

Δίφρος· τό ἅρμα· δίφρος δέ εἴρηται·
ὅτι διάφορος ἐστί· δύο γάρ φέρει τόν
ὁπλίτην· καί τόν ἡνίοχον.

Δίψης· παρά τό δίψα· τοῦτο παρά
τό ἵπτω τό βλάπτω· ἴψα· καί δίψα·
ἢ βλάπτουσα τό σῶμα· ἢ παρά τό
ἐπιθυμῶ· δίψα γάρ τό ἐπιποθεῖν.

Διω ρεία· ἢ ἄδεια· ἐκ τοῦ ω̄ . . .
σημαίνει τήν ἔνδειαν· ἢ προθεσμία

Διφθέρα καί μηλωτή διαφέρει· διφθέρα

μὲν αἰγῶν. μηλωτὴ δὲ προβάτων.

Διφθέρα. ὅσα κατ' ἐκείνην δήπου φέ-
ρεται τὴν διφθέραν. τὸ γραμματεῖον
ἢ βιβλίον. ἢ βυρσαν. ἢ δέλτον. οἷον
δυοφέραν τὴν ἐν τοῖς δυο μέρεσι φέ-
ρουσαν τὰ γράμματα.

Δίφιλος. ὥσπερ παρὰ τὴν ἀρι. δοτι-
κὴν γίνεται ἀριΐφιλος. οὕτω καὶ παρὰ
τὴν διϊ. γίνεται διΐφιλος. καὶ κατὰ
κρᾶσιν τῶν δυο ῑ. εἰς ἓν δῆλον μακρόν.
δίφιλος.

Δίφρος. ἐτυμολογεῖται παρὰ τὸ δυο
φέρειν. τὸν μαχόμενον καὶ τὸν ἡνίοχον.
οἱονεὶ δυόφορος τις ὤν. δημαίνει δὲ τὸ
ἅρμα. λέγεται δὲ καὶ ἐπὶ τῆς σέλας.
ἢ τὸ καθιστήριον.

Διφρελάτης. παρὰ τὸ δυο ἄγειν.

Διχόνοια. διχοστασία. ὅτι εἰς δυο με-
ρίζει τὸν νοῦν.

Διχότομος. καὶ διχοτόμος. διαφέρει.
ἂν μὲν προπαροξύνωμεν. δηλοῖ τὰ
εἰς δυο διηρημένα. ἂν δὲ παρωξύνωμεν.
δηλοῖ τὰ εἰς δυο διαιρούντα.

Δίω. εἰς τὸ ἱερὸν καὶ τιμή.

Διώνυμον. παρὰ τὴν διὰ πρόθεσιν καὶ

τό ὄνομα· διαόνυμον καί διώνυμον·
ἔστι δέ ὄνομα ἔχον δύο ὀνόματα κύρια.
Διωλύγιον· μακρόν· μέγαι δεινόν· χαλε-
πόν, ἐπιπολύ, διῆμον καί ἐξάκουστον.
τό δι' ὅλου ἰόν· ἐκτάσει τοῦ ο εἰς ω.
καί πλεονασμῶ τοῦ ι· καί ἀποβολῆ
τοῦ ἑτέρου ο·
Διώνυσος· κατ' ἐπέκτασιν τοῦ ο εἰς
ω δότης·
Διώνη ἡ ἀφροδίτη· παρά τό διά πάν-
των ἰέναι·
Δίωξις· εἰς τό παλίωξις·
Δίχω· τό δικάζω·
Διώνυσος· διώνυμός τις ὤν
Διονύσιος δέ ὅμως ἡ σίοδος·
Διώνη· ἡ πάντων φορά·
Διώρης· ὄνομα κυν· γέγονε δέ ἡ ἀπό τῆς
διά προθέσεως· καί τοῦ ὅρω ῥήματος·
διάωρης· καί κατ' ἔκτασιν τοῦ ο εἰς ω.
καί κατά κρᾶσιν τοῦ ι· καί α εἰς ι
μακρόν· διώρης· νίκος· πόλεμος·
Διώρυξ· παρά τό ὀρύσσω ὀρύξω· ὄρυξ·
ἐπεκτάσει τοῦ ο εἰς ω· διώρυξ·
Διωρυγῆ δέ καί ἐπορυῆ· καί ὀργή, πλήν

τοῦ ὀρυγὴ ὃ σημαίνει τὴν φωνήν.

Δμῶη. γυνὴ μεγάλη. δμῶϊς θεράπαινα δούλη. β

Δμῶος. καὶ δμῶς.

Δμῶς παρὰ τὸ δαιμῶ. δμῶς. ἀπὸ τοῦ δμῶ ὃ μέλλων δύσω.

Δμῶες οἱ δοῦλοι. παρὰ τὸ δεδμῆσθαι. ὅ ἐστιν ὑποτετάχθαι.

Δνοπαλίζω. κινῶ. τουτέστιν ἡ διάχει:ρός κίνησις καὶ ἐκτίναξις.

— ἀνὴρ δ' ἀνδρὶ δνοπαλίζω.

τουτέστιν διὰ χειρός [illegible] ἡ ἀνήρη. ἐ:χρήσατο δὲ ἐν τῇ ὀδυσσείᾳ. τὴν λέξιν. εἶχεν.

— τὰς ἄρα κεδνοπαλίζοις.

ἀντὶ τοῦ διὰ χειρὸς ἕξεις. εἴρηται δὲ πα:ρὰ τὸ δορεῖν τὰς παλάμας δονοπαλίξαι. καὶ ἐν συγκοπῇ δνοπαλίξαι.

Διωλύγιον. τὸ δίολου ἰόν. ἐκτάσει τοῦ προτέρου ο. εἰς ω καὶ ἀναχωρήσει τοῦ ἑτέρου ο. καὶ πλεονασμῷ τοῦ γ. καὶ μεταθέσει τοῦ τόνου. διωλύγιον. καὶ σημαίνει τὸ ἐξάκουστον.

Δοάσατο. τοῦ διάσσατο διαφέρει. ὅτι τὸ μὲν δοάσατο σημαίνει τὸ ἔδοξε. τὸ δὲ διάσσατο ι ἐδίστασε.

Δογμῶ. πλαγίω.

Δόγμα. ψήφισμα. τὸ δοκοῦν ἅμα. ἢ ὁμοῦ.

Δοιάζειν. τὸ δοιστάζειν. παρὰ τὸ ἐν δύο στάσεσιν. ἢ παρὰ τὸ δεδέσθαι.

Δοιάζειν. εἰς τὸ ἀνενδοίαστως.

Δοιδυκοποιός ὁ τὰ κοχλιάρια ποιῶν.

Δοίδυξ. παρὰ τὸ δαίω. τὸ μερίζω. δαδύσ:κω τὸ ταράσσω. ἢ παρὰ τὸ δαίω τὸ κόπτω καὶ ταράσσω. γίνεται δαδύσκω, δάδαξ. σημαίνει δὲ τὸ ἀλετρίβανον. ἐστι δὲ καὶ τὸ κοχλιάριον.

Δοῖαν. δωρήσαντο. ἀόριστος δεύτερος εὐκτικόν. ἐκ τοῦ δίδωμι. ἐδίδων ὁ δεύτε:ρος ἀόριστος. ἔδων. ἢ μετοχὴ δοῦς, δόν:τος. δοίην. δοίημεν. καὶ ἐν συγκοπῇ δοῖ:μεν.

Δοίην. εἰς τὸ δώησαν.

Δοιὼ ὄνομα. ἢ εὐθεία τῶν ἑνικῶν. ὁ δοιός. οἱ γὰρ δωριεῖς. τὴν ἀναλογίαν τῶν ἐν τοῖς ῥήμασι φυλάττοντες, καὶ ἐν τοῖς ὀνόμασι πλεονάζουσι τὸ ι. γίνε:ται δὲ ἐκ τοῦ δέω τὸ δεσμεύω. δοός καὶ πλεονασμῶ τοῦ ι δοιός, καὶ ἢ γενικὴ διός. ἢ εὐθεῖα τῶν δοϊκῶν. δοιὼ αὐτὰρ ὁ δοιὼ δουρε —

Δοκῶ τὸ νομίζω καὶ ἐπιγηρῶ.

Δοκίμιον. ἐκ τοῦ δόκιμος. τοῦτο παρὰ τὸ δοκῶ ἢ δέχω.

Δοιῶ. εἰς τὸ δέδοικα. καὶ δύο.

Δοκῶ. καὶ προσδοκῶ. ἁπλοῦν μὲν πρῶ:της συζυγίας. τῶν περισπωμένων σῶ:θετον δὲ δευτέρας καὶ εἰς τὸ προσδοκῶ καὶ καραδοκεῖν.

Δολιχόν. εἰς τὸ δούλιχον.

Δολομῆτις. παρὰ τὸ δολῶ. δολοῖς γέγονε.

Δόλος. παρὰ τὸ δέλω τὸ δελεάζω. ἢ ἡ πλανῶ. ἰστέον ὅτι τὰ τῆς τρίτης καὶ δευτέρας συζυγίας τῶν περισπω:μένων διὰ τοῦ ῑ γράφεται. ἐν . . . . τλῆμα.

Δομεῦειν. εἰς τὸ βοωδόμον.

Δομήνικος. δοί μοι καὶ νικᾶς.

Δομῶ. εἰς τὸ δῶ. καὶ θεμέλ:

Δολοφροσύνης. δόλος ἐστὶ πᾶν τὸ δελεά:ζον.

Δόνακες. κάλαμοι, ἁλιευτικοί, ἢ αὐ:λοί. πρότερον γὰρ ταῖς λύραις ἀντὶ κέρατος ἐτίθεσαν καλάμους. γέγονε δὲ παρὰ τὸ δονῶ τὸ συστρέφω.

Δόναξ ὁ κάλαμος. παρὰ τὸ δονεῖσθαι

εὐχερῶς πεφυτευμένον.

Δόντος. εἰς τὸ δώσοι.

Δόρπον. τὸ καθ' ἡμᾶς δεῖπνον. τρίβι δὲ τροφαῖς ἐχρῶντο. καὶ τὴν μὲν πρῶ=:την ἐκάλουν ἄριστον. ἣν ἐλάμβανον πρω=:ΐας ἔτι σκοτίας οὔσης. καὶ ὠνομάσθη ἄριστον. ἢ παρὰ τὸ λαμβάνοντας αὐ=:τοὺς εἰς ἀριστίαν ἀπέρχεσθαι. ἢ ἀπὸ τοῦ προσφέρεσθαι ταύτην πρώτην τὴν τροφήν. παρὰ τὸ ἄειρε ὠνομασμένης τῆς λέξεως.

μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μήτηρ.

τὴν δευτέραν. δεῖπνον τὸ καθ' ἡμᾶς λεγόμενον ἄριστον. καὶ ἔστι κατὰ τὸ ἕτοι=:μον δεῖπνον. μεθ' ὃ δεῖ πονεῖν. ὅπερ ἐστὶν ἐνεργεῖν. λαμβάνοντες γὰρ τὴν τροφὴν πάλιν ἐπὶ τὰ πολεμικὰ ἔρ=:γα ἐπόνουν. τὴν δὲ τρίτον δόρπον τὸ καθ' ἡμᾶς λεγόμενον δεῖπνον. καὶ ἐστὶ κατὰ τὸ ἕτοιμον ἰσάνερπον. ὅταν εἰς τὸ ἰάνειν πορευώμεθα. ὅπερ ἐστὶ κοι=:μᾶσθαι. Αἴσχυλος δὲ καὶ τῆς τάξεως. καὶ τῶν ὀνομάτων μάρτυς ἐστὶ λέγων.

β ἄριστα δόρπα αἰρεῖσθαι.

Δότειρα. ἐκ τοῦ δίδωμι, δώσω, δέδωκα. δέδομαι, δότειρα.

Δοτική. παρά τό δῶ δώσω. δοτική. ἡ τάς δόσεις παρέχουσα. καί τά ἀ:ποστελλόμενα.

Δορά. παρότι ἐκ τοῦ δέους τοῦ θη:ρός ἐκδάρη. παντός γάρ θηρίου τό ἔκδαρμα δορά λέγεται. παρά τό εἶναι αὐτό φοβερόν. δέος γάρ ὅ φόβος ἐστί.

Δοχή. ἡ δεξίωσις. ἐξ οὗ καί ἐδεξιοῦτο τό ἐδέχετο.

Δόξα. τιμή, ἔπαινος. ὑπόληψις. φήμη καί γνῶσις.

Δόξα. παρά τό δοκῶ. δόξω. δόξα.

Δοξούμενοι. ἀντί τοῦ δοξαζόμενοι ἐκ τοῦ δοξέω, δοξῶ. καί οὐχί δεξόω. ἡ γάρ σωθεσίς, ἐδήλωσε τήν ἀκρίβειαν. κενός. δοξῶ γάρ κενοδοξήσω. καί οὐ κενοδοξή:σω. γίνεται δέ ἐκ τοῦ δόξα. τοῦτο ἐκ τοῦ δοχῶ. τοῦτο ἐκ τοῦ δέχω τό λαμβάνω.

Δότης. δότου.

Δῶς ἀγαθή. ἀπό τοῦ δώσω. δῶς. δότε. μετάδος ἐνδεῆ τόν ἄρτον μή δότε τό ἅ:γιον.

Δορκάς. ὅτι δέρκει μακρόθεν. ἡ ἐκ τοῦ ὀξέως δέρκειν ἤ ὁρᾶν.

Δόρπος· τὸ δεῖπνον· παρὰ τὸ ἕρπειν ἡμᾶς ἀπ' αὐτοῦ εἰς ὕπνον. ἢ παρὰ τὸ ἑρπεῖν ἡμᾶς εἰς τὸ δάειν ὅ ἐστι κοι:μᾶσθαι.

Δόρυ· ἀπὸ τοῦ δρυς· δρυός· δόρυ· ἐπὶ τὸ δέρω ὅ σημαίνει τὸ λεπίζω· τοῦ γὰρ φλοιοῦ λεπίζεται τὰ ξύλα· ἢ ἐκ τοῦ θορῶ ὅ σημαίνει τὸ πηδῶ· θόρυ τὸ ὄν· καὶ δόρυ τὸ ἐκ τῆς γῆς ἀνατρέχον· καὶ ὅ ποιητής.

ἐπεὶ οὔπω τοίνυν ἀνήλουθεν ἐκ δόρυ γαίης· ἢ ἐκ τοῦ δρυς· οἱ γὰρ ἀρχαῖοι, ἐκ δρυΐ:νων κατεσκεύαζον ξύλων.

Δόρυ· δρυον ἂν εἴη· παρὰ τὴν δρυῦ· οἷον δρυΐνον οὕτως εὗρον ἐν ὑπομνήμα:τι Θέωνος εἰς τὴν ὀδυσσείαν.

β. Δορυαλος· τὸ γυναικεῖον αἰδοῖον· Ἀριστο:φάνης.

αἱ γυναῖκες τὸν δορυαλον φαίνουται· παρὰ τὸ δέρειν τὸ τυπτόμενον· ἢ τὸ τιλλόμενον τὰς τρίχας· οἱονει ἐκδερόμε:νον κατὰ σημασίαν· ἐψήλουν· ὡς δῆλον ἐκ τοῦ παρὰ Ἀριστοφάνους· ἢ βυλλιῶσαι κ' ἄρτιον παρατετιλμέναι.

Δορύξενος. εἰς τὸ πρόξενος.

Δόσαν. τὸ ῥῆμα δίδωμι. ὁ δεύτερος ἀόριστος ἔδων ἔδεμεν. τὸ τρίτον κατὰ συστολὴν ἔδεσαν. ὁ καλ. οἱ γὰρ Βοιωτοὶ ἐπὶ τῶν μὴ ἐ=χόντων τὴν μετοχὴν εἰς σ ὀξύτονον πο=ιοῦσιν ἰσοσύλλαβον τὸ τρίτον τῶν πλη=θυντικῶν τῷ πρώτῳ οἷον ἐμάθομεν. ἐμάθοσαν. εἴδοσαν. καὶ συναρχομένως δόαι.

Δουλεία. ποίου εἴδους τῶν ὑποπτεκότων τῷ ὀνόματι. πρός τι, καὶ πόσοι τρόποι τῆς δουλείας. τρεῖς. τὸ κατὰ δημιουργίαν. ὡς τὸ ὅτι τὰ σύμπαντα δουλάσει. καὶ κατὰ δικαιοσύνην. ὡς τὸ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθημεν τῇ δικαιοσύνῃ. λέγεται δὲ καὶ δουλεία. καὶ ἐπὶ τῶν ἀργυρωνήτων. ὡς τὸ ἠγόρασα δοῦλον.

Δοῦλος. παρὰ τὸ δέω. τὸ δεσμεύω ἢ παρὰ τὸ δύη. ὁ σημαίνει τὴν κακοπαθεί=αν. ὁ ἐν κακοπαθείᾳ ὤν.

Δούλη. ποιοῦ εἴδους. τῶν ὑποπτεκότων τῷ ὀνόματι. πρός τι. καὶ πρός τινα ἔχει. πρὸς τὴν δέσποιναν.

Δούλου. πόθεν παρήχθη. ἀπὸ τῆς —

κακοπαθείας. δυηλός τις ὤν. καί κατά πλεονασμόν τοῦ ο̄ δοῦλος. ὅ κακοποιῶν ἐν τῷ δουλεύειν.

Δολιχόδειρος. παρά τό δολιχόν τό μακρόν, καί τό δειρή ὅ σημαίνει τόν τράχηλον. τό λῑ. ῑ. τά διά τοῦ ῑχος, διά τοῦ ῑ γρά:φεται. οἷον σωτήριχος. δόλιχος. τάριχος. σημαίνει δέ τόν πεπασμένον ἰχθῦν. πλήν τῶν παρά τό τ χος οἷον ἐωτ χος. καλ:λίτριχος. διαφέρει δέ δόλιχος καί δολι:χός. προπαροξύνεται δέ ἐπί τοῦ ὀσπρίου. ὀξύνεται δέ τό μακρόν. λοιπόν ἐκ τοῦ δοχόν. τό μακρόν. καί τό δειρή γίνεται δολιχόδειρος. ὅ μακροτράχηλος. ἐπειδή τά ἀπό τῶν εἰς ᾱ καί εἰς η̄ θηλυκά γί:νεται.

Δοῦλοι. καί οἰκέται οἵ θεράποντες. δια:φέρει παρά τοῖς ἀρχαιοῖς. δοῦλοι μέν γάρ καί τῶν ἡδονῶν λέγονται. καί πάντες οἵ τεταγμένοι ὑπό βασιλέως, οἰκέται δεσποτῶν. θεράποντες δέ οἵ ὑποτεταγμένοι φίλοις ὑφ' ὧν θεραπεύ:ονται οἵ προσήκοντες.

Δοῦλος. πάντοτε δελεάζων.

Δοῦναι. καὶ ὑποδοῦναι διαφέρει. δοῦναι μὲν γὰρ ἐστὶ τὸ χαρίσασθαι. ἀποδοῦναι δὲ τὸ χρεωστημένον παραχεῖν.

Δοῦπος. ὁ ἦχος. ὁ δέω ἐμποίων. ἢ φό:βον. ἢ ὁ δέους ἔχων ὅπαν. ἢ φωνήν. καὶ εἰς τὸ ἐργδοῦπος.

Δοῦπος. παρὰ τὸ δέους ὅπας ἔχειν. σημαίνει δὲ τὸν κτύπον.

Δουρί. ξίφει. ἐκ τοῦ δρῦς δρυός. καὶ ὑπερβιβασμῷ βαρυ δουρός. καὶ δουρί

Δοῦς. εἰς τὸ δῶνοι.

Δράξ. ἀλεδρου. δράξ χειρός. ἢ κράτησις. καὶ εἰς τὸ ποστημόριον.

Δράγματα. παρὰ τὸ δράσσω. δράξω. δέδρα:χα. δέδραχμαι. δρᾶγμα.

Δραίνω. εἰς τὸ ἀδράνεια.

Δρακοντίας. εἰς τὸ δίας.

Δράκων. διὰ τὸ δρᾶσθαι κακῶς. ἢ λυμαί:νεσθαι. ἢ παρὰ τὸ δέρκω τὸ βλέπω. ἐξ οὗ καὶ δορκάς. καὶ ὁ δεύτερος ἀό:ριστος. ἔδρακον. οὕτως ἔχει καὶ τὸ ἔ:παθον ἐκ τοῦ πενθῶ. καὶ τοῦ ἔτραπον. ἐκ τοῦ τρέπω. ἔδερκον ὤφειλεν εἶναι. ἀλλὰ διὰ τὸν κανόνα τὸν λέγοντα. ὅτι

ἔτι καὶ ἀπὸ μὲν βαρυτόνων θεμάτων
καὶ τὰ ἑξῆς γίνεται ἔδρακον. καὶ ὅμηρος.
ἔδρακον ἄυτας — καὶ ἐξ αὐτοῦ δράκων.

Δρακῶν. παρὰ τὸ δέρκω τὸ βλέπω. ἐξ
οὗ καὶ δράγματα τὰ βλέμματα.

Δράμα. εἰς τὸ ὑπόδρα.

Δρᾶγμα. πληθυντικῶς δὲ λέγονται τὰ
δράγματα. σημαίνει τοὺς στάχυας ὅσους
δύναται ὁ θεριστὴς τῇ ἀριστερᾷ περιλα-
βεῖν θερίζων. εἴρηται παρὰ τὸ δράξασθαι
τὸ σημαῖνον τὸ λαμβάνειν. οὕτω γὰρ
δραγμὴ καλεῖται τὸ πλῆθος τῶν κερ-
μάτων, ἢ τῶν ὀβολῶν.

Δραπέτης. παρὰ τὸ δρῶ τὸ σημαῖνον
τὸ ὑπηρετῶ καὶ τὸ πετῶ ῥῆμα. δραπέ-
της ὅτι οἱ φεύγοντες τὴν δεσποτικὴν
ὑπηρεσίαν ὑπὲρ τοῦ μὴ λυφθῆναι. ὡς
οἷοί τε εἰσὶ τάχος χρῶνται. φιλόξενος
ἐν δευτέρῳ τῶν μονοσυλλάβων ῥημάτων

Δύναμις. καὶ ἰσχὺς διαφέρει. ἡ μὲν γὰρ
δύναμις καὶ ἀπὸ ἐπιστήμης γίνεται καὶ
μανίας καὶ θυμοῦ. ἥδε ἰσχὺς, ἀπὸ φύ-
σεως καὶ εὐτροφίας τῶν σωμάτων.

Δραγμή. σταθμός ὁρισμένος. ἢ τὸ συνά-
θροισμα τῶν ἓξ ὀβολῶν. παρὰ τὸ
δέδραγμαι δραγμή. τὸ παλαιὸν γὰρ τῶν
ἀνθρώπων ὀβολοῖς κεχρημένων ἀντὶ νομίσ-
-ματος, ὅσον τῇ χειρὶ δραξαμένους δυνα-
-τὸν ἦν περιλαβεῖν, τοῦτο δραγμὴν ἐκα-
-λοῦν παρὰ τὸ δράξασθαι.

Διάς. παρὰ τὸ διϊέναι καὶ διαπορεύεσθαι.
πρώτη γὰρ ἡδ διεχώρισεν ἑαυτὴν ἀπὸ
τῆς μονάδος. τῆς γὰρ μονάδος ἕνωσιν δη-
-λούσης. ἡ διὰς διαχωρισμὸν δηλ. διό.
καὶ τόλμαν αὐτὴν οἱ πυθαγορικοὶ καλοῦ-
-σιν. ὡς τολμήσασαν ἐκστῆναι τῆς μονά-
-δος. καὶ ἀποφάσα. ὡς ἐπὶ κακῷ λαμβα-
-νομένη. διὸ καὶ οἱ Ρωμαῖοι. τὸν δυο
ἀποστρεφόμενοι κατὰ ἀντίφρασιν αὐτὸν
ὀνομάζουσι σεκοῦνδον. ὃ σημαίνει τὸ
αἴσιον. ὡς ἀπαίσιον αὐτὸν εἶναι.

Δρέπανον ἐκ τοῦ δρέπω

Δρόσος. κατὰ παράληψιν τοῦ ι. ἡ
ὑπὸ διὸς ὑομένη διόσις οὖσα. καὶ πλε-
ονασμῷ τοῦ ρ καὶ συγκοπῇ τοῦ ι.
δρόσος.

Δροπακίζω. συνάγω. δροπὰ γὰρ τὰ δρέ-
-πανα.

Δραμ῀ δρέμω· δραμῶ· ὁ δεύτερος ἀόριστος ἔδραμον.

Δραμεῖν· τὸ θέμα ἐστὶ δρέμω· ὁ δεύτερος ἀόριστος ἔδραμον ὁ δεύτερος μέλλων δραμῶ· καὶ τὸ ἀπαρέμφατον δραμεῖν.

Δράμημα· εἰς τὸ ἔδραμον.

Δρομεὺς· δρομέος· ὁ ἡνίοχος.

Δραγμαῖα· ἡ δραγμή· ἡ δὲ δραγμὴ σταθμός ἐστι ὁβολῶν ϛ ἢ εἶ δὶς μέτρου ἀντὶ νομίσματος· αἱ δὲ χίλιαι δραχμαὶ ποιοῦσι μνᾶν μῖαν.

Δραγμὴ δέ ἐστιν ἡ ὄχουσα γράμματα.

Δραπέτης· ὁ τὸ δρᾶν ἢν τὸ πράττειν πιστεύων τουτέστιν ἐγκλίνων.

Δρέμω· εἰς τὸ δραμ῀ καὶ ἔδραμον.

Δρήθω· εἰς τὸ ἀποδάρθητι.

Δρομαίως· τὰ εἰς ῶς ἐπιρρήματα· καὶ διὰ τὸ ο̄ μικροῦ καὶ διὰ τὸ ω̄ μεγάλου δρομαῖος ἐπὶ ἑνικῶν μακρόν· ὡς τὸ δρομαῖος ἔθει ὁθύαμος δρομαίως δὲ ἐπὶ τῶν πληθυντικῶν μέγα· ὡς τό· οἱ δὲ πολέμιοι πρὸς τὸ τεῖχος ἤεσαν.

Δρόσος· παρὰ τὸ ἴω τὸ βρέχω ἱς καὶ τροπῇ τοῦ ῡ εἰς ῡ· καὶ πλεονασμῷ τῶν

συμφωνων. ἢ παρὰ τὸ ῥέω ῥόσος. καὶ δρόσος πλεονασμῶ τοῦ δ. ἢ παρὰ τὸ ζεῦς ιδιός. καὶ τὸ σεῦω τὸ ὁρμῶ. δίοσις καὶ ἐνσυγκοπὴ καὶ πλεονασμῶ τοῦ ρ δρόσος. ἢ παρὰ τὸ δρῶ τὸ πράττω. καὶ τὸ σῶον. ἢ σῶους δρῶσα τοὺς καρποὺς. βαρῦ τὰ εἰς οὐ δισύλλαβα. δίβραχέα θηλυκὰ βαρύνον=ται.

Δρύφακτος. θρύμακτος. τὸ ἀπὸ σανίδων σύμπηγμα.

Δροσούμενοι. δροσιζόμενοι. ἔστι δρόσος. καὶ ἐξ αὐτοῦ γίνεται δροσίζω. καὶ δροσῶ δροσήσω. καὶ ὁ παθητικὸς δροσούμενοι.

Δρύφακτοι ξυλινοι θῶρακες, πύργοι, τὰ διαφράγματα. ἢ τὰ περιτειχίσματα. ἢ αἱ τῶν δικαστηρίων θῦραι. ἢ τὰ μάγκελλα. ἢ αἱ λεγόμεναι παρ' ἡμῖν ἄρκλαι.

Δρυφός. ἀμυχή. ξέως. παρὰ τὸ δρυφῶ ὃ σημαίνει τὸ ἀποξέω.

Δρῶ εἰς τὸ ἀποδαρθεῖν. καὶ σφόδρα. καὶ ὑπόδρα.

Δυάς. παρὰ τὸ διΐσαι. μόνη γὰρ πρῶ=τη ἡ δυάς. διΐσταται ἀπὸ τῆς μονά=δος. ὅθεν οἱ πυθαγορικοὶ τρίμαν αὐτὴν

εἶπον. ἢ παρὰ τὸ διήκειν καὶ διεξιέναι ἐπὶ κίνησιν ἐπὶ τῆς μονάδος. ἢ παρὰ τὸ συνδεδέσθαι τῷ ἀριθμῷ. τί γὰρ ὄν, ἀπολε:λυμένον. ἔστι γὰρ δέω. δύω. ῥέω. ῥύω. χέω χύω. ἢ παρὰ τὸ διϊέναι μόνη. καὶ γὰρ ἡ δυὰς πρώτη διϊσταται ἀπὸ τῆς μονάδος. καὶ εἰς τὸ δύο.

Δυάς. παρὰ τὸ συνδεδέσθαι ἄλλῳ ἀριθμῷ. τῷ ἑνί. τὸ γὰρ ἕν, ἀπολελυμένον ἐστι πα:ρὰ τὴν ἕην καὶ ἄφεσιν.

Δρυμός. παρὰ τὸ δρῦς. δρυός. καὶ τοῦ δέ:ρω τὸ ἐκδέρω. οἱ γὰρ παλαιοὶ πᾶν δένδρον δρῦν ἐκάλουν.

Δυγός ὁ ζυγός. εἰς τὸ ἵδρυσε.

Δυηπαθείας. ἄνει πόνου, καὶ δυηπαθείας, κακοπαθείας δυστιχι. δύη γὰρ ἡ κακο:παθεία. ⌓: λύη τις οὖσα. ἡ λύουσα τὰ μέλη. ὅθεν καὶ δοῦλος. ὁ δυστοχής. καὶ κακῶς πάσχων δύηλός τις ὤν.

Δύη. ἡ κακοπάθεια. εἰς τὸν παθόντα.

Δύμεναι κατέρχεσθαι. ἀόριστος δεύτερος καὶ μέλλων. τὸ ῥῆμα. δύμι. τετάρτης συζυγίας τῶν εὐμι. ἡδὲ τετάρτη, ἀπὸ τῆς πέμπτης τῶν βαρυτόνων. οἷον.

δυω δυμϊ·

Δυσαι· τό ῥῆμα· δυσω· ἐκ τοῦ δυο·
ἤ παρά τό δέδυκα· ὅ παθητικός δέδυσ:
:μαι· καί ὄνομα ῥηματικόν· δυσμή· και
δυσμαί· ὅπου ἐξέρχεται καί ὑπειδυσα·
καταδυσαι εἰσελθεῖν·

Δυνάστης· παρά τό δυνάζω· ὅ μέλλων
δυνάσω· ὅ παρακείμενος δεδυνακα·
δεδυναμαι, δεδυνασαι· τό τρίτον δε:
δυνασται· καί ἐξ αὐτοῦ δυνάστης· καί
κλίνεται δυνάστου·

Δυναστείαις· ἤ εὐθεία· δυναστεία· παρά
τό δυναστευω· τοῦτο παρά τό δυνάστης·
τοῦτο παρά τό δυνημϊ·

Δυσω· εἰς τό πίνω·

Δυσαμις· παρά τό δυω τό τοπεισέρχο:
:μαι· δυσαμις καί δυσαμις·

Δυσωνται· ἰσχυουσιν· ὑποτακτικόν ἐκ
τοῦ δυνημϊ· οὗ τό παθητικόν δυσαμαι·
καί τό ὑποτακτικόν ἐάν δυσωμαι· καί
ὤφειλεν εἶναι προπερισπωμενον ἐάν
δυσωμαι· ὡς πήθωμαι· ἀλλά κανων
ἐστίν ὅ λέγων ὅτι ἡνίκα εὑρεθῆ ὅ ἐ:
:νεστως των εἰς μι ἐν χρήσει· τότε
προπερισπᾶται τα ὑποτακτικά· οἷον

τίθημι· ἐάν τίθημι· ἐαν τιθῶμαι.
ἵστημι ἐάν ἱστῶμαι· ἡνίκα δέ ὅ ἐνεστὼς
οὐχ' εὑρίσκεται ἐν χρήσει· τότε προ=
=παροξύνεται· οἷον δύνημι· ἐαν δύνω=
=μαι· τό γάρ δύνημι ἐν χρήσει οὐχ' εὑ=
=ρίσκεται· λοιπόν τό παθητικόν, δυνώ=
=μεθα· καί τό τρίτον δύνωνται·

Δυο· ἐπίρρημα ἀριθμητικόν, γίνεται
δέ παρά τό συνδεδέσθαι ἑτέρω ἀριθμῶ.

Δυσαχθές· τό δυσίαστον· ἔστιν ὄνομα
οὐδέτερον τό ἀρσενικόν ὁ δυσαχθής·
γίνεται ἐκ τοῦ δυς καί τοῦ ἄλθω τό
θεραπεύω· τοῦτο ἐκ τοῦ ἄλξω τό αὔξω.
τό γάρ ὑγιὲς αὔξεται·

Δύσερον φιλόνεικον· παρά τό δυς ὅ
ἐστι κακόν· καί τήν ἔριν·

Δυσκάθεκτον· ἔστιν ἔχω τό κρατῶ·
ὁ μέλλων ἕξω· ὁ παθητικός παρακεί=
=μενος ἦγμαι· τό τρίτον ἦκται· καί
ἐξ αὐτοῦ ἕκτος· καί μετά τοῦ δυς μορί=
=ου δυσκάθεκτος, ὁ ἀκράτητος· ἐκ
δέ τοῦ δυς καί τοῦ θεός γίνεται δύσθεος.
ἤ παρά τό κατέχω, καθέξω, καθεκτός.

καὶ μετὰ τοῦ δ̅υ̅ς̅ μορίου δυσκάθεκτος.
ἢ ἡ μὴ κρατουμένη.

Δύσκωλος. παρὰ τὸ δυς μόριον ὅ ἐστι στερητικὸν ὅ σημαίνει τὸ κακόν. καὶ τὸ κολλω. ὅ δυσκόλως τινὶ κολλωμε:νος.

Δυσμενὴς ὅ ἐχθρός. καὶ δυσμένεια ἡ ἔχθρα.

Δυσσεβὴς ὅ ἀσεβὴς.

Δυσις τὴν ἑσπέραν σημαίνει παρὰ τὸ δυο εἴρηται ἀριθμός. καὶ τὸ φως. παρὰ τὸ σκότει συνδιάζεται.

Δυσις δυσεως. ἡ ἑσπέριος γῆ. παρὰ τὸ δυσειν τὸν ἥλιον ἐν αὐτῇ. ὅ ἐστι κρυπτεσθαι.

Δυσκάθαρτος. ὅ ἀκάθαρτος. ἀντὶ τοῦ ᾱ γὰρ, τὸ δ̅υ̅ς̅ μόριον.

Δυο. καὶ δευτερος διαφέρει. τὸ μὲν γὰρ δυο ἐπὶ προσωπων τάσσεται. οἷον δυο ἦσαν οἱ διόσκουροι. τὸ δὲ δευ:τερος. ἐπὶ τάξεως.

Δυρράχιον. πόλεως νέας ἠπείρου. ἢ ὕστερον κληθεῖσα ἐπίδαμνος. πάλιν δέ τι νῦν καλουμένη Δυρράχιον. ὅτι κατὰ τὸν τόπον προσχουσης ἄκρας γηολόφου. τὸ κυμα προσπίπτον καὶ χιζόμενον—

ῥαχίαν ποιεῖ μεγάλην· ὅθεν διὰ τὴν
ῥαχίαν καὶ δύσορμον ἢ ῥῆξιν καὶ χῆμα
δυρράχιον ὠνόμασε τὸν τόπον.

Δύσκολος ὁ δυσάρεστος· παρὰ τὸ κολλῶ
δύσκολος· ὁ δυσχερῶς τινὶ ἑνούμενος.
ὑπὸ τῆς συνδεούσης καὶ ἑνούσης κόλλης
καὶ ἄλλως. δύσκολος οἱονεὶ δυσκολλός
τις ὁ δυσχερῶς τινὶ κολλώμενος· καὶ
συναπτόμενος· ὥσπερ ἐκ τοῦ ἐναντίου
κόλαξ· κόλαξ τίς ὤν· καὶ συνάπτεσθαι
σπουδάζων.

Δύω Ἀττικοί, διὸ καὶ μετὰ τοῦ ω. εἴρη-
ται δὲ παρὰ τὸ διϊέναι· μόνη γὰρ πρῶ-
τον διΐσταται ἀπὸ τῆς μονάδος· ὅθεν οἱ
Πυθαγορικοὶ τόλμαν αὐτὴν εἶπον.

Δύω· σημαίνει τὸν ἀριθμὸν εἰς δύο καὶ τὸ
ἐνδύσασθαι ἱμάτιον.

Δύω· πολλὰ σημαίνει τὸ ῥῆμα· τὸ
τοῦ ἀριθμοῦ· σημαίνει καὶ τὸ ἐνδύσασθαι
ἱμάτιον· ὅμηρος.

ὀφρ' ἂν ἐγὼ δύω κατὰ τύχεα πολίωνος.
ἀπὸ τοῦ δέω τὸ δεσμῶ, ὡς χέω χύω.
καὶ ἐν συνθέσει, ἐνδύω ἔνδυσις· δοκεῖ
γὰρ δέδεσθαι τῇ ἑαθῆτι.

Δύω τὸ τοῦ ἀριθμοῦ ὄνομα· παρὰ τὸ

δῶ τὸ δεσμῶ. ἵν' ἢ ὁ ἐκ συνδέσεως πρῶτος ἀριθμός. πρὸς ἀντιδιαστολὴν τῆς μονάδος.

Δυσωδία. ἐκ τοῦ ἄζω. δυσωδία δέ.

Δυσμένης βαρυθυμος. ὀργίλος, μνησί:κακος.

Δυσμή. παρὰ τὸ δέω δεσμός. καὶ δύω δυσμή. ὅτι συνδεῖται τῶ φωτὶ τὸ σκότος καὶ συνάπτεται.

Δυσμενής. πολέμιος. ἐχθρός. παρὰ τὸ δῦς μόριον καὶ τὸ μένος. ὃ σημαί:νει τὴν δυναμιν καὶ εἰς τὸ ἐχθρός.

Δυσμ. ἡ εὐθεῖα. δυσμή. γίνεται παρὰ τὸ δυνη. δυνημι. τοῦτο παρὰ τὸ δύω. ὃ παρακείμενος δέδοκα. ὃ παθητικὸς δέδυσμαι καὶ ὄνομα ῥηματικὸν δυσμή. ἡ γενικὴ τῶν πληθυντικῶν. δυσμῶν.

Δυσπειθής. ὁ ἄπιστος. ἀπειθοῦς διαφέ:ρει. δυσπειθὴς μὲν γάρ ἐστιν, ὃς δυσχε:ρῶς δέχεται τὸν πιστικὸν λόγον. ἀπει:θὴς δὲ ὃς ἀποκρούεται καὶ ἀχυῖός τε ἐστι πείθεσθαι. ὁ μὲν γὰρ δυσπειθής, δυσκόλως δέχεται τὸν πιστὸν λόγον. ὁ δὲ ἀπειθὴς ἀποκρούεται καὶ οὐδόλως πείθεται.

Δύστηνος· ὁ δυστυχής· παρὰ τὸ στένω καὶ τὸ δῦς ἐπίρρημα, καὶ ἐν ἐκτάσει δύστηνος· καὶ ἀποβολῇ τοῦ σ̄ ὁ ἀεὶ κακὸς στένων· τὸ δ' αὐτὸ καὶ ἄστηνος· τοῦ ᾱ ἐπιτατικοῦ σημαίνοντος.

Δύστεινος· ἄθλιος· ταλαίπορος· παρὰ τὸ στένειν· ἐπεκτάσει τοῦ ε̄· εἰς η̄.

Δυσφορώτατον παρὰ τὸ δῦς καὶ τὸ φορά, ὁ σημαίνει τὸ βάρος

Δυσχερής· εἰς τὸ εὐχερής.

Δυφόρος· εἰς τὸ ἀσύφηλος καὶ ἀφροδίτης.

Δύφος εἰς τὸ χειμερίαι.

Δυσωπῶ· παρὰ τὸ δῦς ἐπίρρημα· ὁ σημαίνει τὸ πολὺ καὶ τὸ ὀπῶ τὸ βλέπω. ὁ τὸ πρόσωπον βλέπων καὶ παρακαλῶν. γράφεται δὲ τὸ ω̄ μεγα κατ' ἐπαύξησιν τοῦ ο̄ εἰς ω̄ ὦπα γὰρ ὁ ὀφθαλμὸς διὰ τοῦ ω̄ μεγάλου.

Δύω· αὐταὶ ὁ δεῦρε δύω. ὧδε γράφεται διὰ τὸ μέτρον μέγα, κοινὸν μὲν γὰρ διὰ τοῦ ο̄ μικροῦ. Ἀττικῶς δὲ διὰ τοῦ ω̄ μεγάλου. καὶ ποῖον ἐστὶν ἀναλογώτερον, τὸ διὰ τοῦ ω̄ μεγάλου. ἐπειδὴ ἐμάθομεν, ὅτι τρία εἰσὶ τελικὰ τῶν

δυϊκῶν στοιχείων. ᾱ. ε̄. ω̄. τούτου χάριν
ἀναλογώτερον ἐστὶ διὰ τοῦ ω̄ μεγάλου,
καὶ οὐ διὰ τοῦ ο̄ μικροῦ.

Δύω. παρὰ τὸ δωδεδέσθαι. ἑτέρως ἀ-
-ριθμῶ. καὶ γράφεται τὸ δῡ ψιλόν. καὶ
διφορεῖται. ὅταν γὰρ μακρῶσεται,
γράφεται διὰ τοῦ ῡ ψιλοῦ, καὶ τοῦ ο̄
μικροῦ; κοινῶς. ὅτε δὲ γράφεται διὰ
διφθόγγου ὀξῶσεται, καὶ διὰ τοῦ ω̄ με-
-γάλου Ἀττικῶς. γίνεται δὲ τὸ δοίω
τὸ διὰ διφ̄ ὡς τὸ δοιαὶ μὲν μενε-
-λάω. καὶ ἐστι κατὰ διάλεκτον.

— ἐν δοιὴ δὲ σαώσαμεν ἢ ἀπολέσθαι.

ἐκ τοῦ δύο, τὸ διὰ τοῦ ο̄ ψιλοῦ. πλε-
-ονασμῶ τοῦ ο̄ καὶ τροπῇ τοῦ ῡ εἰς
ῑ καὶ εἰς τὸ ἄδυτω.

Δύω. εἰς τὸ ἄμφω. τὸ δύω. σημαίνει
τρῖα. τὸ ἐνδύσασθαι ἱμάτιον. τὸ
εἰσελθεῖν. καὶ δύο ἀνοῦς

Δυσχερές. τὸ δυσκόλως. ὑπὸ τῶν χει-
-ρῶν ἐργαζόμενον εὐχερές.

× × ω̄ εἰς ἴημι καὶ πίπτω.

Δώδεκα. παρὰ τὸ δύο δέκα. τοῦ ῡ
καὶ ο̄ εἰς ω̄ κραθέντων, γέγονε δώδεκα.

Δωδέκατος. παρὰ τὸ δύω. καὶ τὸ δέ=
:κα. γίνεται δυοδέκατος. καὶ κατὰ κρᾶ=
:σιν δωδέκατος.

Δώησοι. ἔστι δίδωμι ἡ μετοχὴ δοὺς δόν=
:τος. τὸ εὐκτικὸν δοίην. καὶ ἐπαυξή=
:σει τοῦ ο εἰς ω δώηι μετὰ τοῦ προσ=
:γεγραμμένου.

Δώησοι. παρέξει σοι. εὐκτικὸν ῥῆμα.
ἀόριστος δεύτερος ἔστι δίδωμι. ὁ μέλ=
:λων δώσω ὁ δεύτερος ἀόριστος ἔδων.
ἡ μετοχὴ δοὺς. δόντος. καὶ τὸ εὐκτικὸν
δοίην. καὶ ἐπαυξήσει τοῦ ο εἰς ω μέγα
δώην. καὶ μένει τὸ ι προσγεγραμμένον.

Δῶμα. ὁ οἶκος. παρὰ τὸ δομῶ τὸ
οἰκοδομῶ. τὸ δὲ δομῶ. παρὰ τὸ δε=
:μῶ παρὰ τὸ δέμω. τὰ γὰρ εἰς ω
λήγοντα ῥήματα. τῶ ε παραληγό=
:μενα ἡνίκα περισπασθῶσι. τρέπει
τὸ ε. εἰς ω.

Δωρῶ. τὸ παρέχω. καὶ δῶρα τὰ
διδόμενα.

Δώματι. ἡ εὐθεῖα δῶμα. παρὰ τὸ
δομῶ δομήσω δόμημα καὶ ἐν ὑπερβι=
:βασμῶ, δόημα, καὶ δῶμα. τοῦ μακροῦ
εἰς μακρὸν τραπέντος.

Δῶρον. παρὰ τὸ δίδωμι. δώσω. δῶρον.

Δῶς. ὄνομα θηλυκόν. ἔστι δὲ ἄκλιτον. ἐπειδὴ τὰ εἰς ω̄ θηλυκὰ πρωτοσύλλαβα, κυρία εἰσὶ καὶ περισπώμενα. ἐπειδὴ δὲ τὸ δῶς θηλυκὸν ὄν, οὐκ ἔστι κύριον οὐδὲ περισπώμενον, ἀλλὰ μᾶλλον ὀξύτονον. τοῦτου χάριν ἄκλιτον ἔμεινεν.

Δῶς. παρὰ τὸν δώσω μέλλοντα κατὰ ἀποκοπὴν τοῦ ω̄.

Δῶς παρὰ τὸν δώσω μέλλοντα, κατὰ ἀποκοπὴν τοῦ ω̄. δεῖ γινώσκειν, ὅτι ἐν τοῖς θηλυκοῖς ἄκλιτον ἐστι τὸ δῶς ὃ σημαίνει τὴν δέσιν. οἷον. δὸς μὲν ἀγαθὴ. ἅρπαξ δὲ κακὴ θανάτοιο δοτεῖρα. ἄκλιτον δέ ἐστι, ἐπειδὴ τὰ εἰς ω̄ς θηλυκὰ πρωτοσύλλαβα, καὶ περισπᾶται. καὶ κυρία εἰσιν. οἷον ἡ κῶς. τῆς κῶ. ἡ κρῶς τῆς κρῶ. ἐπεὶ δὲ τὸ δῶς θηλυκὸν ὂν ἐγράφη. οὐκ ἐστι κύριον. ἀλλ' ὀξύτονον. τοῦτου χάριν ἐστιν ἄκλιτον.

Δωρίς. ἡ πελοπόνησος.

Δῶρον. παρὰ τὸ δῶ δῶον τι ὄν. καὶ ἐν πλεονασμῷ τοῦ ρ̄ δῶρον τὸ διδόμενον.

Δώσι. παρέχεις. δίδωμι. ὁ μέλλων δώσω
ὁ δεύτερος ἀόριστος ἔδων. τὸ ὑποτακ-
-τικὸν ἐὰν δῶ. τὸ δεύτερον ἐὰν δῶς.
τὸ τρίτον δῶ. πλεονασμῶ τῆς σι συλ-
-λαβῆς. ἐὰν δώσιν. ὥσπερ ἔχη ἔχουσι.
ἐὰν εἴπη εἴπησι. τρίτα πρόσωπα
εἰσί.
Δώσιν ἐκ τοῦ δίδωμι. ὑποτακτικοῦ χρόνου
ἀορίστου δευτέρου καὶ μέλλοντος. ὁ δεύ-
-τερος ἔδων. τὸ ὑποτακτικόν. ἐὰν
δῶ. δῶς. δῶ κατ' ἐπέκτασιν τῆς σι συλλα-
-βῆς, δώσι. τὸ πληθυντικὸν ἐὰν δῶμεν.
Δώτωρ. δώτορος. καὶ δοτήρ, δοτῆρος.
Δωτήρ ὁ δότηρ. ἀπὸ τοῦ δοτήρ τοῦ ο μι-
-κροῦ ἐκταθέντος. εἰς ω μέγα. δωτήρ.
Δωτίνη. ἡ δωρεά. ἀπὸ τοῦ δώσω μέλλον-
-τος; γέγονε δωσίνη. καὶ κατὰ συγκοπὴν
τοῦ σ εἰς τ. δοτίνη. ἢ ἀπὸ τοῦ δέδοται.
γέγονε δοτός. καὶ ἐκεῖθεν δοτίνη διὰ
τοῦ ο μικροῦ. καὶ τροπῇ τοῦ ο εἰς ω.
δοτίνη διὰ τοῦ ω μεγάλου. καὶ σημαίνει
τὴν δωρεάν.
Δωτίνην. εἴτε ξείνων δόσις ἐστὶ παρὰ τὸν
δώσω μέλλοντα. δωσίνη. καὶ κατὰ τρο-
-πὴν τοῦ σ εἰς τ. δωτίνη. Ἀλέξανδρος
δὲ σώθετον εἶναι τὴν λέξιν, παρὰ τὴν
δόσιν τίνειν ἵν ἢ ἀποτινομένη δόσις.
Δῶος ὁ πρ.

Ἀρχὴ τοῦ Ε.

Τὸ Ε̄ μετὰ τοῦ Α.

Τὸ Ε̄. θαυμάσαιμι τῆς ὀνομασίας. τήν τε γὰρ ἐπέκτασιν, καὶ τὸ κυκλοτερὲς τοῦ αἰῶνος. ἐν τῷ ἰδίῳ τόπῳ δηλ.
Ἐπέκτασις μὲν τὴν εἰς μέσον μακρὰν ἔχων. κυκλοτερὲς δὲ, τὸ περὶ τὴν μακρὰν πέριξ. ὅτι τοῦ ὄντος αἰῶνος μιμεῖται τὰ πέριξ.
Ἐ δασυνόμενον καὶ ἀκλινόμενον δηλ. ἀντωνυμίαν τρίτου προσώπου. πτώσεως αἰτιατικῆς. αὐτὸν ὃς ἐμέγαν πὲρ ἔοντα. ὀρθοτονούμενον δὲ. παλ τρίτ. δεῖ ἑαυτὸν καλὸν δέ μιν εἷς ἕκαστος.
Ἔαι. εἰς τὸ ἑορτή.
Ἔαρ. ἐω τὸ πέμπω. ἐν ᾧ οἱ καρποὶ πέμπονται. ἐτυμολογεῖται δὲ παρὰ τὸ ἔα ὀρούειν.
Ἔα. ἐνεστῶτος παρατατικοῦ, προστακτικοῦ, ἐνεργητικοῦ, ἀπὸ τῆς ἐω. συζυγίας δευτέρας τῶν περισπωμένων.
Ἔα τὰ ἀγαθὰ, τὰ εἰς αἴνεσιν καὶ διάχυσιν ἡμᾶς φέροντα.

Ἐανόν. νῶν πέπλον. παρὰ τὸ ἔννυσθαι.
ὅταν δὲ εἴπῃ ἐὰν οὐκασητέροις τοῦ
εὐτύχου καὶ ἁπαλοῦ λέγει.
Ἐάλω. ἐλήφθη. αἱμαλωτίσθη. ἐστὶ ῥῆ-
-μα. ἁλῶ ὃ σημαίνει τὸ πορθῶ. ἐξ αὐτοῦ
παράγωγον αἱμῖ. ἅλωμι. ὃ μέλλων
ἁλώσω. ὃ δεύτερος ἀόριστος ἥλων. τὸ
τρίτον ἥλω. καὶ διαλύσει τοῦ η. εἰς ε.
καὶ α. ἐάλω.
Ἐάλω. ἐπλανήθη. παρὰ τὸ στέρησιν
ἔχειν τοῦ ἅλω. οἱ γὰρ πλανώμενοι
οὐχ ὡς θέλουσι τυγχάνουσιν.
Ἐανὸν τὸ ἐνδυτήριον πέπλου. παρὰ
τὸ ἐνδύσασθαι.
Ἐανοῦ λεπτοῦ ἱματίου παρὰ τὸ ἔννυσθαι
ὃ ἐστὶ ἐνδύεσθαι. ἔστιν ἕω τὸ ἐνδύομαι.
ἐανὸς τὸ α μακρόν. καὶ βραχὺ κατὰ
κὴν ποιητικὴν ἄδειαν ἐστὶ γένους ἀρσενι-
-κοῦ.
Ἐαδότα. παρὰ τὸ ἥδω, τὸ ἥδω τὸ εὐ-
-φραίνομαι. ὃ μέλλων ἥσω. ὃ παρακεί-
-μενος ἧκα. ὃ μεῖζ ἧδα. καὶ διαλύσει
ἔαδα. καὶ ἡ μετοχὴ ἐαδότα.
Ἐάρ ἀπὸ τοῦ τὰ συνεχόμενα τοῦ χει-
-μῶνι, καὶ μεμυκότα τότε προΐεναι, καὶ

αὔξεαται· ἐτυμολογεῖται δέ, παρὰ τὸ ἔα
ἀρόσειν· καὶ εἰς τὸ εἴαρ.
Ἐάην· εἰμὶ ῥῆμα· τῶν εἰς μι ἰωνικόν· ὁ
κατ'· ταῦτα δὲ τὰ τρία ἐστὶ δὲ ἐκ τοῦ
εἰμι· εἶς· εἰσί· τὸ πληθυντικόν· ἔσμεν
ἐσέ, εἰσί· τὸ ἰωνικὸν ἔασιν·
Ἔαρ· τὸ ε ψιλόν· καὶ πάντα τὰ τοιαῦτα·
στέαρ· φρέαρ· κέαρ·
Ἔασαι· ἦν ὑπῆρχε· ῥῆμα τῶν εἰς μι·
παθητικῶν ἐνεστώτων· εἰώθασιν οἱ ποιη-
-ται· ἐπὶ τοῦ κεῖνται· καὶ ἦνται ποιεῖν·
ὡς ἀπὸ περισπωμένα· τὸ ἰωνικόν·
ἔσμαι γὰρ ἐστι· καὶ κράσει ἦμε· ἦτε· καὶ
ἦντε· καὶ ἰωνικῶς· ἔαται· ὁ κατ'· οἱ
μὲν τοὶ ἀπὸ περισπωμένων φύσει
μακρὰ παραληγόμενοι, ταύτην συστέλ-
-λουσι πρὸ τοῦ ἄται· οὕτω κεῖνται·
κέαται καὶ πλεονασμῷ τοῦ ι κειαται.
Δύο γάρ τε πίθοι κατακήαται ἐν διὸς οὔδει.
καὶ εἰς τὸ ἔιαται·
Ἑαυτή· ἐμέ· σέ· ἑ· καὶ τὸ αὐτὴ γίνεται
ἑαυτή· ἐπειδὴ ἀναλαβὼν τοῦ προαρκτι-
-κοῦ φωνήεντος πνᾶ·
Ἐάφθη· κατηνέχθη· παρὰ τὸ ἔπω ἤφ-
-θην· καὶ διαιρέσει τοῦ η· ἐάφθη·
Ἑαυτούς· καὶ ἀλλήλῃ διαφέρει· τὸ μὲν
γὰρ ἑαυτοὺς, ἐπὶ τῶν καθ' ἑαυτοὺς —

λεγομένων τάσσεται. οἷον ἄιαι ὁ τελα-
-μώνιος. καὶ μενικὰς ὁ κράων ἑαυτοὺς
ἀπέκτειναν. τουτέστιν ἑκάτερος ἑαυ-
τόν. τὸ δὲ ἀλλήλους ἐπὶ τῶν συμπε-
-πλεγμένων. οἷον. ἑτεροκλὴς. καὶ πολυ-
-νείκης ἀλλήλους ἀπέκτειναν. του-
-τέστιν ἕτερος τὸν ἕτερον.

Εὐδομήκοντα. ἐκ τοῦ εὔδομου γέγονεν
ὤφειλε γὰρ εἶναι. εὐδομήκοντα διὰ τοῦ
ο̄. ἀλλ' ἐπειδὴ τὰ εἰς κο̄ν λήγοντα
ἀριθμητικὰ οὐ θέλουσι προπαραλή-
-γεσθαι τῶ. ε̄. ἢ τῶ ο̄ ἐξ ἀνάγκης
ἔτρεψε τὸ ο̄. εἰς η̄. καὶ γέγονεν εὐ-
-δομήκοντα. ὡσαύτως καὶ ἀπὸ τοῦ ὄγδοος.
ὀγδοήκοντα. τὸν αὐτὸν τρόπον. τὸ δὲ
ἑξήκοντα, ἀπὸ τοῦ ἑξὰς γέγονε. τροπῇ
δωρικῇ τοῦ ᾱ εἰς η̄. ἑξήκοντα. τὸ δὲ
ἐνενήκοντα ἀπὸ τοῦ ἐννέα. ἐννεάκοντα
ὤφειλεν εἶναι. ἀλλ' ἐπειδὴ ὁ πεντήκοντα
καὶ οἱ λοιποὶ τῶ η̄ παραλήγονται. τοῦ-
-τοῦ χάριν κατὰ συνδρομὴν γέγονεν
ἐκείνων. καὶ ἔτρεψε τὸ ᾱ εἰς η̄. ὡς
ὀγδοήκοντα. καὶ εὐδομήκοντα.

Εὔδομος ἐκ τοῦ ἑπτὰ ἕπταμος. καὶ ἕπ-
-τομος. κατὰ τροπὴν τοῦ π̄ εἰς φ̄.
καὶ τοῦ τ̄ εἰς δ̄. ὤδομος.

Εβραχίασεν· ἐκοπίασεν ἀπὸ τοῦ βρέχω γίνεται βρόχος· καὶ βρόχιον τὸ συνεχῶς βρεχόμενον· ἐξ οὗ καὶ βραχ . . . τὸ τῆς θαλάσσης· καὶ λοιπὸν ἐκ τοῦ βρόχου γίνεται· πλεονασμῷ τοῦ γ· βρουχνάζω· καὶ πλεονασμῷ τοῦ ο ἐις α· βραυχνάζω· καὶ ἐβραυνάσα·

Ἔβαλον ἀόριστος δεύτερος ἐκ τοῦ βάλλω.

Ἔβαψε μὲν ὁ βαφεύς· ἐβάψατο δὲ ὁ ἐκδούς·

Ἐβλήθην· ἐκ τοῦ βάλλω· βαλῶ· ὁ μέλλων βλήσω· ὁ ἀόριστος παθητικὸς ἐβλήθην·

Ἔβαν· ἀόριστος δεύτερος τῶν ἐις μι· ἀπὸ τοῦ βίβημι κατὰ συγκοπὴν καὶ συστολὴν· κατὰ δωριεῖς καὶ Αἰολεῖς·

Ἐάων· ὁ Ἡρώδοτος· ἕων ὁ ἀγαθός.

——— θεοὶ δοτῆρες ἐάων.

Εγκέφαλος· παρὰ τὸ ἐγκεῖσθαι τῇ κεφαλῇ· καὶ τὸ κάρα· οἷον ἐγκρανί? διὰ τὸ ἐγκεῖσθαι ἰδιώτερον τῷ κρανίῳ·

Ἐγκέφαλος· παρὰ τὸ εἶναι αὐτὸν ἔσωθεν τῆς κεφαλῆς· καὶ ἅμα τῇ κεφαλῇ·

Ἔγγονα· διὰ τῶν δύο γ· σημαίνει τὰ τέκνα τῶν τέκνων· ὅτε δὲ διὰ τοῦ κ γράφεται ἔκγονα· καὶ τὰ ἴδια τέκνα·

Ἐγχέας· εἰς κέρας· πρὸ γὰρ τὸ εὑρεθῆ-
-ναι αὐτὴν τὴν τῶ ποτηρίω χρῆσιν, εἰς
κέρας ἔπινον οἱ παλαιοί·

Ἔγγυος· ἀνάδοχος·

Ἐγγαστρίμυθος· ἡ ἐκ τῆς γαστρὸς μαντευ-
ομένη·

Ἐγόγγυσαν· ἐκ τοῦ γρίζω τὸ γογγύζω·

Ἐγγύη· εἴρηται τὸ εἰς ἑαυτὴν· περιάγειν
καὶ λαμβάνειν· ἢ σῶμα ἢ πρᾶγμα τὸ
ἀπιστούμενον·

Ἐγγέτατον· ἄμφω δ' ἐγγέγατο φαεσίμ-
-βρωτος ἠελοίο· μέσου παρακειμένου
τρίτου προσώπου τῶν δυϊκῶν· ἔστιν
ἀπὸ τοῦ γνίω· ὁ μέσος παρακείμενος
γέγονα· ὡς κέρω· κερῶ· κέκορα· καὶ τὸ
δυϊκὸν γεγόνατον· καὶ ἐν συγκοπῇ, γέ-
-γατον· καὶ μετὰ τῆς ἐν προθέσῃ·
ἐγκέγατον·

Ἔγραπτον· παρὰ τὸ γράπτω, ἔγραπτον·
τοῦτο παρὰ τὸ γράφω·

Ἐγγυαλίζον· τὸ εἰς τὸ κοῖλον τῆς χειρὸς
δοῦναι· γυῖα γὰρ λέγονται αἱ χείρες καὶ
οἱ πόδες· ὅμηρος·

Ἐγγυαλίζω· ἐστι γῶ τὸ χορῶ καὶ δέ-
-χομαι τοῦτο κατὰ παραγωγὴν διγύω·
καὶ ἐξ αὐτοῦ γυῖα τὰ μέλη· ἔστι δὲ

γυῖον. καὶ ἄλλο παράγωγον κατὰ πα-
-ραγωγὴν γυΐζω. καὶ πλεονασμῷ τῆς
αλ̄ συλλαβῆς. ὡς τὸ εἴκω τὸ ὁμοιῶ.
εἴκιον καὶ ἐνίκειον. καὶ πλεονασμῷ
τῆς αλ̄ συλλαβῆς ἐναλίγκιον. οὕτω
καὶ τοῦτο. κυρίως γὰρ λέγεται γυαλί-
-ζω. τὸ εἰς χεῖρ δοῦναι τί καὶ
παραχεῖν. καὶ εἰς τὸ ἐγγυῶμαι.

Εγγυη. ἀναδοχή. ἐνίοτε ἔκδοσις γάμου.
παρὰ τὸ γῶ τὸ λαμβάνω. γυω. καὶ
ἐγγυᾶσθαι ἐγγυη. ἐξ οὗ καὶ ἐχέγγυον.

Εγγυᾶ. καὶ ἐγγυᾶται. διαφέρει. ἐγγυ-
-ᾶ μὲν ὁ διδοῦς. ἐγγυᾶται δὲ ὁ λαμβά-
-νων.

Ἐγγὺς ἐπίρρημα τοπικόν. ποία σχέσε-
-ως τῶν τοπικῶν τῆς ἐν τόπῳ. ἐκ τοῦ
ἐγγίζω. ἐγγίσω. ἐγγυς. καὶ ὡς ἀφροδίτη.
εἰώθασι γὰρ πάλιν τὸ ῑ μετάβαλλειν εἰς
ῡ καὶ διὰ τοῦτο ἐτράπη τὸ ῑ. εἰς ῡ καὶ
ἐγένετο ἐγγυς.

Ἔγγιον. τὸ ἐγγυς διὰ τοῦ ῑ. ἐκ τοῦ ἐγγί-
-ζω. ἔγγυον δὲ ἔχον γῆν. δίφθογγον οἷον.
εὔγειον. μεσίγειον. καὶ ἔγγειον καὶ ἐχέγ-
-γυον τὸ ἀσφαλές.

Ἔγειρον. εἰς τὸ ἔγειρε τὸν λίθον. ἔγειραι
δὲ ἀντὶ τοῦ ἐγέρθητι.

Εγγύς τό ἐπίρρημα. παρά τήν ἐν
πρόθεσιν, ἐγγύς. καί τό γυη. ἦν γῆν
καλοῦμεν. ὡς ἂν εἴπη τις ἐν γῇ. ὡς
οὐδέν τῶν ἄλλων στοιχείων πλησιότερον
ἀνῶ χερσαίω ὄντι.

Εγγυῶ σημαίνει τό ἀντιφωνῶ καί οἰ=
=κειῶ. καί ἐστι δευτέρας συζυγίας τῶν
περισπωμένων.

Ἐγγυῶμαι. οἷον ἐν χερσί φυλάττω. ὅθεν
ἐγγυαλίξαι. ἐγχειρίσαι καί δοῦναι. κυ=
=ρίως δέ ὅ τό ὑποκείμενον ἀνέπαθον
παρεχόμενος.

Ἐγείρω. παρά τόν ἐγερῶ μέλλοντα
γέγονε. οἱ αἰολεῖς. καί ἐγέρω λέγουσι.

Εγκάθηται. ἐπιτηρεῖ. ἐνεδρεύει. ἔστι
ἐω τό καθέζομαι. ἐξ αὐτοῦ παράγωγον
εἰμί εἰήμι. τό παθητικόν ἔεμε ἦμαι.
τό δεύτερον ἕεσαι ἦσαι. τό τρίτον ἕεται
ἦται. καί μετά τῆς κατά προθέσεως κατα=
=ηται. καί ἐν συγκοπῇ κατῆται. καί τρο=
=πῇ τοῦ ψιλοῦ εἰς δασύ καί μετά τῆς
ν προθέσεως. ἐγκάθηται. καί ὤφειλεν
γράφειν. ἀλλά πᾶσα συλλαβή πρό τοῦ
γ. ἢ κ. ἢ χ. ἢ ξ. οὐ δέχεται ν. ἀλλα γ
οἷον ἄγγελος. ἄγκυρα. ἔγχος, σφίγξ.
διά τι ἐπί μέν τοῦ ἦται τά δύο ε. εἰς η

κιρνῶνται· ἐπὶ δὲ τοῦ κεῖται εἰς τὴν
εἶ δίφθογγον· ἐπειδὴ ἡ ἄρχουσα αὐτῶν
ἐστὶν ἡ αἰτία· τὸ μὲν γὰρ ἀπὸ συμφώνου
ἄρχεται· τὸ δὲ ἀπὸ φωνήεντος προπα=
=ροξύνεται· πᾶν παθητικὸν εἰς μαι
λήγον ἀπὸ τῶν εἰς μι κεκλιμένων ἐν
τῇ συνθέσει, τρίτην ἀπὸ τέλους ποιεῖται
τὴν ὀξεῖαν· οἷον κρῖμαι, ἀπόκειμαι, ἧμαι,
κάθημαι· τὸ δεύτερον κάθησαι· τὸ τρίτον
κάθηται· καὶ μετὰ τῆς ν προθέσεως
ἐγκάθηται.

Ἐγκαλῶ· ἔγκλησιν εἰσάγω καὶ καταδίκην.

Ἔγκατα· ἀπὸ τοῦ ἐγκατέχειν τὴν τρο=
=φήν· λέγει δὲ τὸ ἧπαρ, καὶ τὸν σπλῆνα·
καὶ τὰ περὶ τὸν πνεύμονα· ἔντερον δὲ,
οὐκ ἔγκατον· τὸ δὲ ἕτερον καὶ οὐχ ὅμοιον.

Ἐγκάρσιον· πλάγιον· παρὰ τὸ κήρω·
ῥῆμα· ὃ σημαίνει τὸ κόπτω· ὃ μέλλων
κέρσω· Αἰολικῶς· ἐξ αὐτοῦ κέρσιος καὶ
ἐγκάρσιος· κατὰ τροπὴν τοῦ ε εἰς α.

Ἔγκατα παρὰ τὸ ἔνδοθεν κατέχειν τὴν
τροφήν.

Ἔγκατον· ἔντερον· παρὰ τὸ ἔσω κεῖσθαι·
ἢ παρὰ τὴν ἐν πρόθεσιν καὶ τὸ κάτω
ἐπίρρημα· ἔγκατον γὰρ ἐστί· διότι κά=
=τω φέρεται πᾶν τὸ τρωγώμενον.

Ἐγκέλαδος· πρόχειρος· ἤτοι ἦχον ἐν τῇ κινήσει τῇ πολεμικῇ ἀποτελοῦσα, ἢ ἐγκελευομένη, ἢ ἀπὸ τοῦ ἐγκελάδου τοῦ γίγαντος· ἢ ἀπὸ τοῦ κελαδῶ τὸ σημαῖνον τὸ μελῳδῶ.

Ἐγκέφαλος· παρὰ τὸ ἐγκεῖσθαι τῇ κε=φαλῇ· τί δέ ἐστιν ἐγκέφαλος· λευκός, καὶ μαλακός· ὥσπερ ἐξ τινὸς πεπηγώς, θερμώς· καὶ ὑγρός· διαφέρει δὲ μυέλου.

Ἐγκώμιον λόγος· μεμπικός· ἐνίοτε δέ, καὶ ἐπαινετικός.

Ἐγκενεῖν· σπεῦδειν οἱ γὰρ σπεῦδοντες κονιορτοῦνται τὰ γυμνὰ τοῦ σώματος.

Ἐγκητί· παρὰ τὸ κῆτος.

Ἐγκώμιον· παρὰ τὸ ἐν κώμαις ᾤδεσθαι. κώμας δὲ ἔλεγον οἱ παλαιοί, τοὺς στενοὺς τόπους· καὶ τὰ ἄμφοδα· τὴν γὰρ νύκτα ἤρχοντο τινὲς καὶ ἔλεγον· ὅστις ἐποίει κακὰ πράγματα καὶ ἐκακολόγουν αὐ=τοὺς· καὶ εἰς τὸ ἔπαινος καὶ ὕμνος.

Ἐγκρόταφος· ὁ ἀντικέφαλος

Ἐγρεκυδομὸς· ἡ ἐγείρουσα κυδομὸν τοῖς ἐναντίοις.

Ἔγρετο· βαρύτονον ἐκ τοῦ ἀγείρω συγκο=πῇ εἴρω· ἔγρομαι, ἐγρόμην.

Ἐγρήγορθα. πόθεν ἀπὸ ἐγρηγορῶ ἐγρη-
γορήσω, καὶ ἐγρηγόρηκα. καὶ ὁ μέσος
παρακείμενος ἐγρήγορα. ἐνδεῖ γάρ μιο
συλλαβὴν ἀπὸ τῶν περισπωμένων.
καὶ προαθέσει τῆς θᾶ συλλαβῆς ἐγρή-
-γορθα.

Ἔκτηνες. οἱ Βοιωτοὶ οὕτως ὀνομάζοντο
ὥσπερ ὕαντος. διὰ τὸ κτηνῶδεις εἶναι
καὶ χειρῶδεις.

Ἐγρήγορος. ἐκ τοῦ ἐγρηγορῶ. τοῦτο δὲ
ἐκ τοῦ ἐγείρω. ὁ μέλλων ἐγερῶ καὶ τρο-
-πῇ τοῦ ε εἰς η ἐγρηγορῶ.

Ἐγχειΐδιον. εἰς τὸ χείριον.

Ἔγχελυς. ὄνομα ἰχθύος. παρὰ τὴν ὕλην.
ἐν ταύτῃ γὰρ λέγουσι τὴν ἰχθὺν ἔχεσθαι
καὶ κρατεῖσθαι. τοῦτο Ἀριστοφάνης ἱππεῦ-
-σιν.

ὅπερ οἱ τὰς ἔγχελυς θηρόμενοι πε-
-ποίθασιν. ἂν μὲν ἡλιακῇ καταστῇ
λαμβάνουσιν οὐδέν, ἂν δὲ ἄνω τε καὶ
κάτω τὸν βόρβορον κινοῦσιν, αἴρουσι.
καὶ συλλαμβάνουσιν ἣν πόλιν ταράττεις

Ἐγχείνισιν. ἡ εὐθεῖα ἐγχεῖα. καὶ ὤφει-
-λε προπαροξύνεσθαι. τὰ γὰρ διὰ τοῦ εῖα
ἐπὶ πραγμάτων ταττόμενα προπαροξύ-
-νονται. οἷον. ἀμάθεια. ἔστι δὲ καὶ ἡ

αἴξ ἡ θρεψαμένη τὸν δία. καὶ ὑπόρεια
τὸ δὲ ἐγχεία. ποιητικῶς ἐξετάσθη.
γίνεται ἐκ τοῦ ἔγχος. ἔγχεα. ὡς ἰγγέα,
συκέα. καὶ πλεονασμῶ τοῦ ι ἔγχεια. ὁ
χει δίφθογγον. διότι ἀνεφάνη τὸ ε
ἐν τῷ ἔγχεα. σημαίνει δὲ τὸ ὄνειδος.
πολυδάμασμοι ἔπειτα ἐλεγχείην ἀναθήσει.
οἱ Ἀττικοὶ ἐκτείνοντες. τὸ ἃ ὡς ἐν τῷ
ἱερεῖα. ἐναλλαγὴν μὲν τοῦ τόνου ποιοῦσι.
φυλάττουσι δὲ τὴν γραφὴν οἷον ἔγχεια.
ἐλεγχεία.

Ἔγνωκα. ἐκ τοῦ γνῶμι. ὁ μέλλων γνῶσω.
ὁ παρακείμενος ἔγνωκα.

Ἐγκύκλιον. τὸ ἅπανταχοῦ καθολικόν.

Ἐγκώμβωμα. ὁ δεσμὸς τῶν χειρίδων.
ὁ λεγόμενος ὑπὸ Ἀθηναίων ὄχθος βοῦς. ὑπὸ
δὲ ἄλλων κοσύμβη. εἴρηται δὲ παρὰ τὸ
κόμβον.

Ἐκόμβος γὰρ ὁ ὑψηλὸς τόπος. ἀφοῦ καὶ τὸ
κομπάζειν τινὲς λέγουσιν.

Ἐγχεσιμόρων. περὶ τὰ ἔγχη μεμορηκό-
-των. πολεμικῶν.

Ἐγχειρίδιον. τὸ ἐν χειρὶ μαχέριον. ἢ παρὰ
τὸ ἐν χερὶ εἶναι. τὸ διὰ χειρὸς ἐχόμενον.
πρὸς ἀντιδιαστολὴν τῶν ἐκπεμπομένων
βελῶν.

Ἐγχειρίδιον. σημαίνει καὶ βίβλιον μικρόν. καὶ ξίφος. παρὰ τὴν χειρίδοτικήν. ἢ παρὰ τὸ ἔχει καὶ τὸ ἴδιον. οἱονεὶ τὸ ἴδιον τοῦ ἔγχους. κατὰ πλεονασμὸν τοῦ ρ̄. ἰστέον δὲ ὅτι αἱ ἀποδοτικαὶ οὐδετέρων ἐὰν φέρηται φωνῆεν. ἢ ἓν ἁπλοῦν σύμφω=νον φυλάττεται. ἢ εἰ οἷον ὀρείαυλος. ὁ ἐν τοῖς ὄρεσι διατρίβων. ὀρηγένης ὁ ἐν τῷ ὄρει γεννηθείς. ὁ . . . κατ' ἐπέκτασιν τοῦ . . . σεσημείωται τὸ ὄργανον. ἐὰν δὲ σύμφωνα δύο ῑ. ὀ=ρίβρομος.

Ἐγχειρίδιον. παρὰ τὸ χείρ χειρί. χει=ρίδιον. καὶ ἐγχειρίδιον. σημαίνει δὲ δύο. τὸ μικρὸν βίβλιον καὶ γίνεται ὡς προείπω=μεν. σημαίνει δὲ καὶ τὸ μικρὸν ξίφος. καὶ γίνεται παρὰ τὸ ἔγχος ἔγχεος. ἐγχεί=διον καὶ ἐγχειρίδιον. οἱονεὶ τὸ τοῦ ἔγχους ἴδιον.

Ἔγρω. καὶ τὸ παθητικὸν ἔγρομαι. καὶ ὁ παθητικὸς ὑπερσυντελικὸς ἐγρόμην. ἔγρου

ἔγρετο δ' ἐξ ὕπνου θείη δέμιν.

Ἐγχέσπαλος. ὄνομα ἐκ τοῦ ἔγχος. καὶ τοῦ πάλω τὸ κινῶ. διαθέσεως ἐνεργη=τικῆς. διατί. τὰ εἰς ος σύνθετα. εἰς ἐνέργειαν καὶ πάθος ἀναλυόμενα δύο —

τόνους ἐπιδέχονται.

Ἐγχέσπαλος. πολεμικός. γενναῖος. παρὰ τὸ πάλλειν καὶ σύειν τὸ δόρυ.

Ἐγχέασα. εἰς κέρας. πρὸ γὰρ τοῦ ὡρε:θῆναι τὴν τῶν ποτηρίων χρῆσιν εἰς κέ:ρας ἔπινον οἱ παλαιοί.

Ἔγχος. δόρυ. παρὰ τὸ ἔχω. ἔχος. καὶ ἔγχος τὸ διὰ χειρὸς φερόμενον ὅπλον.

Ἐγχρίπτουσα. προστρίβουσα. προσπελά:ζουσα. προσεγγίζουσα. οἱονεὶ τοῦ χρῶτος προσαπτομένη. παρὰ τὸ χρὸς καὶ τὸ ἅπτω. ὃ σημαίνει τὸ ἐφάπτεσθαι. ἐγχρῶ οὖν ἐγχραύω. ἐγχράμπω καὶ ἐγχρίπτω. ἐκβολῇ τοῦ ᾱ· καὶ τροπῇ τοῦ ῡ εἰς ῑ.

Ἐγχρῶ. εἰς τὸ ἐγχρῶ. ὅμηρος ἔγχει καὶ ἔγχει ῥηξάσθω. τῷ δόρατι πληγεῖ:το.

Ἐγώ. ἀντὶ πρώτου προσώπου τῶν ἑνι:κῶν. πτῶσις. εὐθεῖα.

Ἐγὼ ἀσώσαντος. διατί. ἐπειδὴ αἱ μὲν ἀντωνυμίαι πρώτην δεῖξιν σημαί. τὰ δὲ ἄρθρα. ἀναφορ δηλοῦσιν. ἀναφορά ἐστιν. ἐγνωσμένου καὶ ἄποντος τινὸς ἀναπό:λησις. ἡ δὲ ἀντωνυμία πρώτην δεῖξιν δηλοῖ. ἐναντία γὰρ ἡ δεῖξις ἐστὶ τῇ ἀνα:φορά.

Εγων. ἡ Δωριέων διάλεκτος. ἐστὶν ἡ προ-
λαμβάνουσα τὸ ν̄. καὶ τὴν σὺ ἀντωνυμί-
αν. σὺν λέγουσι μετὰ τοῦ ν̄. ὅπερ προσθέ-
σει τοῦ η̄. γίνεται σύνη. ἢ καὶ ὁ ποιητὴς
ἐκκλίνων τὴν χασμωδίαν. τῶν φωνηέν-
των. εἶπε τὸ ἐγὼν μετὰ τοῦ ν̄.

Ἐδάλω.

Ἑδανῶ. ἡδεῖ. ἐνῶδει. ἐνόσμω. δασύνεται
τὸ ἑδανός. παρὰ τὸ ἥδω. ἡδυνὰ ἦν. καὶ κα-
τὰ μεταβολὴν. ἕδανος. τὰ γὰρ διὰ τοῦ
ανος ῥηματικὰ βραχείαν θέλουσιν ἔχειν,
τὴν ἄρχουσαν. οἷον. πραγανός. παγανός.
πιθανός.

Ἑδανόν. τὸ ἡδὺ παρὰ τὸ ἥδω καὶ τὸ ἥδο-
μαι, ἥδυνον. ἢ παρὰ τὸ ἡεδανόν.

Ἕδνον. ἤτοι παρὰ τὸ ἥδω ἡδανόν ἐστι καὶ
ἀποβολῇ τοῦ α̅ ἦδνον καὶ ἕδνον. παρὰ γὰρ
τὸ αἴτιον εἶναι τοῦ πανέζεσθαι καὶ παραλαμ-
βάνειν τὴν νύμφην τῶν νυμφίων.

Ἕδαρ. εἰς τὸ ὕπαρ. ἔδδεια. ἐφόβησεν

Ἔδδεια. ἐφόβησεν. δείω τὸ φοβοῦμαι. ἐξ οὗ
καὶ δέος. κλείω τὸ δοξάζω κλέος. δείω καὶ
ὁ μέλλων δείσω. ὁ ᾧς ἔδεισα. καὶ πλεο-
νασμῷ τοῦ δ̄ ἔδδεισα. ἢ ὡς ἀπὸ περισ-
πωμένου δείδω. δειδήσω, ἐδήδησα ὑπερβι-
βασμῷ τοῦ δ̄. καὶ ἀποβολῇ τοῦ η̄.

Ἔδη. εἰς τὸ δεῖπνος. καὶ χρῆ.

Ἐδεδέατο. εἰς τὸ ξυνεδεδέατο.

Ἔδανος. ἡ γῆ. ἡ καλὴ γῆ. ἢ παρὰ τὸ ἔδω. τὸ ἐσθίω. ἔδομαι. ἔδη. ἔδεται.

Ἔδειξεν. ἀόριστος πρῶτος. δημαίνει τρία. τὴν ἀπόδειξιν. διὰ τῆς εἰ διφθόγγου. καὶ τὸ δάκνω. διὰ τοῦ η̄. καὶ τὸ βάλλω διὰ τοῦ ῑ. εὕρηνται δὲ ἐν τοῖς ἐπιμερισμοῖς.

Ἐδελέατρος. εἰς τὸ δελέατρος.

Ἐδεξιοῦτο. εἰς τὸ δέκτω. καὶ δεξιῶ.

Ἔδεσα. ἡ πόλις. πόθεν ἐκλήθη. παρὰ τὸ ἔδαφος. ἡ πολλάκις ὑποσκίρτα. τοῦ ποτα=μοῦ ἐδαφιαθεῖσα.

Ἐδειλίασε. παρὰ τὸ δειλιῶ. τοῦτο παρὰ τὸ δειλός.

Ἔδαμα. ἐκ τοῦ ἔδω. τὸ ἐσθίω. ὅθεν καὶ ὁδοῦς. ὀδόντος. ὁ παθητικὸς ἔδομαι. τὸ τρίτον ἔδεται καὶ κατέδεται. καὶ ἐξ αὐτοῦ περισπώμενον ἐδῶ. ὁ μέλλων ἐδέσω. ὁ πα=ρακείμενος ἤδεκα. ὁ παθητικὸς ἤδεσμαι, καὶ ἐξ αὐτοῦ ἔδεσμα τὸ εἰς βρῶσιν ἐπι=στήδειον. καὶ εἰς τὸ σκεδάζω.

Ἐδεστόν. εἰς τὸ σκεδάζω.

Ἐδήδικα. ἤσθιον. παρὰ τὸ ἔδω τὸ ἐσθίω. ὁ μὲν παρακείμενος ἦδα. καὶ ὁ Ἀττικὸς

ἐδήδακα. ἐξ οὗ καὶ τὸ λέων ταῦρον ἐδηδεὶς.
τοῦτον ὁ ἐνεργητικὸς παρακείμενος ἦκα.
ὁ ἀττικὸς ἔδηκα. καὶ ἐπειδὴ οὐκ ἔχει ἐν
τῇ δευτέρᾳ καὶ τρίτῃ συλλαβῇ τὸ αὐτὸ σύμ=
=φωνον ἐπλέοναβεν ἡ δῆ συλλαβὴ. καὶ ἐγέ=
=νετο ἐδήδεκα. ἐδητὴς. ἡ εὐωχία.

Ἔδος. τὸ ἔδαφος.

Ἔδειμο. δεῖρον γάμου. παρὰ τὸ ἥδω, ἥδαον.
ἕδυον. ἥδονται γὰρ ἐν αὐτῷ αἱ κόραι.

Ἔδομεν. εἰς τὸ δῶβαν.

Ἐδοκίμαβαν. ἐκ τοῦ δοκιμάζω. τοῦτο παρὰ
τὸ δόκιμος. ὡς φρονῶ. φρονήσω. φρόνιμος.
τὸ κι. ι. διατὶ τὰ διὰ τῶν ἐνεστότων. ἢ
μελλόντων κατὰ πρόσληψιν συλλαβῆς. γινό=
=μενα διὰ τοῦ ω μεγάλου ϝ. οἷον ζῶ. ζωὴ.
φῶ. φωνή. ἐδω. ἐδωδή. ἐκ τοῦ ἔδω τὸ ἐσθίω.
ὁ μέλλων ἐδήσω. ὁ παρακείμενος ἔδηκα.
καὶ τὸ Ἀττικὸν ἐδήδοκα.

Ἔδοβαν. εἰς τὸ δόβαν.

Ἔδοβο. εἰς τὸ ἀπέδον.

Ἔδον εἰς τὸ ἀπόδος.

Ἔδρα εἰς τὸ ἐνέδρα καὶ συνεδριάζω.

Ἔδραμον ἰστέον ὅτι τὸ ἔδραμον. ἀπὸ τοῦ
δρέεμω ἐστὶν. ἐπεὶ τὸ ῥῆμα. . . .
ὡς βρέμω βρόμος. οὕτως οὖν καὶ δρέμω
δρόμος. ὁ δὲ Ἡρωδιανὸς φησὶν. ὅτι δύναται

εἶναι ἀπὸ τοῦ δραμῶ περιβπωμένου· ἐξ
β. οὗ καὶ Μένανδρος·

ἐδεδράμηκά σοι δρόμον· οἷον οὐδεὶς
πώποτε·

καὶ ὄνομα ῥηματικὸν δράμημα.

Ἕδρα· εἴρηται παρὰ τὸ ἕζω· ἡ καθέδρα·
σημαίνει δὲ δύο· τὴν ξύλινον καθέδραν· εἴ-
τε τὶς τύχοι· καὶ τὸν ἀφεδρῶνα τοῦ
ἀνοῦ· καὶ εἰς τὸν ἀφεδρῶνα.

τὸ Ε μετὰ τοῦ ζ'.

Ἐζήλωσα· ἐκ τοῦ ζηλῶ τοῦτο παρὰ τὸ
ζῆλος· ζῆτ' εἰς το ζ· στοιχεῖον·

Ἐζήλωσα· ἐκ τοῦ ζηλῶ· τοῦτο ἐκ τοῦ ζήλος·
τοῦτο παρὰ τὸ ζέον ὅλως·

Ἐδωδή· ἔδω· ἔδη· διπλασιασμὸς ἐδηδή· καὶ
ἐδωδή· καὶ τροπὴ τοῦ η εἰς ω·

Ἐδωδήν· ἐδηδοκότες· καὶ ὑστιακότες ἤσθιον·
τὰ ἀπὸ ἐνεστότων ἢ μελλόντων κατὰ
πρόσληψιν συλλαβῆς· γινόμενα διὰ τοῦ
ω μεγάλου γράφεται· οἷον ζω· ζωή· φω
ἔδω τὸ ἐσθίω. φωνή· ἔδω· ἐδωδή· ἐκ τοῦ ἔδω τὸ ἐσθίω·
ὃ μέλλων ἐδήσω· ἔδηκα· ἐδήδοκα·

Ἐδώλια· ἐπὶ ναυτικῶν καθέδρων· παρὰ
γὰρ τὸ ἕζω ζυγά· κυρίως τὰ τῆς νηὸς ζυγά·

Ἕως· παρὰ τὸ ἔθω· τὸ ἐξ ἔθους τι δια-
-πράττομαι· ἐξ οὗ καὶ ἔθος· ἑκάστω γὰρ
ἔθνη ἴδια ἔθος ἕπεται·

Ἐδρύφθη· τὸ ἐξύσθη· παρὰ τὸ λεπίζεσθαι·
τὴν δρῦν· ἡ μεταφορὰ ἐξ ἐρον ἔντο·

Ἔδω· εἰς τὸ ἔδεσμα· καὶ ἐδήδοκα· καὶ εἶ-
-δον καὶ εὗδον· καὶ σκεδάζω· καὶ κη-
καὶ περιπέζια·

Ἐδῶμ· ὄνομα· καὶ σημαίνει τὴν θερμασί-
-αν·

Ἔδων εἰς τὸ δώνοι·

Ἐοίκοσιν· εἰς τὸ εἴκοσιν·

Ἔηπεν· εἶπεν· ψιλοῦται· τὸ ε̄ πρὸ φω-
-νήεντος πλεονάζων· ψιλουμένου μὲν αὐ-
-τοῦ συμψιλοῦται· οἷον· οἶκα· ἔοικα·
δασύνεται δὲ· οἷον· ὥρων· ἑώρων· ὁ δὲ
Ἡρωδιανὸς τὰ πλεονάσαντα φωνήεντα
ἐν λέξεσι ταῖς ἀπὸ φωνήεντος δασυνομέ-
-νου ἀρχομέναις μεταληπτικὰ γίνεται-
τοῦ δασέος πνι· οἷον ἤνδανε· ἐήνδανε·

Ἑίο· εἰς τὸ εἴκοσι·

Ἐεισαμένη· ὁμοιωθεῖσα· εἴδω, εἴσω· εἴ-
-σεισα ψιλοῦται· τὸ ῑ πρὸ φωνήεντος
πλεονάσαν· καὶ τὰ ἑξῆς·

Ἐέλδωρ· τὸ ἐπίθυμα ἔστιν· ἔλδω ῥῆμα
τὸ ἐπιθυμῶ· ὅπερ ἀπὸ τοῦ ἕλκω —

γέγονε. κατὰ μετάθεσιν τοῦ κ̄ εἰς δ̄. εἰς ὅ γάρ τις ἐπιθυμεῖ. ἐκεῖ ἕλκεται. ἐκ τοῦ ἕλδωρ. ἐέλδωρ. πλεονασμῶ τοῦ ε̄ ἢ παρὰ τὸ ἕλω. τὸ ἑλκύω. ἕλωρ καὶ ἕλδωρ. καὶ πλεονασμῶ τοῦ ε̄ ἐέλδωρ. παρὰ τὸ πρὸς ἑαυτὸν ἕλκειν. τὸ ἐπιθυμούμενον.

Ἔεος εἰς τὸ εὐεργέτης.

Ἐέλδωρ. ἐκ τοῦ δέλω. καθ' ὑπερβιβασμὸν ἐέλδωρ.

Ἐερσόη. ἡ δρόσος. παρὰ τὸ ἄρσαι. ὅ ἐστι ποτίσαι. ποτίζει γὰρ τὰ φυτά. ὅμηρος.

Ἐζόμενος. καθήμενος. μετοχὴ ἐκ τοῦ ἕζω τοῦτο ἐκ τοῦ ἑῶ τὸ καθέζομαι.

Ἕζω. εἰς τὸ ἐμπεδῶσαι. κα μέδω.

Ἔηκεν. ἔπεμψεν. ὁ βεβημειῶμενος ἀόριστος πρῶτος ὁ οἶκα. καὶ ἐστι παρὰ τὸ ἰῶ. τὸ πέμπω. ἵημι. ἥσω. ἧκα. ὁ ἀόριστος. καὶ πλεονασμῶ τοῦ ε̄ ἐήκα. ἔηκεν. ἔημι. ἥσω.

Ἔην. ἦν ὑπῆρχεν. ἐστι ἕω. ὁ μέλλων ἕσω. ὁ παρατατικὸς ἦον. τὸ δεύτερον ἦες. τὸ τρίτον ἦεν. καὶ τὸ ν̄ ἐφελκυστικόν. καὶ κράσει ἦν. καὶ πλεονασμῶ τοῦ ε̄ ποιητικῶς ἔην. ἐστι καὶ εἰς τὸ ἰῶ.

Ἐήνδανεν. ἤρκεσεν. παρὰ τὸ αἰδάνειν.
ὁ παρατατικός. καὶ τὸ τρίτον πρόσωπον
ἤνδανε. καὶ πλεονασμῷ τοῦ ε.

Ἔης. εἰς τὸ ὄου.

Ἐθάς. φίλος. συνήθης. παρὰ τὸ ἔθος ἐθάς.

Ἐθαίρω. ἐθήρω. τὸ ἁλῶ. καὶ ἑταίρω τὸ
φιλῶ. παρὰ τὸ ἐθαρῶ. καὶ ἑταρῶ μέλ:
:λοντα οὐκ ἔχει.

Ἔθειρα. σημαίνει τὴν τρίχα. ἀπὸ τοῦ
ἐθείρω γέγονεν. οἱονεί. ἢ ἐξ ἔθνους ἐπι:
:φοιτῶσα τινί.

Ἔθειρα. παρὰ τὸ ἐξ ἔθνους ἐπιμελεῖσθαι.
σημαίνει δὲ τὴν τρίχα. καὶ εἰς τὸ ἐπε:
:νήνοθεν.

Ἐθελημακήσας. ἑκουσίως τὸ κακὸν ἐκ:
λεξάμενος.

Ἔθειρα. ἢ θρίξ. ἐκ τοῦ ἔθω τὸ ἐπιμε:
:λοῦμαι. ἤτοι ἀπὸ τοῦ ἐξ ἔθους εἴρεσθαι.
τουτέστι πλέκεσθαι.

Ἔνθενσις (σου). εἶδος πρωτοτύπου. ποίου
εἴδους τῶν πρωτοτύπων. οἱ μὲν νέοι κατὰ
διάλυσιν ποιοῦσιν. ἐκ τοῦ σοῦ. σέω. σεόθεν.
καὶ κατὰ συγκοπὴν ἀποβολὴ τοῦ ο. ὅθεν
ὁ δὲ Ἡρωδιανός. ἐκ τοῦ ἐμέ. σέ. ἕ.
τρίτου προσώπου κατ' ἔκτασιν τῆς θῶ.

Ἐθρόησαν. ἐφόβησεν. τὸ θέμα. θροῶ. ὁ μέλ-
λων θροήσω. ὁ δεύτερος ἀόριστος ἐθρόησα.
καὶ τὸ τρίτον ἐθρόησε. τοῦτο δὲ παρὰ τὸ
θρόος. ἐξ αὐτοῦ γίνεται θροΐζω. ἢν τὸ
ἐκπλήττω. οὗ ὁ μέλλων θροήσω. ὁ παρα-
κείμενος τεθρόϊκα. ὁ παθητικὸς τεθρό-
ϊσμαι καὶ τεθροϊσμένος. ἐκ δὲ τοῦ θρόος.
μετὰ τοῦ στερητικοῦ ᾱ ἄθροος. ἐκ τοῦ
θορῶ τὸ πηδῶ. τοῦτο παρὰ τὸ θέρω. τὸ
θερμαίνω.

Ἔθω. εἰς τὸ εἴωθα. καὶ ἐπονήνωθα.

Εἶ. ὑπάρχεις. τὸ σὺ εἶ. ἀπὸ τοῦ ἔημαι
τοῦ παθητικοῦ ἐστί. τὸ δεύτερον ἔσῃ. καὶ
τὰ παρ' ἡμῖν γραφόμενα δεύτερα πρόσω-
πα. παθητικὰ διὰ τοῦ η̄. παρὰ τοῖς Ἀτ-
τικοῖς διὰ τῆς εῑ διφθόγγου. ὡς ἐκείνην
αὐτήν. καὶ γίνεται εῑ.

Εἰ σύνδεσμος. εἰς τὸ αῑ καὶ αἶκεν.

Εἰ ὁ συναπτικὸς σύνδεσμος. διὰ τῆς εῑ
διφθόγγου. αἱ γὰρ λέγουσιν οἱ Δωριεῖς.
καὶ ἔθος ἔχουσι τὸ ε̄ εἰς ᾱ τρέπειν. τρέ-
χω. τράχω. ἄρτεμις. ἄρταμις. ὄντως
εἰ αἰ.

Εἴα. συγχώρει. ἢ συνεχώρει. παρακελευ-
τικὸν ἐπίρρημα. ὥσπερ παρὰ τὸ ῥέω.
ἐγράφη εἰς τὸ εἶεν.

Εἰαμένη. ἀπὸ τοῦ ῥέω ῥειαμένη. καὶ

ἀποβολὴν τοῦ ρ̄. εἰαμένη. σημαίνει δὲ
τὸ κάθυγρον τόπον.
Εἶαρ. διὰ τῆς εἰ διφθόγγου ἀπὸ τοῦ ἕω.
τὸ σημαῖνον τὸ ἐκπέμπω. γέγονεν ἔαρ.
τότε γὰρ ἐκπέμπονται οἱ καρποί.
καὶ κατὰ πλεονασμὸν τοῦ ῑ. εἶαρ.
Εἶαρ δὲ τὸ αἷμα. παρὰ τὸ ἐν τῷ ἀέρι
πλεονάζειν τὸ αἷμα.
Εἰαριθνός. εἰαρινός. τὸ εἰ δίφθογγον δια
:τί. ἐκ τοῦ ἔαρ. ἔαρος. καὶ κατὰ πλεο:
:νασμὸν τοῦ ῑ. εἰαρινός.
Εἴασκε. συνεχώρει. ἀπὸ τοῦ ἐω. ἐάς.
ἐᾶ. ὁ παρατατικός. εἴων. εἴας. εἴα.
καὶ ἰωνικῶς εἴασκεν.
Εἰαμενή. ὁ ἔνυλος. καὶ βοτανώδης τό:
:πος. κατὰ ἀφαίρεσιν τοῦ ρ̄. ἢ γέγονεν.
ἡμενή. ὁ ὁμαλός. καὶ δεξάμενος. δεξαμε:
:νή. ἀκεσάμενος. ἀκεσαμένη. εἶτα κατὰ
διάλυσιν τοῦ η̄. εἰς ε̄. καὶ ᾱ. ἐαμενή.
ὡς ἥλως. ἁλωή. ἤνασσεν. ἐάνασσεν. καὶ
πλείστοις ἐάνασσε λαοῖς Ἀλκαιός.
καὶ κατὰ πλεονασμὸν τοῦ ῑ εἰαμενή –
ἢ τῶν βοτανῶν αὐτόματος. ἢ ἐξ ἧς γί:
:νεται αἱνομαί.
Εἶαρ. τὸ αἷμα. παρὰ τὸ ῥόδον. ὅτι
φοινικοῦν. καὶ πίνδαρος φοινικέας τὰς

ὥρας ἐκάλεσε. πολὺ γὰρ τὸ ῥόδον τῶ
ἀέρι. καὶ τὸ πολὺ δὲ ῥόδον. ἔαρ καλοῦ-
-μεν.

Εἴβη. διὰ τῆς εἶ. διφθόγγου. κατὰ πλε-
ονασμὸν τοῦ λ. εἴβω. καὶ τρίτον εἴβει.
διὰ τί δὲ τὸ λείβω. διὰ τῆς εἶ διφθόγ-
-γου. γράφεται. ἐν τῶ λ. στοιχείωμαθη-
-σόμεθα.

Εἴδυια. κυρίως. εἰδυῖα. μετοχή.

Εἶ. μετὰ δευτέρου προσώπου δίφθογγον.
ὡς τὸ σὺ εἶ ὁ βασιλεὺς τοῦ ἰηλ. μετὰ
δὲ τρίτου προσώπου ἦ. ὡς τὸ ὁποῖα
δὲ ἦ τὰ τῶν ἀνθρώπων πράγματα,
ἀνάγκη καὶ τὸ φόνημα ἔχειν.

Εἰδὲ καὶ εἰμέν. οἱ σύνδεσμοι ἰδέ.

Εἴτε τὸ εἶ ἄρθρον. συντατικόν. καὶ τὸ
γε σύνδεσμος παρασυναπτικός.

Εἴδω. τὸ βλέπω. εἴδω τὸ γινώσκω. εἴδω
τὸ ὁμοίω. εἰδομένη γαλόω. εἴδω. τὸ
φαίνω. καὶ δοκῶ.

— τόδέ τοι κῆρ εἴδετο εἶναι.

εἴδω τὸ ὁρμῶ καὶ πηδῶ. εἴσατο γὰρ νη-
-ῶν. εἴσατο λίμνων. εἴδω. τὸ σκοτίζω.
ἐκ τοῦ ἔδος. ἔστι καὶ εἰδῶ ῥῆμα περισ-
-πώμενον. οὗ ὁ μέλλων ἐνδήσω. καὶ ἐν

παραγωγή. εἰδήμων. εἴδω. τὸ βαρυτονον.
ἐξ οὗ καὶ εἴσω. καὶ ἴδμω. ἔστι δὲ ὁ
ἔμπειρος.

Εἴασκεν. ἤφιεν. ἔστι γὰρ ἐῶ. ἐᾶς. ἐᾶ.
ὁ παρατικός. εἴων. εἴας. εἴα. τοῦτο
γίνεται ἔασμεν ἀποβληθέντος τοῦ ῑ.
τὸ δὲ. ῑ. ἀπεβλήθη. ἐπειδὴ τὰ τοιαῦτα
ἀποβάλλουσι τὴν ἐν ἀρχαῖς κλητικήν.
οἷον ἔτυπτον ἔτυπτες. ἔτυπτε. τύπτεισκε.
ἦτον, ἦτες, ἦτε. ἤτεσκε. καὶ ἀπὸ τοῦ
ἔασκε ;. εἴασκε κατὰ πρόθεσιν τοῦ ἰω-
-νικῶς.

Εἴαται. ἔαται. ἢ ὑπῆρχεν ῥῆμα παρα-
-τατικοῦ. τῶν εἰς μι ἰωνικῶν. οἱ μέν
τοι ἀπὸ περισπωμένων φύσει μακρὰ
παραληγόμενοι, ταύτην συστέλουσι. πρὸ
τοῦ ᾱται εἰς τὴν ὀφειλομένην συλλαβὴν
ἔημι. τὸ παθητικὸν ἔεμαι. ἦμαι. ἦμεν,
ἤμεθα. ἦνται. καὶ τὸ ἰωνικὸν ἔαται.
οἷον δὴ νῶ ἔαται σιγή. καὶ πλεονασ-
-μῶ εἴαται. εἰώθασι γὰρ. οἱ ποιηταὶ
ἐπὶ τῶν βαρυτόνων λέγει δή. τὸ κεῖν-
-ται. κέηνται. ἰωνικῶς κέαται. ὡς ἀπο
προσφέρειν. καὶ εἰς τὸ εἶεν.

Εἶδον. ἥβρωσις. διὰ τῆς ει διφθόγγου
ἀπὸ τοῦ ἔδω τοῦ σημαίνοντος τὸ ἐαθίω.

γέγονεν. ἔδον. καὶ κατὰ πλεονασμόν καὶ προσθήκην τοῦ ι. εἶδαν. καὶ κλίνεται εἴδατος.

Εἰδῆς. γνώσης ὑποτακτικὸν μέσον παρακείμενον. εἴδω τὸ γινώσκω ὁ μέλλων εἴσω. ὁ παρακείμενος εἶδα. ἡ μετοχὴ εἰδώς. εἰδότος. τὸ εὐκτικὸν εἴδοιμι. καὶ τροπὴ τοῦ μ εἰς ην. εἰδοίην καὶ εἰδείην. καὶ τὸ ἔχοντα τὸ εὐκτικὸν εἰς ην περισπῶσι τὸ ὑποτακτικὸν καὶ γίνεται εἰδῶ. εἰδῆς. εἰδῇ.

Εἰδεχθείς. ἐκ τοῦ εἴδους. καὶ τὸ ἔχθος. ὁ σημαίνει τὸ μίσος.

Εἶδον. ἑώρακα. ἐκ τοῦ εἴδω. τὸ εἴδω σημαίνει ἕξ. εἴδω. τὸ ὁμοιῶ. ὡς τὸ

Εἰδομένη γαλόω Ἀντηνορίδαο δάμαρτι.

εἴδω. τὸ φαίνω.

——— τόδέ τοι κῆρ εἴδεται εἶναι.

εἴδω τὸ βλέπω.

Ὣς εἶδον Ἥφαιστον διὰ δώμενός ποιπνύοντα.

εἴδω τὸ γινώσκω.

ἔπειτα δέ κ' αὐτὸς εἴσεαι.

ἔστι δὲ καὶ ἕτερον περισπώμενον καὶ σημαίνει. τὸ μανθάνω

Ἤρη μὲν δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους.

Εἰδήσειν. ———

καὶ ἕτερον διὰ τοῦ η̄. καὶ σημαίνει τὸ
εὐφραίνομαι. ἐξ οὗ καὶ ἡδύς.
Ἐδώδιμον. ἐκ τοῦ ἔδω. ἐδωδή.
Εἰδήειν. εὐκτικόν.
Εἰδυλίς. ἐπιστήμων. εἰδυῖα. Καλλίμαχος.
καὶ κόσσον ὀφθαλμοὶ γὰρ ἀπαθέως ὅσον
ἀκοή
εἰδυλίς παρὰ τὸ εἴδω τὸ γινώσκω. εἴδω
εἰδυλίς. ἡ . . . . εἶτα παρωνύμως εἰδυ:
:λίς.
Εἶδος. τὸ ἀπὸ γένους διαιρεθέν. εἶδος
τὸ εἰδοποιοῦν τὴν ὕλην. τὸ εἶ δίφθογγον.
Εἶδος. σημαίνει τρία. τὴν μορφὴν ὡς τὸ
Δή τοι εἶδος μὲν ἔην κακὸς ἀλλὰ ποδώκης.
σημαίνει δὲ καὶ τὸ σχῆμα. καὶ τὸ ἀπὸ
γένους διαυρούμενον. οἷον ἄνθρωπον. ἵππον.
ἐλαίον καὶ τὰ ὅμοια. εἶδος παρὰ τὸ εἴδω
τὸ ὁρῶ, ὡς παρὰ πᾶσι βλεπόμενον.
Εἴδω. εἰς τὸ αἴδω. καὶ ἄειδε. καὶ ἐδεῖσθαι.
καὶ ἀΐδηλος. καὶ ἀΐδιον. καὶ ἀναιδής καὶ εἰδής.
καὶ εἰκυῖα. καὶ εἴσατο. καὶ εἴση. καὶ εἰσα:
:μένη. καὶ εἴσκω. καὶ ἥδει. καὶ ἰδμέν. καὶ
ἴσος. καὶ ξώιστον. καὶ οδωη καὶ ὠδή.
Εἶδος. διὰ τῆς. εἶ διφθόγγου. ἐπειδὴ παρα:
:κεῖται αὐτοῦ τὸ οἶδα. καὶ λοιπὸν ἐκ
τοῦ εἴδω. εἶδος. τινὲς λέγουσι διὰ τοῦ
ῑ. ὡς ἀπὸ τοῦ ἰδεῖν ἀπαρεμφάτου

οὐ καλῶς δὲ λέγουσιν. ἰστέον δὲ ὅτι τὸ εἶ-
-δος σημαίνει τὴν μορφήν.

Εἴδωλον. φάσμα. εἰκών. παρὰ γὰρ τὸ
εἶδος καὶ τὸν εἴδω ἐνεστῶτα ἐστίν. ἢ κατὰ
τὸ ἰδεῖν ὅλον. ἢ παρὰ τὸ εἴδω τὸ ὁμοιῶ.

Εἴδωλα. αἱ εἰς τὸ ἰδεῖν μόνον εἰκόνες.
οὐμέν τοι καὶ εἰς ἄλλην αἴσθησιν.

Εἴδωλον. εἰ μὲν ἀπὸ τοῦ εἰδέναι. διὰ μό-
-νου τοῦ ῑ γραφόμενον. εἰ δὲ ἀπὸ τοῦ εἴ-
-δους. προσλήψει τοῦ ε̄. εἶα. ζητ. ἰδωλο-
-λατρία. ἢ τῶν εἰδώλων θεραπεία. ἐκ
τοῦ εἴδωλον καὶ τοῦ λατρεία. τοῦτο ἐκ
τοῦ λατρεύω. τοῦτο ἐκ τοῦ λάτρης. ὃ
σημαίνει τὸν μίσθιον δοῦλον. τοῦτο ἐκ τοῦ
τηρῶ τὸ βλέπω. λάτηρον καὶ κατὰ συγ-
-κοπὴν λάτρον. πρὸς ὃ βλέπει ὁ μισθω-
-τός. τὸ ᾱ μακρόν. τὰ ἀπὸ τῶν διὰ τοῦ
ἕνω ῥημάτων γινόμενα θηλυκά. ἐκτεί-
-νουσι τὸ ᾱ.

Εἶεν. ἄγε δή. ἢ ὑπάρχει. συγκατάθε-
-σις μὲν τῶν εἰρημένων. συναφὴ δὲ πρὸς
τὰ μέλλοντα. ὥσπερ ἀπὸ τοῦ ῥέω γέγο-
-νε ῥέα. καὶ ῥεῖα. ῥεῖα. κατὰ πλεο-
-νασμὸν τοῦ ῑ. εἶα. καὶ ἐκ τούτου εἶεν.
καὶ εἰς τὸ εἰμί.

Εἴημεν. εἰς τὸ εἰμί. ὅμηρος.

Εἶδαρ. ὃ σημαίνει τὸ εὐθέως. ἀπὸ γὰρ τοῦ εὐθῦς. γέγονεν εὖδαν. καὶ τροπῇ τοῦ υ εἰς ι. εἶδαρ.

Εἴδε. ἀπὸ τοῦ ει γέγονεν. εἴδε. αἶδε κατὰ δωριεῖς. ἐπειδὴ τὸ ε. εἰς α τρέπουσιν

Εἰδισμένος. ἀπὸ τοῦ ἐθίζω. ἐθισμένος. καὶ εἰθισμένος. κατὰ πρόσθεσιν τοῦ ι.

Εἶκα. εἰς τὸ ἥδει.

Εἴκαιος. μωρός.

Εἰκάστος. ὄνομα κύριον. ἀπὸ τοῦ εἰκάς, εἰκάδος. γέγονε. τὸ δὲ εἰκάς. παρὰ τὸ εἴκοσι ἐστί.

Εἰκάζω. ὁμοιῶ. ὡς παρὰ τὸ μίμνω μιμνάζω οὕτω παρὰ τὸ εἴκω τὸ ὁμοιῶ. εἰκάζω. εἴκασμαι. εἴκασται. εἰκαστός. καὶ μετὰ τοῦ στερητικοῦ α. ἀείκαστος. καὶ πλεονασμῶ τοῦ ν. ἀνείκαστος. δὶ διαφέρει εἴδωλον. καὶ δείκηλον. οὐ περὶ τὴν ἔνδειξιν. ἀλλὰ κατὰ τὴν φωνήν. γίνεται καὶ τὸ δείκηλον. ὁμοίως παρὰ τὸ εἴκω τὸ ὁμοιῶ. εἴκηλον. καὶ δείκηλον. τὸ ἄγαλμα.

Εἰδωλολατρία. παρὰ τὸ εἴδω τὸ ὁμοιῶ καὶ τοῦ ὅλον. ὅλον μὲν ὁμοιούμενον

ἀνθρώπω. χωρὶς τῆς ψυχῆς.

Εἴδωλον καὶ ὁμοίωμα διαφέρει. τὸ μὲν γὰρ εἴδωλον, οὐδεμίαν ὑπόστασιν ἔχει. τὸ δὲ ὁμοίωμα. τινός ἐστιν ἴνδαλμα. καὶ ἀπείκασμα. ἐπειδὴ ἕλληνες ἀναπλάττουσι τὰς οὐχ' ὑφεστώσας μορφάς. σφίγγας. τρίτωνας, καὶ κενταύρους. εἴδωλα λέγονται τὰ τῶν ὑφεστότων μιμήματα. ὁμοιώματα δὲ τὰ τῶν ὑφεστότων εἰκάσματα. οἷον. ἡλίου. σελήνης. ἄστρων. ἀνθρώπων. θηρίων. καὶ ἑρπετῶν, ὡσαύτως καὶ ζωδίων.

Εἰκός. εἰκότος. σημαίνει ἡ λέξις. καὶ τὸ εὔλογον καὶ τὸ ἀκόλουθον. καὶ τὸ δίκαιον. τὸ πρέπον τὸ ἀρκοῦν. τὸ ἀληθές.

Εἰκότως. τὸ ἀληθῶς. τὸ πρεπόντως.

Εἰκὸς δὲ οὐδετέρως. καὶ εἰκὸς τὸ ὁμοίωμα. καὶ ἐοικὸς καὶ ἐοικῶς.

Εἰκὸς τὸ ἀκόλουθον. καὶ πρέπον. εἰκὸς τὸ ἐνίοτε. καὶ συμβαῖνον. ἢ τὸ μὴ πάντων ὄν

Εἰκάδιος. ὄνομα κύριον. ἔστι δὲ παρὰ τὸ εἰκάς. εἰ δὲ διὰ τῆς ει διφθόγγου γράφεται. παρὰ τὸ εἰκός. εἰκός. εἰκάδιος δὲ ἐκλήθη. ἐπειδὴ ἐν τῇ εἰκάδι τοῦ μηνὸς ἐγεννήθη.

Εἴκαθεν· ἀντὶ τοῦ ὑπεχώρησεν· ἀπὸ τοῦ εἴκω· τὸ ὑποχωρῶ· γίνεται ῥῆμα εἰκάθω· καὶ οὐχ ὥς τινες· ἀπὸ τοῦ ἑκὰς τοῦ σημαίνοντος τὸ πόρρω· εἴκαθεν· πλεονασμῶ τοῦ ι·

Εἴκειν· εἰς τὸ ἐπιεικής·

Εἴκελος· ὁ ὅμοιος· ὥσπερ παρὰ τὸ σθένω· σθένελος· καὶ ἀπὸ τοῦ πέμπω πέμπελος· οὕτως ἀπὸ τοῦ εἴκω· εἴκελος· τὸ ἁπλοῦν διφορεῖται· τὸ δὲ σώθετον, διὰ διφθόγγου μόνως· καὶ εἰς τὸ θεείκελος·

Εἴκελος· διὰ τῆς ει· ὥσπερ ἀπὸ τοῦ ἄγω ἄγελος καὶ ἄγγελος· οὕτω καὶ ἀπὸ τοῦ εἴκω τὸ ὁμοιῶ· εἴκελος· οὐμὲν τῇ ἁπλότητι· διὰ τῆς ει διφθόγγου· οἷον

εἴκελος ἀστεροπῇ· διὰ τοῦ ι δὲ· οἷον

ἡ δ' ἀνδρὶ ἱκελὴ τρόων κατεδύσατ' ὅμιλον·

ἐν δὲ τῇ συνθέσει μόνῃ· διὰ τῆς ει διφθόγγου οἷον θεοείκελος· πανείκελος· ἀνδρείκελος·

Εἰκῇ· σημαίνει τὸ ὡς ἔτυχε· διὰ τῆς ει διφθόγγου· ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ γὰρ γέγονεν·

Εἴκεσιν· ὄψεσιν· ἀπὸ τοῦ συνέκεσθαι τὸ δέρμα·

Εἴκοσιν ἀπὸ τοῦ εἴκειν τὴν δυσὶ δεκάσιν· ἢ

ὥσπερ ἀπὸ τοῦ ἕεις. γίνεται. εἷς κατ'
ὑστέρησιν τοῦ ε̄. καὶ φυλάσσει τὴν εἶ δίφ-
θογγον. οὕτω. καὶ ἀπὸ τῶν ἐείκοσιν εἴκοσι.
καὶ ἄλλως. πᾶς ἀριθμὸς ἐντὸς τῶν χιλί-
ων. ἔχει στοιχείων ἢ φωνῆεν ἢ σύμφωνον,
ἐκ τῶν ἐντὸς τῆς δεκάδος. οἷον τὸ εἷς καὶ
τὸ ἕν. ἔχουσι τὸ ε̄. ὅπερ ἐκ τοῦν ἐντὸς
τῆς δεκάδος ἐστί. καὶ τὸ δύο ἔχει τὸ δ̄.
καὶ τὸ πεντήκοντα τὸ η̄. διὰ τοῦτο οὐκ
τὸν κανόνα. καὶ τὸ τρεῖς διὰ τῆς εἶ δίφ-
θόγγου. ἵνα ἔχει τὸ ε̄ ἐκ τῶν ἐντὸς τῆς
δεκάδος. καὶ ὁ τέσσαρα ἔχει τὸ ε̄. καὶ τὸ
ᾱ. ὁμοίως καὶ πάντες οἱ ἀριθμοί. τὸ δὲ
ὀκτὼ ἀντικεῖσθαι δοκεῖ. ἐπειδὴ οὐκ
ἔχει στοιχεῖον. ἐκ τῶν ἐντὸς τῆς δεκάδος.
λέγουσι γὰρ οἱ φιλόσοφοι περὶ τοῦ ὀκτὼ,
ὅτι παρὰ τὸ ἄγω δύο ἐστί. τὸ δὲ ἄγω
δύο ἔχει στοιχεῖα. ἐκ τῶν ἐντὸς τῆς δεκάδος.
λέγω δὴ τὸ ᾱ. καὶ το γ̄. καὶ τὸ δ̄. παρὰ
τὸ ἄγειν δύο λέγεται. διὰ τὸ ἄγειν δύο
τετράδας. τὸ δὲ τρεῖς τὸ ε̄. ἔχει. ἵνα
ἐκ τῶν ἐντὸς τῆς δεκάδος. χ η̄ στοιχεῖον.
ἐπειδή. εἰ ἰῶ διὰ τοῦ ῑ μόνον ι οὐκ ἔμελ-
λεν ἔχειν στοιχεῖον ἐκ τῶν ἐντὸς τῆς δεκά-
δος. ἐν δὲ τῇ. συνθέσει ἀποβάλλει τὸ ε̄.

ὡς ἐν τῷ τειδεκαίδεκα. ὅτι ἔχει στοιχεῖα
τῶν ἐντὸς τῆς δεκάδος. τὸ ᾱ. καὶ τὸ δ.
καὶ τὸ ε. οἱ γὰρ δωρικῆς τετραυβι τὸ
ε. εἰς ᾱ. ἐν τῇ ἀεκοσδυ. καὶ τὸ δ ἐν
τῇ λυγοσδυ. εἰς τὸ η. ἀεικατι λέγον-
τες. ἵνα ᾠδεσθῇ τὸ ᾱ. ἐκ τῶν ἐντὸς
τῆς δεκάδος.

Εἴκοσ-ός. παρὰ τὸ εἴκειν τοῖς δυο δεκά
-διν. ὀξύνεται διά τί.

Εἰκοδιτάρειτα. εἰκοσάειλμα. ἀπὸ τοῦ
εἰκοσὶν ἀειλμοῦ. καὶ τοῦ ὑρειτά. ὅ ἐστιν
ἑλκτά. ἢ ἢ εἰκοσὶ ἑλκόντα. τουτέστιν
ἐξηκοσμένα. τὸ γὰρ ἑλκειν ἐπὶ τοῦ
ἰσταλαι

Εἰκότα. εἰς τὸ ἐοικότα.

Εἴκτην. μ^{ην} ⁻ πε. τρίτου προσώπου
τῶν δυϊκῶν. κατὰ διάλυσιν τῆς ει
διφθόγγου. τὸ ἀπὸ ἀπὸ τοῦ εἴκω. ἐξ
οὗ εἰκών. ὁ μ^{ην} πε εἴκειν.
εἶκον ὁ παρατατικός. καὶ τὸ τρίτον
τῶν δυϊκῶν. εἴκετον εἰκετ^{ην}. καὶ ἐν
δυγκοπῇ εἴκτην. καὶ διαλύσει εἴκτην.
ἢ παρατατικός. ὁ δὲ Εὐλόγιος φησίν.
ὑπαρατατικὸς εἶκον. ὁ παραχειμένος
εἶκα. καὶ ὁ μ^{ην} πε εἴκειν. εἴκεις. εἴκει.
δυϊκῶς. εἴκετον εἰκέτην. καὶ ἐν διαλύσει
τῆς ει διφθόγγου εἰκέτην. καὶ δυγκοπῇ τῷ

ἐπαγομένου τοῦ τοῦ κ̄. γίνεται ἐΐκτην.

Εἰκυῖα. ἔστι καὶ ἀπὸ τοῦ εἴδω τὸ ὁμοιῶ. καὶ ἀπὸ τοῦ εἴκω.

Εἰκεῖ. ἐπίρρημα τοπικόν.

Εἴκω. εἰς τὸ ἀείκελος. καὶ ἀεικής. καὶ ἀείκοντας. καὶ αἰκίζω. καὶ ἐΐκτην καὶ θεοείκελος. καὶ ἴκελος καὶ ἑκοῦ - - καὶ ἱκέτης. καίμη. καὶ νίκας.

Εἰκῶν. ἀπὸ τοῦ εἴκω. οὗ ἀντιπαρακεῖ:ται τὸ ἔοικα. ὅσα γὰρ εἰς τὸ ο̄ ἀντιπα:ρακεῖνται. τὸ ε̄ ἔχουσιν ἐγκείμενον. τὰ δὲ ἔχοντα τὸ ο̄. ἀντιπαρακείμε:νον. ἔχουσι τὸ ε̄ ἐγκείμενον. οἷον. λείβω. λοιβή. ἀγείρω. ἀγορά. εἴκω. ἔοι:κα. οὕτω καὶ εἴκω. οἶκος:

Εἰκῶν λέγεται παρὰ τὸ ἐοικέναι τῶ ἀρχετύπω. ἀπὸ τοῦ εἴκω εἴρηται. τοῦ σημαίνοντος τὸ ὁμοιῶ παραχθεῖσα. εἴ:τε ὀσιῶ. ὁσία. εἴτε ἁγιουργία. καὶ τοσοῦτον γὲ ἔχουσι τὸ ἐοικός. ὡς καὶ τῆ παραδείγματος ταυτίζεσθαι προσηγορία.

Εἰκός. παρὰ τὸ εἴκω. γέγονε τοῦ σημαί:νοντος τὸ ὁμοιῶ. καὶ ἐοικῶς.

Εἴλαρ. σημαίνει τὸ φύλαγμα καὶ φρᾶγμα.

παρὰ τὸ εἴλω. τὸ συγκλείω. τὸ δὲ εἴ-
λω. παρὰ τὸ ἕλος. ἕλος δὲ ἐστι τόπος
δῑ ὑγρος. ὁ συγκλειόμενος ἀπὸ δένδρων
καὶ πλεονασμῶ τοῦ ῑ. εἴλω. ἐξ οὗ καὶ
εἶλαρ τὸ συγκεκλείσμενον. ἢ παρὰ τὸ
ἐλλείπειν καὶ συνέχειν

Εἰλεοθυῖα. ὄνομα θεᾶς. αὐτὴ τικτου-
σων γυναικῶν ἔφορος. ἐστί καὶ ἑορτή.
ἀπὸ τοῦ ἐλεύθω τοῦ σημαίνοντος τὸ παρα-
γίνομαι. γέγονεν ἐλεύθυια καὶ πλεονασ-
μῶ τοῦ ῑ. εἰλεύθεια. καὶ τροπῇ τοῦ
ῡ. εἰς ῑ. εἰλεύθυια. παρὰ τὸ ἐλεύθειν
εἰς φῶς. δι' αὐτῆς τὰ τικτόμενα. καὶ
εἰς τὸ βολασία.

Ἐλήθεια. ἀπὸ τοῦ κατὰ τὴν εἴλησιν
τῆς πορείας θέειν. ὅ ἐστι μεθ' ἑρμῆς θεω-
ειν. οἱ δὲ ἢ εἰς ἔλευσιν ἄγουσα τὰ βρέφη.

Εἴλαρ. τὸ ὀχύρωμα. καὶ τὸ ἕρκος. ἀπὸ
τοῦ ἑλεῖν.

Εἰλαπίνη. σημαίνει δὲ τὴν εὐωχίαν.
διὰ τῆς εῑ. ἐλλαπίνη. γὰρ οἱ Αἰολεῖς.

Εἰλαπίνη. ἡ εὐωχία. ἀπὸ τοῦ δαψιλῶς
δαπανᾶν. λάπειν γὰρ τὸ ἐκκενοῦν. ἀφ'
οὗ καὶ λαγόνες. ἐκκενόμεναι γὰρ εἰσῖν.
ὧς πλευραὶ ἀπὸ τοῦ πληροῦσθαι.

Εἰλαπίνη· εἰλαδίν θωνή·

Εἰλέωσιν εἴλουσι καὶ ἐγκλεῖουσι ῥῆμα ὑπο=
=τακτικόν· ἐκ τοῦ εἴλω· τὸ εἶ δίφθογγον·
διότι εὑρέθη· τὸ ε ἐν τῷ εἰλή· ὃ σημαίνει
τὸν σκῶλακα· γίνεται δὲ ἐκ τοῦ εἰλῶ τὸ
συστρέφω· εἰλή· καὶ τροπῇ τοῦ ι· εἰς υ
εὐλή· ἵλως εἴλωτις· ὁ μιαθωπός· ὁ δοῦ=
=λος· παρὰ τὸ ἕλω τὸ λαμβάνω· ἕλως
καὶ εἵλως·

Εἰλίπους διὰ τῆς ει· ἡ ἄρχουσα· παρὰ
γὰρ τὸ εἴλω· εἰλίσω· ἡ δὲ δευτέρα συλ=
=λαβή· διὰ τοῦ ι· τὰ εἰς ω λήγοντα τρι=
=σύλλαβα·

Ἰστέον ὅτι ἕλωτες λέγονται, οἱ μιαθωδουλεῦ=
=οντες ἐλεύθεροι· οἱ αὐτοὶ δὲ παρὰ Ἀθη=
=ναίοις θῆτες λέγονται· παρὰ Ἀργείοις
γυμνῆτες· παρὰ Θεσσαλοῖς πενέται· παρὰ
κρησὶ πελάται· παρὰ σικορινίοις κορυνι=
=φάροι· παρὰ δὲ συρακουσίοις καλλικάροι·

Εἴλωτες· δὲ καὶ οἱ δοῦλοι παρὰ Ἀθηναίοις·
ἀπὸ τοῦ ἕλω ἕλωτος· πλεονασμῷ τοῦ ι·

Εἰλίπους· παρὰ τὸ εἴλω εἰλήσω·

Εἴλεον· σημαίνει τὴν μαγειρικὴν τράπε=
=ζαν· παρὰ γὰρ τὸ ἕλλος γέγονεν ἕλεον·
καὶ πλεονασμῷ τοῦ ι εἴλεον·

Εἰλυθυῖας· τὰς ὀδύνας μετωνυμικῶς· ὡς ἄρην τὸν σίδηρον·

Εἴλε· σημαίνει δὲ τὴν θερμασίαν· παρὰ τὸ ἕλη γέγονε· κατὰ πρόσθεσιν τοῦ ι· καὶ εἰς τὸ ἄϊλος· καὶ ἰλεγγοτ:

Ἐλήλυθας· παραγένου ὅμηρος

Εἰλήλουθας μέσος παρακείμενος δευτέρου προσώπου· ἐστι τὸ θέμα αὐτοῦ ἐλεύθω· ἐλεύσω· καὶ ὁ μέσος παρακείμενος ἤλευθα· καὶ ὁ Ἀττικὸς ἐλήλυθα· πλεονασμῷ τοῦ ο βοιωτικῶς ἐλήλουθα, καὶ παρενθέσει τοῦ ι· εἰλήλουθα· καὶ τὸ δεύτερον εἰλή:λουθας· ἡ διάλεκτος ἰώνων·

Εἰλήμμενος κεκρατημένος τὸ εἰ δίφ:θογγον· διατί· λήβω τὸ λαμβάνω· ὁ μέλλων λῆψω· ὁ παρακείμενος λέληφα· καὶ ἐκβολὴ τοῦ λ· εἴληφα· καὶ πλεονασ:μῷ τοῦ ι εἴληφα· ὁ παθητικὸς παρα:κείμενος· εἴλημαι· καὶ ἡ μετοχὴ ὁ εἰλη:μμένος· καὶ μετὰ τῆς κατὰ προθέσεως κατειλημμένος· καὶ μετὰ τῆς σὺν συνει:λημμένος·

Εἴληφα· ἔλαβον· παρὰ τὸ λήβω τὸ λαμ:βάνω· ὁ μέλλων λήψω· ὁ παρακείμε:νος λέληφα, καὶ ἀποβολὴ τοῦ λ ἔληφα· καὶ πλεονασμῷ τοῦ ι εἴληφα· ἐπειδὴ ἀπὸ τοῦ λ καὶ μ ἀρχομένων ῥημάτων,

εἰωθασιν οἱ Ἴωνες. ἀποβάλλειν τὸ κατ-
ἀρχὴν σύμφωνον τοῦ παρακειμένου. καὶ
τοῖ ἴδιον παρακειμένου. καὶ εἰς τὸ ἔξω
λιφα.

Εἴλιφα. καὶ εἰλιφὼς παρὰ τὸ λαβεῖν.

Εἴλυχα. ἔλαχον. τὸ ει διφθογγον. διατὶ
λήχω. τὸ λαγχάνω. ὁ μέλλων λήξω. ὁ
παρακείμενος λέλυχα. καὶ ἐκβολῇ τοῦ
λ εἴλυχα. καὶ πλεοναζομω τοῦ ι. εἰίλυχα.
ὁ παρακείμενος ὁ παθητικὸς ἐπείλυγμαι.
καὶ ἡ μετοχὴ ὁ ἐπειλιγμένος.

Εἰλυχως. εἰς τὸ μετειλυχότα.

Εἰλιγγιᾶν. τὸ δικοτοδινιᾶν. ἀπὸ τοῦ
δοκεῖν εἰλεῖσθαι πάντα. ἔστι δὲ καὶ
ἔλλειψις ψυχῆς.

Εἰλιγγιῶ. ἀτονῶ. δικοπουμαι. ἀπὸ
τοῦ εἴλιγξ. εἴλιγγος. τοῦτο δὲ παρὰ τὸ
ἑλίσσω. ἑλίξω γίνεται ἕλιγξ. καὶ πλε-
οναζομω τοῦ ι. εἰλίγξ. ἢ παρὰ τὸ εἴλω
τὸ συστρέφω. δεῖ δὲ εἰδέναι ὅτι καὶ
διὰ τοῦ ι. καὶ διὰ τῆς ει διφθόγγου.
γράφεται. ὁ μὲν ἴλιγγος. τὸ ὄνομα διὰ
τοῦ ι. τὸ δὲ εἶμα διὰ διφθόγγου.

Εἰλιγγιᾶν τὸ δικοτοδινιᾶν. ἀπὸ τοῦ δοκεῖν
εἰλεῖσθαι πάντα, ἔστι δὲ καὶ ἔλλειψις
ψυχῆς. ὁμηρος.

Εἰλοπόδεσιν· εἰλίποδας· ἐπιθετι=
=κῶς· τὰς βοῦς· ὅτι εἰλίσσουσι τοὺς
πόδας κατὰ τὴν πορείαν·
Εἰλικρινής· ὁ καθαρός· καὶ ἀληθής·
παρὰ τὸ ἕλη καὶ τὸ κρίνω· δοκεῖ πα=
=ράλογος ἡ σύνθεσις· ὤφειλε γὰρ τὸν
παραλήγειν· οὐκ ἔστι δέ· ἐπειδὴ τὰ
εἰς η̄ λήγοντα συντιθέμενα μεθ' ἑτέ=
=ρας λέξεως· ἢ τρέπουσι τὸ η̄ εἰς
σ̄· ἢ φυλάσσουσιν αὐτό· ὡς τὸ βοὴ
βοηθός· τρέπουσι δέ· ὡς τὸ εἰλοκρι=
=νής· καὶ τροπῇ τοῦ ο̄ εἰς ῑ· εἰλι=
=κρινής· εἰλικρινής· γὰρ ἐστιν ὃ ἔχων
λαμπρὰν καὶ καθαρὰν τὴν ψυχήν·
Εἰλικρινής· παρὰ τὸ κρίνω καὶ τὸ
ἕλη· τὸ σημαῖνον τὴν θέρμην· γέγονεν
εἰλικρινής· τὸ δὲ λῑ ῑ· ἀπὸ τοῦ εἰλι=
=κρινής· τροπῇ τοῦ ο̄ εἰς ῑ· τὸ
δὲ κρῑ· ἐκ τοῦ κρίνω·
Εἰλικρινῶς· καθαρῶς· διὰ τὴν ἕλην
καὶ τὴν κρίνην ἢ τὴν ἡλιακὴν ἀκτῖνα·
καὶ τὴν πηγήν·
Εἶλον· εἰς τὸ ἐλοίμεθα·
Εἰλόπεδον· εἰς τὸ θειλόπεδον·
Εἰλυφάζω τὴν φλόγα συστρέφω· ἢ σείω
τοὺς ὀφθαλμοὺς· καὶ τεινάσσω παρὰ
τὸ εἴλω καὶ τὸ φῶς· εἰλύφω· καὶ —

εἰλυφάζω τουτέστιν τὸ φῶς παρέχω.

Εἴλω· εἰς τὸ εἰλέωσι· καὶ ἐλιξάμενος· καὶ ἰλῶς καὶ ὕλη· καὶ εὔειλος· καὶ εὐλιτῖ –

Εἴλω· εἰς τὸ ὁμιλεῖν καὶ ἑλοίμεθα.

Εἷμα· παρὰ τὸ ἕω· ἕσω· τὸ ἐνδύομαι, εἷμα τὸ ἱμάτιον·

Εἵμασιν ἐκ τοῦ εἷμα· τοῦτο ἐκ τοῦ ἕω τὸ ἐνδύομαι· εἷμαι· τὸ εἶ δίφθογγον κατὰ διάλεκτον· οἱ γὰρ Αἰολεῖς ἔμμα λέγουσι· καὶ τὸ σπείρω, σπέρω, καὶ λευχήμων· τὸ δὲ ἱματίζω ἱματισμός· καὶ ὅσα παρὰ τὸ ἱμάτιον διὰ τοῦ ῑ γράφεται·

Εἵματα· ἱμάτια· ἐνδύματα· ἐκ τοῦ ἕω τὸ ἐνδύομαι· εἷκα· εἷμαι· καὶ εἵματα· ἱμάτια· καὶ δασύνεται· τὸ εἶ δίφθογγον πρὸς ἀντιδιαστολὴν τοῦ σημαίνοντος· τὸ ἡμέρας εἵματα πάντα· καὶ εἰς τὸ ἀνειμένος· καὶ λευχήμων.

Εἷμαι παρὰ τὸ ἕω ῥῆμα τὸ ἐνδύω, οὗ ὁ μέλλων ἕσω· καὶ ἐσῆς· καὶ πλεονασμῶ τοῦ θ ἐαθῆς· τὸ ἱμάτιον·

Εἱμαρμένην τύχην· εἱρομένην τινά· εἴτ' ἐκ θεῶν βουλήσῃ· εἴτ' ἐξ οἱασδήποτε.

αἰτίας· ἢ διὰ τὸ εἴρειν τε καὶ χωρεῖν ἀκωλύτως.

Εἴλυμα· τὸ σκέπασμα· διὰ τῆς εἶ διφθόγγου παρὰ τὸ εἰλῶ εἰλύω εἰλύσω. καὶ ἐξ αὐτοῦ εἴλυμα.

Εἵλως· εἵλωτος· ὡς μακρὰ παραληγόμενα· διὰ τοῦ τὸς ἐκλίθη.

Εἵμαρται· μείρω, μερῶ, μεμαρκα· μέμαρται· καὶ ἀποβολῇ τοῦ μ καὶ πλεονασμῷ τοῦ ῑ εἵμαρται.

Εἱμαρμένη· ἡ μὲν ἄρχουσα διὰ τῆς εἶ διφθόγγου· ὥσπερ ἀπὸ τοῦ λήβω τὸ λαμβάνω γέγονε λέληφα· καὶ εἴληφα κατ' ἀποβολὴν τοῦ λ· καὶ πλεονασμῷ τοῦ ῑ· οὕτω καὶ ἀπὸ τοῦ μείρω τουτέστι μερίζω γέγονε κατ' ἀποβολὴν τοῦ μ· καὶ προσθήκην τοῦ ῑ· καὶ τὸ παθητικὸν εἵμαρμαι καὶ ἐκεῖθεν εἱμαρμένος καὶ εἱμαρμένη.

Εἱμαρμένη· παρὰ τὸ μύρω μέμαρμαι. καὶ εἵμαρμαι.

Εἰμί· τὸ ὑπάρχω· πρώτης συζυγίας τῶν εἰς μι· τὸ δεύτερον εἶς· τὸ πρῖτον ἐστί· ὑποτακτικὸν ὦ· ἦς· ἦ· πληθυντικόν· ὦμεν· ἦτε, ὦσι· ἦμεν· ἦτε· ἦσαν· ἦσθα· ἦν ὁ δεύτερος ἀόριστος

Εἶμι χρόνου ἐνεστῶτος· τῶν εἰς μι καὶ
δημαίνει τὸ πορεύομαι· τούτου τὸ πρῶτον
πρόσωπον τῶν πληθυντικῶν ἴμεν· καὶ
τὸ προστακτικὸν ἴθι· τὸ πορέθου· καὶ
τὰ λοιπὰ δῆλα.

Εἵμαρτο· πόθεν φαμὲν ἀπὸ τοῦ μείρω-
τοῦ δηλοῦντος τὸ μερίζω· μερῶ ὁ μέλ-
-λων· ὁ παρακείμενος μέμαρκα· ὁ
παθητικὸς μέμαρμαι· καὶ κατὰ τοὺς
Ἀττικοὺς ἀποβολὴ τοῦ αὐτοῦ συμφώνου.
καὶ προσελεύσει τοῦ ι· ὁ παθητικὸς
παρακείμενος εἵμαρμαι· ὡς κέκαρμαι,
κέκαρσαι· κέκαρται· εἶτα ὁ ὑπερ εἱμάρ-
-μην· εἵμαρσο· εἵμαρτο· ἐφθάρην ἔφθαρ-
-σο ἔφθαρτο.

Εἶμεν· εἰς τὸ εἰμί· καὶ ἰθμός.

Εἶμι· βαρύτονον· καὶ τὰ μὲν πληθυν-
-τικὰ διὰ τοῦ ι· γράφεται, καὶ ὁ παρα-
-τατικὸς ἦν· τὸ πληθυντικὸν ἴμεν·
διὰ τοῦ ι· ἀλλ' ἐπὶ τοῦ παρατατικοῦ.
τῶν εἰς μι· καὶ ἡ παραλήγουσα τὸ
τρίτον ἦσαν· ἔτι τοῦ εἰς μι· τὸ τρί-
-τον τῶν πληθυντικῶν ἴσι· καὶ τὸ
ἰωνικὸν ἴασι· καὶ ὅμηρος·

——— καὶ τ' ἀγεληδὸν ἴασι ἀπόκρη-
-νης μέλαν ὕδωρ·

Εἶμι βαρύτονον· ἀπὸ τοῦ ἐω· τὸ πορεύομαι·

τοῦτο παρὰ τὸ ἔω πλεονασμῷ τοῦ ι εἶω.
ἐξ οὗ τοῦ ἴωμι· καὶ κατὰ συγκοπὴν εἶμι.
σημαίνει δὲ τὸ πορεύομαι· καὶ τὰ μὲν
ἐνικὰ αὐτῶν διὰ τῆς ει διφθόγγου γρά-
φεται· τὰ δὲ πληθυντικὰ διὰ τοῦ ι·
ὡς ἀπὸ τοῦ ἴω· τοῦ . . . . διὰ τοῦ
ι· γράφεται· τὸ τρίτον τῶν πληθυν-
τικῶν ἴδι· καὶ ἰωνικῶς ἴασιν· ὁ πα-
ρατατικὸς ἦν· τὸ πληθυντικὸν ἴμεν.
καὶ τὸ τρίτον ἴασιν.

Εἶμι τὸ διμαῖνον τὸ πορεύομαι· ἀπὸ
τοῦ εἴω γέγονε· τροπῇ τοῦ ω εἰς μι·
τὸ δὲ ἴμι· ἀπὸ τοῦ ἴυμαι· γέγονε
κατὰ συγκοπὴν τοῦ υ· καὶ εἰς τὸ
ἴμεν· καὶ ἴδμα· καὶ ἴασι καὶ φοι - -
καὶ κάτειδι· καὶ εἶδι καὶ ἔπειδι· καὶ
εἶναι·

Εἰμί· μέρος λόγου ῥήματος· καταλήξεως
τῶν εἰς μι· ἐγκλίσεως δεικτικῆς· διαθέ-
σεως ἐνεργητικῆς· εἴδους παραγωγοῦ.
Χήματος ἁπλοῦ ἀριθμοῦ ἑνικοῦ πρω-
τοπροσώπου τοῦ ἑνικοῦ· χρόνου ἐ-
νεστῶτος· συζυγίας πρώτης τῶν εἰς
μι· ὁ παρατατικὸς ἦν· ἡ μετοχὴ
εἰς· τὸ ἔγκτικὸν εἶμεν· τὸ πληθυντικὸν
εἶμεν· καὶ συγκοπῇ εἶμεν· καὶ τὸ τρί-
τον εἶεν· ὁ κλῖσις· ὡς δὲ γίνεται κατὰ

συγκοπήν. δοῖμ δ' ἀτρύδες θυγατρῶν.
εἰμὲν ἀπὸ τοῦ εἴημεν γίνεται εἶμεν.
εἰδὲ εἶμεν. κατὰ συγκοπὴν τοῦ η. ὡς
κοσμηθείημεν. κοσμηθεῖμεν. καὶ τὸ ὅ-
-μοια.
Εἰμὶ ἀπὸ τοῦ ἔω γέγονε τοῦ συμαί-
-νοντος τὸ ὑπάρχω. τοῦτο τροπῇ τοῦ
ω εἰς μι. γίνεται εἰμί. καὶ ἐπειδὴ
τὰ εἰς μι φύσει μακρὰ θέλει παραλή-
-γεσθαι; ὡς δίδωμι. δίδως.. χωρὶς τοῦ εἰμι
θέσει μακρὰ παραλήγεσθαι. καὶ ἐπειδὴ τὰ
εἰς μι. οὐ θέλουσι διφθόγγω παραλήγεσθαι,
ὤφειλε διὰ τοῦ η εἶναι. ἠμί. ἐπειδὴ τὸ
ε ποτὲ μὲν εἰς η τρέπεται. ὡς ἐλέγχω
ἤλεγχον. ποτὲ δὲ τὸ ι. προσλαμβάνει.
ἔχω. εἶχον. θέλουσι δὲ αἱ παράγωγον λέξ-
-εις, λείψανον φυλάττειν τοῦ πρωτοτύ-
-που. ὡς διδω. δίδωμι. καὶ εἰ ἔτρεψε
τὸ ε. εἰς η. οὐκ ἐφύλαξε λείψανον τῆς
φωνῆς τοῦ πρωτοτύπου. καὶ εἰς τὸ
ἔστω. καὶ ἤτω. καὶ εἶς.
Εἶμεν. ἱκέτας. ἱκετήριος ἐμί.
Εἶναι. ὑπάρχειν. χρόνου ἐνεστῶτος.
καὶ παρατατικοῦ ἀπαρεμφάτου τῶν
εἰς μι. ἐκ τοῦ εἰμι. ἐκ τοῦ εἰμί, εἰς

ἔντος· καὶ πλεονασμῶ τοῦ ῑ εἶναι.
εὑρέθη δὲ πλεονασμός· καὶ ἐν τῷ πρῶ-
:τῳ τῶν πληθυντικῶν τοῦ ὁριστικοῦ.
τοῖοι ἦμεν· ἔστι δὲ καὶ ἕτερον εἶναι
ἐκ τοῦ εἶμι· τὸ πορεύομαι· οὗ τὸ πλη-
θυντικὸν ἴμεν διὰ τοῦ ῑ· καὶ ὤφει-
:λε τὸ ἀπαρέμφατον εἶναι, ἵνα φυ-
:λάξῃ τὴν παραληγοῦσαν τοῦ πληθυν-
:τικοῦ· ἀλλὰ συνεξέδραμε τῷ ὁμοίῳ
αὐτοῦ εἶναι· ὅπερ ἐν συνθέσει ἐξεῖνε
καὶ παρεῖναι· ἔστι δὲ καὶ ἕτερον εἶναι
δευτέρου ἀορίστου ἐκ τοῦ ἵημι· ὃ δεύτε-
:ρος ἀόριστος ἦν· καὶ ὤφηλε τὸ ἀπαρέμ-
:φατον εἶναι διὰ τὴν παραληγοῦσαν
τοῦ πρώτου τῶν πληθυντικῶν τοῦ
ὁριστικοῦ, ἢ εἶναι διὰ τὸ ἐκεῖθεν κανο-
:νίζεσθαι τουτέστι τρίτου προσώπου
τὸ ῑ· τῶν οὖν δύο κανόνων μαχομέ-
:νων· τοῦ μὲν ἑνὸς ἀπαιτοῦντος τὸ
ε̄· τοῦ δὲ ἑτέρου τὸ η̄, ἐγένετο φυ-
:λάττον τὸν μακρὸν χρόνον τοῦ η̄·
τὴν δὲ παραλήγουσαν τοῦ ἔμεν· τὸ
δὲ καὶ δασύνεται, καὶ ἐν συνθέσει·
ἀφεῖναι· καὶ καθεῖναι·
Εἶναι· ὑπάρχειν· ἀπαρέμφατον διὰ
τῆς εῑ· ἔμενε γὰρ λέγουσιν οἱ Δωριεῖς.

καὶ κατὰ ἀποβολὴν τοῦ με. καὶ πλεο-
-νασμον τοῦ ι εἶναι. ἰστέον δὲ ὅτι ἐπὶ
Ca) Sn τῶν εἶναι ἀπαρεμφατῶν τοῦ ἀορίστου.
εἰώθασιν οἱ Δωριεῖς ἐπεντιθέναι τὴν
ναι συλλαβὴν. καὶ ἂν μὲν ὦσι δύο φω-
-νήεντα, τὸ ἓν ἀποβάλλουσιν. οἷον
δοῦναι. δόμεναι. θεῖναι. θέμεναι. βῆναι
βήμεναι.

Εἶναι. ἀντὶ τοῦ ἔσω ἀπαρέ

Εἴατος. ἐκ τοῦ ἔνατος. κατὰ μεταβολὴν
τοῦ ν. εἰς γ. ἡ γὰρ τῶν Ἀργείων διά-
-λεκτος. μεταβάλλει τὸ ν. εἰς ι. τὸ γὰρ
σπένδω. σπείδω. λέγουσι. καὶ τὸ ἄδον,
ἄδοι.

Εἰνάτηρ. παρὰ τὸ εὐνή. εὐνάτηρ.
τροπῇ τοῦ υ εἰς ι.

Εἰνάτηρ ἡ σύνυμφος. καὶ Αἰολικῶς τρο-
-πῇ τῆς ει εἰς η ἠνάτηρ. ὡς χέρι χήρ.
ἄμεινον δὲ παρὰ τὸν ἕνα ἀριθμόν. ἐνά-
-τηρ. καὶ εἰνάτηρ. ἡ ἠνωμένη διὰ τῆς
ἐπιγαμίας. καὶ συγγενείαν ἀχθεῖσα.

Εἶν τὸ μέγα μέτρον. ἔστιν ἤνου ξέστων
ιη. τὸ δὲ . . . οἴνου ξέστων ἐννέ λ.

Εἵνεκα. χάριν. τὸ ι κατὰ πλεονασμόν.
πόσα εἴδη τοῦ πλεονασμοῦ. ὀκτὼ —

πρόθεσις. ἀναδίπλωσις. ἔκτασις. ἐπέκτασις. διαίρεσις. διπλασιασμός. παρέμπτωσις. παρένθεσις. προσθήκη φωνηέντων. κατὰ τὸ μέσον οὐ ποιοῦντες συλλαβήν. οἷον. πλέοντος. πλείοντος. ἐμέο. ἐμείο. τὸ δὲ πάθος. ἰωνικόν.

Εἵνεκα. γέγονεν. ἀπὸ τοῦ ἕνεκα. ἐπλεόνασε δὲ τὸ ῑ. διὰ τὸ μέτρον. καὶ εἰς τὸ οὔρακα.

Εἵνεκα. τοῦ εἵνεκα διαφέρει. τὸ μὲν οὕνεκα σημαίνει τὸ διότι. οὕνεκα καλὸν εἶδος. τὸ δὲ εἵνεκα. τούτου χάριν σημαίνει.

Ἐνοσίφυλλον. παρὰ τὴν ἕνωσιν. ἣ σημαίνει τὴν κίνησιν, καὶ τὸ φύλλον γέγονεν ἐνοσίφυλλον. οἱονεὶ τὰ κινοῦντα φύλλα. καὶ προσθέσει τοῦ ε̄ εἰνοσίφυλλον.

Εἴξας. ὑποχωρήσας. ἢ ἐνδοῦς ἀπὸ τοῦ εἴκω. εἴξω γέγονεν. εἶξα ὁ ἀόριστος πρῶτος. καὶ ἡ μετοχὴ εἶξας.

Εἴξασιν. ἀντὶ τοῦ ἤκασιν. ἐοίκασι. παρὰ Ἀττικοῖς. ὥσπερ ἴσως τῇ βοιωτῶν διαλέκτῳ. ἐχημάτισται. οὗτοι γὰρ τὸ κ̄ εἰς τὸ ξ̄ μετατρέπουσιν οὕτως ἔχει καὶ τὸ.

οἳ δ' ἴξαν κοίλην Λακεδαίμονα κειτόεσσαν. ὁ ἀόριστος δεύτερος καὶ τὸ κ̄ ἀπαιτῶν ὅμηρος.

Εἶο. ἑαυτοῦ. ἐστι γὰρ ἐμοῦ. σοῦ. οὗ. καὶ
αὗται αἱ γενικαὶ γίνονται κατὰ διάλυσιν.
ἐμέο. σέο. ἕο. καὶ ἐπειδὴ αἱ διαλελυμέναι
γενικαὶ οὐδέποτε δύο φωνήεντα ἔχουσι.
μακρά. ἢ βραχέα. ἀλλὰ τὸ ἓν μακρόν.
καὶ τὸ ἓν βραχύ. πριαμείδεω. πηλείδεω.
ὠκεανοῖο. ποταμοῖο. τούτου χάριν ἐπλε-
-όνασε τὸ ῑ. ποιητικῶς. καὶ ἐγένετο
ἐμεῖο. σεῖο. εἷο. διὰ τῆς εῖ διφθόγγου.
Εἶον. εἰς τὸ λευχημονείτω.
Εἴπερ. ἐάνπερ.
Εἰπάτω. τὸ θέμα ἔπω. τὸ λέγω ὁ ἀό-
-ριστος εἶπα. τὸ δεύτερον εἰπάτω. καὶ
ὤφειλεν εἶναι εἰπέτω. ἀλλ' ἐπεὶ παντα-
-χοῦ ὁ ἀόριστος φιλεῖ διρχρόνω παραλήγ.
Εἴπαισαν. εἴποισαν. ἐκ τοῦ ἔπω τὸ λέγω.
ὁ μέλλων ἕψω. ὁ ἀόριστος εἶπα. καὶ ἡ
μετοχὴ εἶπας. καὶ τὸ εὐκτικὸν εἴπαιμι.
τὸ δεύτερον εἴπαις. καὶ τὸ τρίτον εἴπαι.
καὶ Ἀττικὴ ἐπεκτάσει εἰπαίη. καὶ ἐπει-
-δὴ κανὼν ἐστιν ὁ λέγων. ὅτι πᾶν τρίτον
πρόσωπον εἰς η̄ λήγον προσθέσει τοῦ
σ̄. ποιεῖ τὸ β̄ν. καὶ τροπῇ τοῦ σ̄ εἰς
ν̄. ποιεῖ τὸ πρῶτον. γίνεται οὖν ἐξ αὐτοῦ
ἐπαίην. καὶ τὸ πληθυντικὸν εἰπαίημεν.

τὸ τρίτον εἰπαίησαν· καὶ ἐν συγκοπῇ· εἴπαισαν.

Εἴπατε· καὶ εἴπε· καὶ εἶπον· καὶ εἴπης. εἶπον τὸ προστακτικόν· ὧς τό· εἶπον τῇ ψυχή μου σῴτασου εἰμί ἀγώ· τὸ γὰρ ἐγὼ εἶπα, διὰ τοῦ ᾱ· ἡ δὲ μετοχὴ ὁ εἰπών. οἷον ὁ θεός ὁ εἰπών· τί εἴπομεν· τὸ πο μικρόν· τὸ συμβουλευτικὸν μέγα.

Εἶπον· ῥῆμα προστακτικόν· τὸ θέμα ἔπω τὸ λέγω· ὁ ἀόριστος εἶπα· καὶ ἔστι σεσημειωμένον· τὸ τρίτον εἶπε· τὸ προστακτικὸν εἴπ . . . εἴπατε· εἰπαίτωσαν. ἰουδαῖοι.

Εἶπεν· ἐπὶ δύο· ἐπὶ λεχθῆναι ἐπὶ πλειόνων.

Εἶρα· ἡ ἐκκλησία· παρὰ τὸ εἴρω τὸ λέγω.

Εἰραφίωτης· ὄνομα ἐπίθετον ἀπὸ τοῦ ἐρράφθαι, ἐρραφιώτης· καὶ εἰραφιώτης· προσέλθοντος τοῦ ῑ· καὶ ἀποβληθέντος τοῦ ἑνὸς ρ̄· εἰραφιώτης· δὲ λέγεται ὁ Διόνυσος· ἀπὸ τοῦ ἐρράφθαι ἐν τῷ μηρῷ τοῦ διός· ἢ ἀπὸ τοῦ ἐρέφεσθαι τοῦ σημαίνοντος τὸ στεφανοῦσθαι γέγονεν εἰραφιώτης· πλεονασμῷ τοῦ ῑ· ἢ παρὰ τὸ ἔριφος· καὶ γὰρ ὑπὸ ἐρίφων φησίν —

ἀνατραφῆναι τὸν διόνυσον. ἢ παρὰ τὸ ἐρίω αὐτὸν πλέκεσθαι.

Εἰραφιώτης. ὁ Διόνυσος. ἀπὸ τοῦ ἐράφ-θαι ἐν τῷ μηρῷ τοῦ διός. γέγονεν ἐρρα-φιώτης. καὶ τροπῇ τοῦ ἑνὸς συμφώνου ἤτοι τοῦ ρ̄. εἰς ῑ. εἰραφιώτης. ὡς κέρρω κείρω. καὶ φθέρω. φείρω. λέμβω. λείβω. καὶ ἔμμι. εἰμί.

Εἰραφιώτης. ἐπιθετικῶς ὁ Διόνυσος. ὡς ἐν τῷ μηρῷ τοῦ διὸς ῥαφείς. γέγονε δὲ παρὰ τὸ ἐρέφω. τὸ στεφανῶ. το γὰρ κισσῶ - - - ἢ ἀπὸ τοῦ ἐρράφθαι τῷ μηρῷ τοῦ διός. ἢ παρὰ τὴν ἐρέφαν τροφὸν αὐτοῦ γενομένην. ἢ παρὰ τὸ ἐρίφω αὐτὸν συνανατραφῆναι.

Εἴρετο. ἐστι παρατατικοῦ παθητικοῦ τρίτου προσώπου τῶν ἑνικῶν. οὗ τὸ θέ-μα εἴρω. τὸ σημαίνω τὸ λέγω. ἐντεῦθεν γέγονεν τὸ εἴρω τὸ κύριον ὄνομα, καὶ μειράκιον τὸ ἐπιτήδιον τοῦ λαβεῖν τρανῶς.

Εἴργω κωλύω. ἀπὸ τοῦ ἀργεῖν. ἀπὸ τοῦ ἔεργω γέγονε. κατὰ κρᾶσιν τῶν δυο ε̄ εἰς τὴν εῑ δίφθογγον. ἢ ἐπειδὴ ἀντιπαρακεῖται τῇ ὀργῇ. ἢ γὰρ ὀργῇ. ἔργει τινὰ τοῦ καλῶς βουλεύεσθαι —

ἄρκιος· καὶ ἄρκιον· καὶ ἄρκις· καὶ ἑκάερ-
-γος· καὶ ὅρκος καὶ ἕλκω·

Εἴρειν· εἰς τὸ ἔρως· καὶ ἴρις·

Εἴρερος· ἡ δουλεῖα· παρὰ τὴν γῆν· ἢ περὶ
τὴν γῆν δουλεῖα· ἢ παρὰ τὸ ἔριον· ἔρος· καὶ
ἐν διπλασιασμῷ τοῦ ρ̄· ἔρερος· καὶ εἴρερος·
ἢ παρὰ τὸ τείρω τείρερος καὶ ἀποβολὴ
τοῦ τ̄· εἴρερος· ἢ παρὰ τὸ εἴρω τὸ λέγω·
εἴρερος· καὶ κατὰ διπλασιασμὸν καὶ κατὰ
ἀντίφρασιν· ὁ παραιτούμενος τὸ λέγειν
μετὰ παρρησίας· δεδιπλασίαται δὲ ὡς
τρόμος· τέτρομος· κραυμός· κέκραυμος·
ἢ παρὰ τὸ ἔργειν καὶ τὸ εἴρειν· εἴργερος·
ὁ εἴρων· δούλων γὰρ οὐκ ἔστι τὸ παρρησιά-
-ζεσθαι· ἢ παρὰ τὸ ἔρρειν ἔρρερος· καὶ
εἴρερος·

Εἴρερος· ἡ δουλεῖα· ἡ εἴργουσα· ἡ ἔρια
ποιοῦσα ἐργάζεσθαι·

Εἴρερος· ἡ δουλεῖα· παρὰ τὸ τείρειν· ἢ
ὅτι ἐρῶην τὸ λέγειν· ὅ ἐστι κωλύειν· καὶ
ἐπὶ μὲν ἀρρένων παρὰ τὸ ἔραν ἐργάζεσθαι·
ἐπὶ δὲ θηλυκῶν διὰ τὰ ἔρια·

Εἴρερος· ἡ δουλεία· παρὰ τὸ ἔρρειν καὶ
φθείρεσθαι τοὺς ἐν αὐτῇ κάμνοντας·

Εἰρεσία· καὶ σημαίνει τὴν κωπηλασίαν
παρὰ τὸ ἐρέτης· ἐρεσία· καὶ πλεονασμῷ
τοῦ ῑ· εἰρεσία·

Εἰρεσιώνη. δάφνη. ἀπὸ τοῦ αἴρεσθαι ἢ κλάδος εὐμεγέθης. ἔχων ἐξ ἐρίων λευ:κῶν στεμμάτων κολλύρας· καὶ ἰχάδας. καὶ τῶν καθαρῶν ἀκροδρύων ὁρμάθους. καλεῖται δὲ οὕτως ἀπὸ τὸ τοῖς κλάδοις ἐνῆρχθαι τὰ ἐξ αὐτῆς κρεμώμενα. ἢ ἀπὸ τῶν στεμμάτων. στέμματα γὰρ τὰ ἔρια λέγουσιν Ἀττικοί. Λυκοῦργος δὲ φησὶν ἀφορίας γενομένης Ἀθηναίοις τοῦτο ἐπι:τελεσθῆναι κατὰ χρησμόν. οἱονεὶ ἱκε:τηρίαν Ἀπόλλωνι.

Εἰρεσιώνη πλέγμα ἀπὸ ἐρίων συνανα:πεπλεγμένων κλάδω ἐλαίας. ἅπερ ἐτίθεσαν τῷ Ἀπόλλωνι γίνεται δὲ παρὰ τὸ ἔριον. πλεονασμῷ τοῦ ι. ἢ ἐκ τοῦ ἐρέφεσθαι τὸ σκέπασθαι.

Εἴρω. τὸ συμπλέκω. διὰ τῆς ει διφθόγ:γου. διότι ἀνεφάνη. τὸ ε ἐν τῷ εἱρμός. ὁμοίως τὸ εἴρω τὸ λέγω διὰ τῆς ει διφθόγγου καὶ αὐτο.

Εἰροκόμω. ἐρίων ἐπιμελουμένη. ἐριουρ:γῶ. εἴρια γὰρ τὰ ἔρια.

Εἰροπόκως. ἐρίων πόκους ἔχουσαν. πόκοι δὲ εἴρωται παρὰ τὸ πείκειν. ὅ ἐστι ξέ.

Εἴρεψα. ἐρέφω τὸ στεφανῶ. ἰωνικὸν ἔτρεψα καὶ ἔρεψα.

Εἰρήνη. παρὰ τὸ ἠρεμεῖν τὸν νοῦν.

Εἰρήνη. παρὰ τὸ εἴρειν καὶ λέγειν ἐν αὐτῇ. εἴπερ ἄρης ὁ πόλεμος. κατὰ στέρησιν τῆς ῥήσεως λέγεται. ἢ παρὰ τὸ ἐρῶ. ὅ ἐστι διαλέγομαι. καὶ τὸν ῥήσω μέλλοντα. ἢ διὰ τὸ ἠρεμεῖν τὸν νοῦν.

Εἰρῆσθαι. ῥῆμα. ἀπαρεμφάτου. λέγεσθαι. ἐκ τοῦ ἐρῶ. ἐρήσω. ὁ παρακείμενος εἴρη-κα. ὁ παθητικὸς εἴρησμαι. τὸ δεύτερον εἴρησαι. τὸ τρίτον εἴρησται. καὶ τὸ ἀπα-ρέμφατον εἰρῆσθαι.

Εἰρηνόδωτος. ὁ τὴν εἰρήνην διδοῦς

Εἰρηρῶ. τὸ εἰρηνοποιῶ. μεσίτης. ὁ εἰρη-νοποιός.

Εἴρια. ποκάρια μαλίων. ἀπὸ τοῦ ἔριον γέγονεν ἐέρια κατὰ πλεονασμὸν τοῦ ι.

Εἱρκτή. φυλακή. ἐκ τοῦ εἴργω τὸ κολύω. οὗ ὁ μέλλων εἴρξω καὶ εἱρκτή.

Εἰρόκομοι. ἐκ τοῦ εἶρος ὁ σημαίνει τὸ ἔριον — ἰοδνοφεὲς εἶρος ἔχουσα.

γίνεται ἐκ τοῦ ἔρρω τὸ κάμνω ἔρρης. καὶ τροπῇ τοῦ ἀμεταβόλου ρ εἰς ι. εἴρις. ὁ μετὰ ταλαιπωρίας ἐργαζόμενος. τὰ δὲ ἀπὸ —

ῥήματος παρηγμένα σύνθετα. πρὸ μίας
ἔχουσι τὸν τόνον. εἰ δὲ ἀπὸ ὀνόματος,
προπαροξύνεται. οἷον ἱππόκομος. εἰρόκομος.
γίνεται δὲ ἐκ τοῦ εἶρος. καὶ τοῦ κομῶ
τὸ ἐπιμελοῦμαι. ἢ τοῖς ἐρίοις ἐπιμε-
-λουμένη.

Εἴρωνα. εἰς τὸ εἰρωνεύεσθαι.

Εἰρόποκος. ἢ τὰ ἔρια ξένουσα. παρὰ τὸ
ἔριν καὶ τὸ πέκω τὸ ξαίνω γέγονεν ἐρω-
-πεκος. καὶ ἐριόποκος. καὶ πλεονασμῶ τοῦ
ι καὶ συγκοπῇ. εἰρόποκος.

Εἶρος. εἰς τὸ εἰρόκομος καὶ εἰρωνεύεσθαι.

Εἴρσω. εἰς τὸ ἄερσε. ὅμηρος.

Εἰρύσασθαι. ἑλκύσειν μέσου ἀορίστου πρώτου.
παθητικοῦ ἀπαρεμφάτου. τὸ θέμα, ἐρύω.
ἐρύσασθαι καὶ ἰωνικὸς πλεονασμὸς εἰρύσασθαι
δεῖ γινώσκειν ὅτι ὥσπερ γέγονεν ἀρτύω ἐκ
τοῦ ἀρτῶ κατὰ πλεονασμὸν τοῦ υ. καὶ
ἀπὸ τοῦ μνῶ. μνείαω. καὶ πλεονασμῶ τοῦ
η. μηνύω. οὕτω καὶ τὸ ἐρύω. παρὰ τὸ
ῥῶ. ὃ σημαίνει τὸ ἰσχύω. ἐπενθέσει τοῦ
υ. ῥύω. καὶ κατὰ πλεονασμὸν τοῦ ε ἐρύω.
ἢ δυνάμει ἑλκύω. ἢ παρὰ τὸ ἐρῶ τὸ
λέγω. ἐρύω. ἐρύσω. ἐρύσασθαι. πλεονασμῶ
τοῦ ι εἰρύσασθαι.

Εἰρυκέναι· τὸ ξίφος· ἐκ τοῦ ἐρύω τὸ ἑλ-
-κω.

Εἰρύαται· ἑλκυσμέναι εἰσίν.

Εἰρύειν· τὸ βιαίως ἐνεργεῖν· ἀπὸ τοῦ
ἔργασθαι γὰρ λαὸς τὸ παράγωγον.

Εἶρψεν· εἰς τὸ ἐξῆρψεν.

Ἔρω· ὃ σημαίνει τὸ λέγω· ἀπὸ τοῦ μέλ-
-λοντος ἐρῶ γέγονεν· καὶ εἰς τὸ ἐνείρω.
καὶ ἔνερσε· καὶ ἐρέθη· καὶ ἔρις· καὶ θέρμη.
καὶ κηρίον· καὶ μειράκιον· καὶ ὅρμος· καὶ
σει - - - - καὶ σειρά· καὶ σείρειν καὶ
σείρα· καὶ τήρεις· καὶ τέρης.

Εἴρω ὅτε μὲν ψιλοῦται· σημαίνει τὸ λέγω.
ὅτε δὲ δασύνεται, σημαίνει τὸ συνάπτω.
καὶ συμπλέκω.

Εἰρωνεύεσθαι· ψευδολογεῖν· χλευάζειν· ὑπο-
-κρίνεσθαι παρὰ τὸ εἴρωνος· εἰρωνεύεω.
τὸ δὲ εἴρων· παρὰ τὸ εἴρω· ὃ σημαίνει
τὸ λέγω· ἐξ οὗ καὶ εἴρος· ὃ σημαίνει
τὸν φλύαρον καὶ πτωχόν· συντάσσεται δὲ
μετὰ αἰτιατικῆς.

Τὸ εἴρω σημαίνει δ̅α̅· εἴρω· τὸ τύπτω.
ἐξ οὗ καὶ εἴρειν ἐστι τὸ τύπτειν· εἴρω τὸ
λέγω· ἐξ οὗ καὶ εἰρήνη καὶ εἰρωνεία· εἴρω
τὸ συμπλέκω ἐξ οὗ καὶ εἱρμός· εἴρω τὸ
κουφίζω· ἐξ οὗ καὶ ἀειρόμενος ὃ κουφιζόμενος.

Σημ. τὸ εἴρω
πο σ

Εἰς ἄυραν· εἰς πρόθεσις· ἄυρα ὄνομα.
γίνεται παρὰ τὸ ἀΰω τὸ πνέω· νοῦ δὲ
σημαίνει τὴν γαλήνην.

Εἰς πρόθεσις· εἰς τὸ πρόυρα.

Εἷς· παρὰ τὴν ἕησιν καὶ ἄφεσιν τοῦ με-
-μονομένου ἀριθμοῦ, ἢ παρὰ τὸ ἀπολελυ-
-μένον.

Εἷς περισπᾶται διοτὶ μονοσύλλαβον ἐστί.
τὰ δὲ μονοσύλλαβα ἢ ὀξύνονται ἢ περισπῶν-
-ται· διατὶ τὸ εἷς περισπᾶται καὶ οὐκ
ὀξύνεται· ἵνα μὴ ἀναδέξηται οὐδετέρου
παραχηματισμόν· καὶ διὰ τί οὐ βαρύνε-
-ται· ἐπειδὴ οὐδὲν μονοσύλλαβον κατ'
ἰδίαν βαρύνεται· διφορεῖται δὲ τὸ εἷς
διὰ τῆς εἰ διφθόγγου καὶ διὰ τοῦ ῃ πα-
-ρὰ Δωριεῦσιν· ὡς τὸ χαρίεις χαρίης.
εἷς περισπᾶται· τὰ εἰς εἷς ὀνόματα
κοινολεκτούμενα ἔχοντα οὐδέτερον παρα-
-χηματισμόν· ἀποστρέφονται τὴν ὀξεῖαν
τάσιν· ὀνόματα εἶπε διὰ τὰς μετοχάς.
οἷον τυφθείς· κοινολεκτούμενα εἶπε.
διὰ τὸ εὐγενὴς καὶ εὐσεβής· οἱ γὰρ Βοιω-
-τοὶ διὰ τῆς εἰ διφθόγγου γράφουσιν οὐδέ-
-τερον παραχηματισμὸν ἔχοντα. διὰ τὸ
χαρίεις χαρίεντος· τιμήεις τιμήεντος.
ὀξύνεσθαι οὐκ ὠφειλεδιὰ τὸν κανόνα

τοῦτον βαρυνθεῖται οὐκ ὤφειλε. διότι τὰ
μονοσύλλαβα ἢ ὀξύνονται ἢ περισπῶνται.
οὐδέποτε δὲ βαρύνονται, ἐξ ἀνάγκης
περιεσπάσθη. γίνεται δὲ παρὰ τὸ ἔσιν καὶ
ἄφεσιν τὸ ἀπολελυμένον καὶ μεμονόμενον.
ὅ καὶ. τὰ εἰς εῖς ὑπὲρ μίαν συλλαβὴν
διὰ τοῦ ν̄ τ̄. κλίνεται. χαρίεις. χαρίεντος.
τὸ δὲ εἰς ὦς μονοσύλλαβον ὄν. οὐκ ἐκλί:
:θη. διὰ τοῦ ν̄. τ̄. ἀλλὰ διὰ τοῦ ν̄ μόνου.
εἷς ἑνός. καὶ ἄλλως. τὰ εἰς εῖς μονοσύλ:
:λαβα ὀνόματα ἔχοντα οὐδέτερον παραχη:
:ματισμόν διὰ τοῦ ν̄ τ̄ κλίνεται.
ἢ τὰ εἰς εῖς πρωτοσύλλαβα. ὀνόματα
ἀρσενικά. διὰ τοῦ ν̄ος κλίνεται. οἷον.
κτὶς. κτενός. δεὶς. δαός. εἷς. ἑνός. ὅ παρὶ:
:σοδυναμοῖ τῷ τὶς. ὅπερ μετὰ τῆς οὐ
οὐδεὶς. καὶ μετὰ τῆς μη̄. μηδεὶς. πρόσ:
:κειται μονοσύλλαβα, διὰ τὰς ὑπὲρ δύο
συλλαβάς. οἷον χαρίεις. χαρίεντος. πρόσ:
:κειται ὀνόματα, διὰ τὰς μονοσυλλάβους
μετοχάς. αὗται γάρ, διὰ τοῦ ν̄. τ̄
κλίνονται. οἷον θεὶς. θέντος. εἰς ἕντος.
ἐξ οὗ καὶ ἀφεὶς, ἀφέντος. ὅ ἀπολύσας.
προσκεῖται ἀρσενικά, διὰ τοῦ κλεῖς. κλειδός.
θηλυκά. ὁ εἷς. καὶ τὸ θηλυκὸν ἀπέλυψε.
δύο γὰρ κανόνες εἰσὶν οἱ μαχόμενοι ἀλλήλοις.

ὁ μὲν εἷς λέγει ὅτι οἱ ἀριθμοὶ κοινοὶ
δυλουδὶν εἶναι· οἷον· αἱ δύο· καὶ οἱ δύο·
οἱ τρεῖς καὶ αἱ τρεῖς· ἢ οὕτως τὰ ἀριθμη-
τικὰ ὀνόματα κοινὰ εἶδι τῶ γένει· καὶ
ὁμοφωνοῦδι τὰ δυλικὰ τοῖς ἀρδενικοῖς·
οἷον οἱ πέντε· καὶ αἱ πέντε· οἱ ἕπτα καὶ
αἱ ἕπτα· οὕτως ὠφιλε καὶ τὸ δυλικὸν
ὁμοφωνεῖδαι τῶ ἀρδενικῶ· ὁ δὲ ἕτερος
λέγει· ὅτι πᾶδα γενικὴ διὰ τοῦ ν· τ·
κλινομένη τὸ τέλος τῆς γενικῆς· τρέφαδα
εἰς ᾱ· τὸ δυλικὸν ποιεῖ καὶ τὴν παραλή-
γουδαν δύδει μακρὰν ποιοῦδαν ἐπ' ὀνομά-
των· οἷον χαρίεντος χαρίεδδα· εἷς· ἕν·
τος· ὠφιλεν εἶναι τὸ δυλικὸν ἕδω·
τῶν ὧν δύο κανόνων μαχομένων· τοῦ μὲν
ἑνὸς ἀπαιτοῦντος ὁμοφωνεῖδαι τῶ ἀρδενι-
κῶ· τοῦ δὲ κατὰ σχηματισμὸν ἀπέλιψε·
καὶ ἐγένετο ὡς ἀπὸ τοῦ οἷος ἀρδενικοῦ
ὁ δηλαδὴ τὸν μόνον· καὶ ὁ ποιητὴς

οἱ μὲν πάντες ἰωνικὸν ἡματὰ ἴδος εἶδω·
τὸ δυλικὸν ἴα καὶ πλεοναδμῶ μ· μία·
καὶ κλίνεται· ἡ μία· τῆς μιᾶς· καὶ λέγει
ὁ κανὼν περὶ τὸν τόνον· τὸ γὰρ μίας καὶ
ἵας· ἰωνικὴν ἔχει τάξιν· ἐπειδὴ κανών
ἐστιν ὁ λέγων· περὶ τῶν εἰς ᾱ βραχυκαταλήκτων·

εἰώθασιν οἱ ἰώνες· βαρύνειν τὰς λέξεις.
ὡς καὶ ἡμεῖς· οἷον ὀργυία· ὀργυία· πλε:
:τεία· θεσπεία· ὅταν δὲ γένηται ἡ τελευ:
:ταῖα συλλαβὴ μακρὰ ἰωνικῶς ἔθει κατα:
:βιβάζεται ὁ τόνος· οἷον ἀγυιά· ὀργυία·
θεσπειά· τοῦτο οὖν ἐστι τὸ εἰρημένω
τῶ τεχνίτη· τὸ γὰρ μιᾶς· καὶ ἰᾶς· ἐπειδὴ
οὖν τὸ μία καὶ ἰά· ἐν τῇ γενικῇ καὶ δο:
:τικῇ μακροκαταληκτεῖ· τοῦτον χάριν
τῶ ἰωνικῶ ἔθει κατεβίβασε τὸν τόνον,
καὶ περιεσπάσθη· οἷον ἰᾶς· ἰά· μιᾶ· μιᾶς·
ὅθεν καὶ ἡ αἰτιατικὴ· ἐπειδὴ οὐκ ἐγέ:
:το· μακροκατάληκτος οὐ κατεβίβασε
τὸν τόνον· ἀλλὰ παροξύνεται ὁμοίως τῇ
εὐθείᾳ· οἷον ἴαν· καὶ μίαν·

Κατὰ πόσους τρόπους διαφέρει τὸ εἷς τοῦ
οὐδείς· κατὰ τέσσαρας· πρῶτον ὅτι τὸ
μὲν εἷς· δασύνεται καὶ περισπᾶται, τὸ
δὲ οὐδεὶς οὔτε δασύνεται οὔτε περισπᾶ:
:ται· δεύτερον ὅτι τὸ μὲν εἷς· ἀριθμητι:
:κόν ἐστιν· τὸ δὲ οὐδεὶς ἀόριστον· τρίτον
ὅτι τὸ μὲν εἷς οὔτε δυϊκὸν οὔτε πλη:
:θυντικόν· τὸ δὲ οὐδεὶς ἔχει δυϊκὸν
καὶ πληθυντικόν· οἷον οὐδένες τῶν οὐ:
:δενῶν· τέταρτον ὅτι ὁ μὲν εἷς καὶ τὸ

θηλυκόν μία. τὸ δὲ οὐδεὶς ὁμωφώνον. ἢ οὐδεὶς γάρ.

Εἷς. διὰ τῆς ει διφθόγγου τὸ ὄνομα. τὰ γὰρ εἰς εῖς ἔχοντα οὐδέτερον εἰς εν. διὰ τῆς ει διφθογγου γράφεται οἷον χαρίεις. χαρίεντος. ἀστερόεις ἀστερόεντος. οὕτως οὖν καὶ εἷς. ἕν. εἷς. ἡ μετοχὴ διὰ τῆς ει διφθόγγου. ἐξ οὗ καὶ ἀφεὶς. ἀφέντος. τὰ γὰρ εἰς εις ἔχοντα τὴν γενικὴν διὰ τοῦ εντος ἐκφερόμενα διὰ τῆς ει διφθογγου γράφεται. οἷον τυφθεὶς τυφθέντος. τυπεῖς τυπέντος. οὕτω καὶ εἰς ἔντος καὶ ἀφεὶς ἀφέντος.

Εἷς τὸ δεύτερον. τὸ πρῶτον εἰμί. τὸ τρίτον εἰσί.

Εἰσάμενος ὁμοιωθείς. δηλᾶ δὲ καὶ τὸ μανθάνω καὶ βλέπω. ἀπὸ τοῦ εἴδω. τοῦ σημαίνοντος τὸ ὁμοιῶ. γέγονεν εἴσω. εἰσάμην. καὶ εἰσάμενος μετοχή.

Εἴσετο. ἔδοξεν. ἐφάνη. ἐκ τοῦ εἴδω. τὸ φαίνομαι.

— τὸ δέ τοι κῆρ εἴδεται εἶναι.

ὁ μέλλων εἴσω. ὁ ἀόριστος εἴσα. καὶ ὁ μέσος εἰσάμην. καὶ τὸ ἐνεστικὸν εἰσαίμην. εἴσαιο. εἴσαιτο.

Εἴσε. σημαίνει τὸ ἐκάθισε. καὶ κατὰ τῆς κατὰ προθέσεως. καὶ τοῦ δ. κατάεισε. κάδδεισε.

Εἰσηγητής· διδάσκαλος· πρόξενος· παρὰ τὸ εἰσάγειν·

Εἰσέφρησεν· εἰσεπήδησεν· εἰσῆλθεν·

Εἰς νέωτα· ἐγράφη ἔμπροσθεν·

Εἴσῃ· γνῶσῃ· μαθήσῃ· παρὰ τὸ εἴδω· ὁ σημαίνει τὸ γινώσκω· σημαίνει δὲ τὸ εἴδω· ἡπτῶ· εἴδω τὸ γινώσκω·

μν ιδ' εἴδωσης·

——— μάλα δ' εἴσεαι αὐτός·

συντάσσεται μετὰ πτώσεως αἰτιατικῆς· εἴδω τὸ ὁμοιῶ· συντάσσεται μετὰ δοτικῆς· εἴδω τὸ θεωρῶ· συντάσσεται μετὰ πτώσε:ως αἰτιατικῆς εἴδω τὸ διέρχομαι·

——— διὰ πρόδε εἴσατο·

συντάσσεται μετὰ γενικῆς· εἴδω τὸ δοκῶ·

——— εἴσατο μὲν εἰς Λῆμνον·

μετὰ αἰτιατικῆς εἴδω τὸ φαίνομαι· αἰ:τατικὴ εἴδω τὸ ὁρμῶ· γενικὴ ὧς τό·

εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά·

Εἰσήρρισεν· εἰσεφθάρη· ἐσεπήδησεν· εἰσῆλ:θεν·

Εἶσι πορεύεται· ἐκ τοῦ εἶμι· τοῦτο παρὰ τὸ ἕω· τὸ πορεύομαι· καὶ πλεονασμῶ τοῦ ι· εἴω· καὶ ἐξ αὐτοῦ εἴομαι καὶ συγ:κοπῇ εἶμι· σημαίνει δὲ τὸ πορεύομαι· καὶ τὰ μὲν ἑνικὰ διὰ τῆς ει διφθόγγου γράφεται· τὸ δὲ πληθυντικὸν διὰ τοῦ ι·

ἀπὸ τοῦ ἴμεν. διὰ τοῦ ῑ. τὸ ἀπαρέμφατον.
ἴμεναι. ὁ κανών. ἄλλως τὲ καὶ π.
πληθυντικὸν ἐνεστῶτος χρ., τροπῇ τῆς
μεν εἰς ναι. τὸ ἀπαρέμφατον ποιεῖ.
καὶ κατὰ συγκοπὴν ἴμεν.

—— οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσι.

καὶ εἰς τὸ εἷς. ὅμηρος.

Εἴσκω. εἰκάζω. ὁμοιῶ. ἐκ τοῦ εἴδω τὸ
ὁμοιῶ. ὁ μέλλων εἴσω. καὶ πλεοναζμῶ
τοῦ η. εἰς κω. καὶ μετάγεται εἰς ἐνεστῶ-
-τα. ἐπειδὴ τὸ η οὐκ ἐστι χαρακτηριστικόν.
βαρύτονον μέλλοντος. βαρύτονον μέλλοντα
εἶπε. διὰ το πλακῶ. καὶ ἐν διαλύσει εἴσ-
-κω. το ῑ. ῑ. διατὶ. τὰ εἰς κω λήγοντα
ῥήματα κοινολεκτούμενα, οὗ θέλουσιν
ἔχειν ἐν τῇ παραληγούσῃ. τῇ νει δίφθογ-
γον ἐκφωνουμένον σὺν τῷ ῑ. μέλλοντα
οὐκ ἔχει.

Εἴρην. ὄνομα ἡλικίας. παρὰ τὸ εἴρειν
τὸ λέγειν. ὁ εἴδη λέγων καὶ δημηγορῶν.
καὶ γὰρ τὰς ἐκκλησίας ὅμηρος εἴρας
προσηγόρευσεν.

— ῥάων προπάροιθε καθήμενος.

ἵν' ἦ εἴρην ὁ αὐτὸς τῷ μειρακίῳ.
εἰς διὰ τῆς ει διφθογγου. δεῖ γινώσκειν

ὅτι τὸ εἶς. ἡ μετοχή. ἐξ οὗ τὸ ἀφείς ἀφέντος, διὰ τῆς ει διφθόγγου γεάφεται τὰ γὰρ εἰς ης ἔχοντα τὴν γενικὴν διὰ τοῦ εντος. διὰ τῆς ει διφθόγγου γεάφεται. οἷον τυφθείς. τυφθέντος. νυγείς νυγέντος. δαρείς δαρέντος.

Ἐκωκυδε. καὶ ἐκόκυδε διαφέρει. ἐκωκυδε μὲν γὰρ τὸ ἐθρήνυδεν ἐν ᾅδου. ἐκόκυδε δὲ ἐπὶ ὀρνέου. ἐξ οὗ καὶ κόκυξ.

Ἐσιακότες. ἐκ τοῦ ἑσία. ὃ σημαίνει τὴν οἰκίαν.

Εἰσήκειν διὰ τῆς ει. περὶ δὲ τῆς ἀρχουδης ὁ λόγος. κατὰ δὲ τὴν λήγουδαν. ὥδπερ ὁ ὑπερδυντέλικος ἐνεστῶς καὶ ὁ μέλλοδος. οἷον ἐτετύφειν. ἐπεποιήκειν. ἐγεγράφειν. ἐνενοήκειν ἐλελοίπειν. καὶ εἴ τι ὅμοιον. κατὰ δὲ τὴν ἀρχουδαν διὰ τῆς ει διφθόγγου. ἐπειδὴ ἀπὸ τοῦ ἑσήκα γέγονεν εἰσήκειν. ὥδπερ καὶ ἀπὸ τοῦ ἐσάλπικα καὶ ἐσάλπειν καὶ πλεοναδμῷ τοῦ ῑ εἰσήκειν. ἐπλεόνασε δὲ τὸ ῑ. δι' αἰτίαν τοιαύτην. ἔστιν ὁ ἀνεστῶς. ἑστήκω. ἑστήκεις. ἑστήκει. ἐξ οὗ καὶ ἑστήξω ὁ μέλλων. καὶ ὅποι ἑστήξειν δὲ τὸ τοῖχος. ἐπ' ἀρχαίοιδι δαμελίοις. εἰ ἐγένετο ὡς ὁ ὑπερδυντέλικος ἑστήκειν ἐμελλε —

συνεμπίπτειν κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τῶν ἐνεστῶτι. τοῦτου χάριν προσλαμβάνει τὸ ῑ· ἵνα μὴ συνεμπέ=σῃ αὐτῷ.

Εἰσόκε. τρία μέρη· λόγου εἰσί. εἰς πρόθεσις καὶ το ο ἄρθρον ἀναφορικόν· καὶ τοῦ κε συνδεσμου. ὅμηρος.

Εἰσόκεν. ἕως ἂν. ἐκ τῆς εἰς προθέσεως. καὶ τοῦ ο ἄρθρου ἀναφορικοῦ. καὶ τοῦ κεν συνδέσμου. ἐστι δὲ ἐπίρρημα χρόνου δηλω=τικόν. καὶ ἀποροῦσι τινὲς. ὅτι ἐν παραθέ=σει καὶ· γὰρ ἐστὶν ὃ λέγων. τὰ εἰς ε λήγοντα ἐπιρρήματα χρονικὰ· θέλουσιν ἔχειν πρὸ τοῦ α· το τ· ἐνίοτε. ἐνίοτε. ἑκάστοτε. ἄλλοτε· καὶ ὅτι οὐ δήποτε. ὃ κεν σύνδεσμος. κατ' ἀρχὴν συντίθεται. ἔνιοι δὲ λέγουσιν ὅτι ἐν συνθέσει εἰσίν. οὐδέποτε γὰρ τοῦτο τὸ ἐπίρρημα χωρὶς τοῦ κεν συνδέσμου παραλαμβάνεται.

Εἰσόκεν ἢ ὑμεῖς Τροίην εὔπυργον ἕλοιτε. καὶ εἰσόκεν ἢ ἄλοχον ποιήσετε· ἐστὶ δὲ εἰπεῖν. ὅτι αἱ προθέσεις παρατι=θέμεναι τοῖς ὀνόμασιν ἐννοῖαν ἔχουσι τοπικὴν ποιοῦσαν τὰς σχέσεις. οἷον οἴκοι.

οἴκον· ἐς οἶκον· τὸν αὐτὸν τρόπον τὰ ἄρ-
-θρα συμαινόμενα τὴν ἀναφοράν· ἡ δὲ
ἀναφορα· ἐν τῷ χρόνῳ οὖσα καὶ λάβουσα
τὴν παράθεσιν τῆς προθέσεως ποιεῖ χέ-
-σιν χρονικὴν ὃ· ἐξ οὗ· ὦ· ἐν ὦ· ὃν οὖν
τρόπον τὸ ἐξ οἴκου ὅτε ἀποστὴ τὸ ἕτερον
τοῦ ἑτέρου· ἐκστήσεται καὶ τὸ συμαίνον.

Εἴσπυλος· εἰς τὸ αἴτης.

Εἰστήκειν· ἱστάμην· ὑπερσυντέλικος ἐστὶν
ἐνεργητικῶς· ἐπλεόνασε δὲ τὸ ἰδιὰ το-
-ιαύτην αἰτίαν· ἐστὶν ὃ ἐνεστῶς ἑστήκω· ἑστή-
-κεις· ἑστήκει· ἐξ οὗ ὃ ἑστήξω· μέλλων.
ἐγένετο οὖν ὃ ὑπερσυντέλικος ἑστήκειν.
ἑστήκεις· ἑστήκει· ἔμελλε συνεμπίπτειν κατὰ
τὸ δεύτερον καὶ τρίτον πρόσωπον τὸ
δευτέρω καὶ τρίτω προσώπω τοῦ ἐνεστῶ-
-τος· φημὶ δὴ τὸ ἑστήκεις· ἑστήκει· τοῦτο
ἀπὸ τοῦ ἑστήκω· τοῦτον χάριν οὖν προσ-
-λαμβάνει τὸ ι· καὶ γίνεται εἱστήκειν εἱστή-
-κεις· εἱστήκει·

Εἰσφορὰ· εἰς τὸ ἀποφορὰ·

Εἴσω· ἔσω· ἐκ τῆς εἰς προθέσεως· ὡς
παρὰ τὸ ἐξ· ἔξω καὶ εἶ Ἀττικῶς· ἐξ
οὗ καὶ τὸ ἔσω· ἢ ὡς ἀπὸ τῆς ἐξ· προ-
-θέσεως γέγονεν ἔξω· καὶ ἀπὸ τῆς πρὸ πρόσω.
οὕτω καὶ ἀπὸ τῆς εἰς εἴσω καὶ εἰς τὸ ἤδει.

Εἶτα. ὥδπερ παρὰ τὸ δύ· γέγονε δῦτα
οὕτω καὶ παρὰ τὸ εἰ γέγονεν εἶτα. καὶ
πλεοναδμῶ τῆς τᾶ δυλλαβῆς. ἐστι δὲ
ἐπίρρημα τάξεως.

Εἶτα δωδεκάμος. τακτικός. καὶ ἀριθμη-
τικός.

Εἶτα ἐπίρρημα· τάξεως. γίνεται δὲ ἐκ
τοῦ εἰ διαζευκτικοῦ καὶ ἐπεκτάσει τῆς
τᾶ δυλλαβῆς. ὥδπερ καὶ παρὰ τοῦ παρα-
πλεωματικοῦ δυνδεκάμου γίνεται δῦτα.

Εἴτω ἰσῶ. προσακτικὸν ἐκ τοῦ εἰμί·
τὸ ὑπαρ. ὁ παρατατικὸς ἦν. ἢ μετοχὴ
εἰς. ἐντος. καὶ τὸ προσακτικὸν ἔστω.
τὸ τρίτον ἔτω. καὶ πλεοναδμῶ τοῦ σ
ἔσω.



εἷς κόρανος ἔσω

εἷς βασιλεύς

κατὰ πόδους τρόπους διαφέρει τὸ εἷς
τοῦ δυσίς. ἐγράφη εἷς τὸ εἷς.

Εἶχον· εἷς τὸ εἰμί.

Εἴωμεν· γράφεται καὶ διὰ διφθόγγου
καὶ διὰ τοῦ ι· τὸ μὲν γὰρ διὰ τοῦ ι.
τοῦτου ὁ δωρικὸς ἀόριστος ἦον· τὸ ι. ι.
ἔτι δὲ καὶ ἀπὸ μὲν βαρυτόνων ῥημάτων
ἀεὶ βραχεῖα παραλήγεται ὁ δωρικὸς

ἀόριστος· τὸ ὑποτακτικὸν ἐὰν ἰῶ· τὸ πληθυντικὸν ἐὰν ἴωμεν καὶ ποιητικῶς ἴομεν· τὸ ō μικρὸν διατί· καὶ λέγεται ὅτι σχῆμα ἐστι κορίνθιον καὶ εἰς τὸ ἀμφιέσοιται· καὶ ἀπρόβιτον καὶ ἤϊε· ἠών.

Εἴωθα· ὁ μὲν παρακείμενος εἶθα· καὶ πλεονασμῶ τοῦ ῶ εἴωθα.

Εἴωθα· διὰ τῆς εῖ διφθόγγου· ἀνεφάνη γὰρ τὸ ε· ἐν τῶ ἔθος· καὶ ἐν τῶ ἔωθα· οἱ γὰρ Αἰολεῖς τὸ εἰώθα· ἔωθα λέγουσι· γέγονε δὲ παρὰ τὸ ἔθω· τὸ ἐξ ἔθους τι διαπράττω· ἐξ οὗ τὸ ἔθων οἰκὸς ἀλοῆς.

Εἴωθα ὅτι ἀνεφάνη τὸ ε· ἐν τῶ ἔωθα· οἱ γὰρ Αἰολεῖς τὸ εἴωθα λέγουσιν ἔωθα· γίνεται παρὰ τὸ ἔθω τὸ ἐξ ἔθος τι διαπράττομαι· ὁ μέλλων ἔσω· ὁ παρακείμενος ἦκα· ὁ μέσος παρακείμενος ἦθα· καὶ πλεονασμῶ τοῦ ῶ εἴωθα· καὶ συνάρχεται ἔωθα· καὶ ἡ μετοχὴ ὁ εἰθῶς· ὁ ἐνεργητικός τε καὶ μέσος παρακείμενος· τρέπει τὸ ᾱ· καὶ εἰς τὸ ἀπαιωρημένος.

Εἰῶσι· συγχωρῶσι· ῥῆμα τὸ εῖ δίφθογγον· ἔστιν ἐάω· ἐῶ· ἐῶ· συγχωρῶ συζυγίας δευτέρας τῶν περισπωμένων·

ἐάομεν. ἐῶμεν. ἐαουσιν ἐῶσιν. καὶ πλεο-
:νασμῶ τοῦ ῑ. εἰῶσιν.

Ἐκάλη. ἡ πρὸς ἑαυτὴν καλοῦσα. ἔχει
γὰρ στέγος ἀκλήϊστον.

Ἑκατομβαῖος. οἱ μὲν πολύτιμος καὶ μεγα-
λότιμος. οἱ δὲ περισσὸς τῇ μῖα ἀπὸ τῆς
βοὸς. πρὸς γὰρ τοὺς βοῦς. τὰ ὤνια ἦν
ὧς ἐπιλέβητοι. τῶν δὲ δυοδεκάβοιον.
τινὲς δὲ ὅτι ἐν ἑκατομβίῳ μηνὶ πολλὰς
θυσίας ἐποίουν Ἀθηναίοις. × ×

τὸ κεῖ. δίφθογγον. κατὰ διάλεκτον. ἐπεὶ οἱ Δωριεῖς. ἐκῆνος λέγοντες διὰ τοῦ η. ὡς πλεῖον. πλῆον. μεῖον μῆον. καὶ ἐκείνοθεν καὶ κατὰ συγκοπὴν ἐκεῖθεν.

Διατί περισπᾶται. αἱ συγκοπτόμεναι ἡνίκα φυλάττουσι τὸ αὐτὸ μέρος τοῦ λόγου εἰς τὸν αὐτὸν τόνον φυλάττουσιν. οἷον δῶμεν. δῶ. καὶ εἰς τὸ κεῖνος.

Ἐκεῖνος ἀντ παρὰ τὴ προσώπου τῶν ἐνικῶν πτώσεως εὐθείας παρὰ τὸ ἑκὰς ἐπίρρη:μα.

Ἐκεχειρία. ἀνάπαυσις. ἀνοχή. κυρίως ἐπὶ πολέμου. παρὰ τὸ ἔχω ῥῆμα. καὶ τὸ χεῖρ γίνεται ἐχεχείρια. καὶ τροπῇ τοῦ χ εἰς κ. συντάσσεται δὲ τὸ ἔχω μετὰ αἰτιατικῆς καὶ δοτικῆς.

Ἑκηβόλος. ὁ μακροβόλος. ἑκὰς δὲ σημαίνει τὸ πόρρω. καὶ τὸ ἥκω τὸ παραγίνομαι. πόρρωθεν γάρ τις παραγίνεται. ἐξ οὗ καὶ δασύνεται τὸ ἑκὰς καὶ τὸ ἥκων.

Ἑκατόμβη. θυσία. τὸ μὲν ἑκατὸν σημαίνει τὸ μέγα καὶ πολύ. τὸ δὲ βοϊὸν τὸ τίμιον. ὡς καὶ ἐπὶ τῶν παρθένων τὸ ἀλφεσίβοιαι.

λέγεται δὲ ἑκατόμβη. οὐχ ἡ ἑκατὸν βοῶν, ἀλλὰ καὶ τὴν ἐξ ἄλλω ἱερῶν.

Ἀμνῶν προτογόνων ῥέξειν κλητὴν ἑκατόμβην.

Ἐκρεμάσαμεν. ἐκ τοῦ κρεμῶ ἆ συζυγίας τῶν περισπωμένων. ἔστι δὲ καὶ κρέμημαι. ἐξ οὗ καὶ τὸ ἐκρεμάσαμεν. ὑψόθεν. γίνεται δὲ ἐκ τοῦ ἐκρεμάμην ἐκρέματο. ἀποβολὴ τοῦ σ̄. ἔκρεμας. καὶ κρᾶσει ἐκρέμω.

Ἐκίσσησεν. ἔστι κύω. σημαίνει τὸ πορεύο:μαι. καὶ ἐξ αὐτοῦ κίσσα ὄρνις. ἡ εἰς πᾶν βρῶμα ἐπιπορευομένη. καὶ ἐξ αὐτοῦ ῥῆμα ἀΐσσω. ἀϊσσεῖς. σημαίνει δὲ τὸ μεθ' ἡδονῆς συλλαμβάνω. τὸν αὐτὸν τρόπον αἱ συλλαμ:βάνουσαι γυναῖκες πάντα ἐαθίουσιν.

Ἐκίσσησε τὸ θέμα κίσσω. γίνεται δὲ παρὰ τὸ κίσσα. ἐπειδὴ τὸ ὄρνεον λίχνον ἐστὶ πρὸς τὰς συνουσίας. καὶ πρὸς ἡδονὰς κατοφερές. ἐτυμολογεῖται δὲ παρὰ τὸ κύειν καὶ μετὰ σφοδρότητος σεύεσθαι. ἤγουν διώκειν πρὸς τὸ συνουσιάζειν. ἐκ τοῦ κίττα λέγουσιν. ὅταν ἐν γαστρὶ ἔχουσα γυνὴ περὶ τὸν δεύ:τερον καὶ τρίτον μῆνα ὀρέγεται ἄτοπον δείπνον. οἷον ὄστρακα ἢ λίθον. ἢ ὄμφα:κας. γίνεται δὲ ἀπὸ τῶν μοχθηρῶν τῆς

μήτρας ἀτμῶν φερομένων· ἐπὶ τὸν στόμαχον.

Πόθεν ἐκκλησία· παρὰ τὸ κλῶ· κλήσω· κλη:σία· καὶ μετὰ τῆς ἐκ προθέσεως ἐκκλησία.

Ἐκκλησία· διὰ τὸ ἐκκλησιάζεσθαι ἤγουν συνάγεσθαι· ἐκκλησία γὰρ ἡ συναγωγὴ καὶ βουλὴ τῶν ἀνδρῶν· ἢ διὰ τὸ ἐκλελεγμέ:νον εἰς ἕν.

Ἐκκλησία· ἐκ τοῦ καλῶ· καλέσω· καλεσία· καὶ ἐκκλησία· ἐκκλησία· συνοδοῦ διαφέρει.

Ἐκκλησία μέν ἐστιν ἐν ᾗ πάντες ἐκεῖσε ἄνδρες μόνοι εἰσέρχονται διὰ βουλήν· συνο:δος δὲ ἐν ᾗ καὶ ἄνδρες καὶ γυναῖκες συνέρ:χονται διάτι.

Ἐκκλησιάσας· συναθροίσος· συναγωγὴν πο:ήσας· καὶ παρὰ Ἀθηναίοις ἡ ἐκκλησία τὸ ἄθροισμα, παρὰ τὸ πεπυκνῶσθαι τοὺς συνερχομένους ἐν αὐτῇ.

Ἔκριζον· ἀπὸ ῥίζων τὴν ἁμαρτίαν κατα:βάλλων· ἐπιρρηματικὸν δέ.

Ἐκκενοῦται· ἐκ τοῦ κενῶ· τοῦτο παρὰ τὸ χέω· χενός· καὶ κενός.

Ἐκριθέν· εἰς τὸ κρίμα.

Ἐκλαυξεν· εἰς τὸ κλαυγίδην· ὅ ψυ.

Ἔκλαγξαν. ἐκ τοῦ κλάζω. κλάξω. πλεονασ:μῶ τοῦ γ κλάγξω. ὥσπερ πλάζω πλάξω. καὶ πλάγξω. λίζω. λίγξω. εἴωθεν ὁ ποιητής. ἐπὶ τῶν τοιούτων προσλαμβάνειν ἐπὶ τοῦ μέλλοντος τὸ γ.

Ἐκλογεῖον. ἡ ἐκλογάς.

Ἐκμαγεῖον. τὸ ἀντίτυπον.

Ἐκμαγεῖον ἡ φαντασία. φησὶν ὁ Πλάτων. διὰ τὸ ἐκμάττεσθαι. καὶ ὑποσυλᾶν τὰ ὕλη ἀπὸ τῆς ὕλης.

Ἐκμαγεῖον. ἐκτύπωμα. καὶ ἐκσφράγισμα. ἐκ τοῦ μάσσω ῥήματος. ὁ μ.

Ἔκηα. καίω. καύσω. ἔκαυσα. κοινῶς ἔκα:α. Ἀττικῶς. ἔκηα Ἰωνικῶς. ὥσπερ χέω. χεύ:σω. κοινῶς χεύω Ἰωνικῶς. χέω Ἀττικῶς. καὶ ὁ ἀόριστος ἔχευσα. καὶ ἔχευα. ἔχεα.

Ἐκ νήεις τὸ κονϊὴ κολλήθη. παρὰ τὸ κολλῶ πρώτης συζυγίας τῶν περισπωμέ:νων. τοῦτο παρὰ τὸ κόλλα. τοῦτο παρὰ τὸ κεκομμένην οὖσαν εἰς οὐλότητα μετέλ:θω.

Ἐκ μέσου. ἔξω τοῦ μέσου. ἡ γὰρ ἐξ πρό:θεσις τὸ ἔξω δηλοῖ.

Ἐκολῶα. ἐθορυβει. ἐκερτόμει. ῥῆμα παρὰ τὸ κολῶ. τὸ λῶ μέγα ἐκ τοῦ κολῶ. κολῶ ἐλαμβάνετο. ἐκ τοῦ κολοίος γίνεται. παρὰ τὸ κλῶ τὸ κράζω. θορυβῶ λῶ γὰρ τὸ ζῶον κατὰ παραγωγὴν κλωός, καὶ πλεοναβμῶ τοῦ ο κλωός.

Ἑκουσίως. παρὰ τὸ εἴκω τὸ θέλω. καὶ ἑ:κουσιοῦ ἀρβενικοῦ. ἡ μετοχὴ ἑκῶν. ἑκόν:τος. τὸ θηλυκὸν ἑκοῦσα. καὶ ἐξ αὐτοῦ γίνεται ὄνομα ἑκουσιά. ἡ γενικὴ τῶν πλη:θυντικῶν. ἑκουσίων. καὶ ἐξ αὐτοῦ γίνεται ἐπίρρημα μεβότητος. ἑκουσίως.

Ἔκπλαγα. ἐκπληκτικά. κανῶν ἐστιν ὁ λέγων. ὅσα ἐν ὁμοφωνία. καθέστηκεν πλη:θυντικά. οὐδετέρων ὀνόματα μετάγεται εἰς ἐπιρρηματικὴν σύνταξιν.

Ἔκπλαγον. παρὰ τὸ ἐκπλήσσω.

Ἐκπλαγῶτατε. ἐκπλεκτικῶτατε. ἐκ τοῦ πλήσσω. ὁ μέλλων πλήξω. ὁ δεύτερος ἀόριστος ἔπλαγον. καὶ ὄνομα ἐξ αὐτοῦ ἔκπλαγος. καὶ τὸ ὑπερθετικὸν ἐκπλαγῶ:τατε.

Ἐκπλάγως. ἐκπληκτικῶς. ἐκ τοῦ ἐκπλήσ:σομαι ῥήματος. ὄνομα ἔκπλαγον. καὶ —

ὑπερβιβασμῶ. ἔκπλαγον. καὶ ἐκπλάγως ἐπίρρημα.

Ἔκπλαγος. ὁ καταπληκτικός. παρὰ τὸ πλάγος φοβερὸν γὰρ. ποίου εἴδους τῶν ὑποπεπτοκότων τῶν ὀνόματι εἰδικοῦ. διαφέρει δὲ τὸ κατεπλάγην τοῦ κατεπλή:γην. ἐπὶ σώματος. ὁ μὲν τοι ποιητὴς διὰ τὸ μέτρον εἷς π̄.

——— κατεπλήγην φίλον κῆρ.

τὸ μὲν κατεπλάγην ἐπὶ ψυχικῆς διαθέσε:ως λέγεται. τὸ δὲ κατεπληγὴν ἐπὶ σώμα:τος.

Ἐκπλαγώτατε. ἐκ τοῦ ἐκπλήττω ἐκπλαγεῖς. ἐκ τοῦ ἔκπλαγον. ἐκπλαγώτερος. καὶ ἐκ:λαγώτατος. τὸ ὑπερθετικόν.

Ἔκπωμα. τὸ ποτήριον. παρὰ τὸ ἐκποιεῖν ἢ παρὰ τὴν κοιλωτητα.

Ἐκπέρσαι. ἐκπορθῆσαι. ἐκ τοῦ πέρθω τὸ καταστρέφω.

Ἔκπληξις. εἰς τὸ ἐκπάγλως καὶ φόβος.

Ἐκποίητος. εἰς τὸ ἀποκήρυκτος.

Ἔκπυστα. ἔκπυστα ἐποιησε τὰ πραττόμενα. ἀνεκλάλητα. ἀνεξάκουστα. καὶ ἄρρηκτα. ἐκ τοῦ πεῦθω ὃ συμαίνει τὸ ἀκούω γίνεται.

πυστά. καὶ ἔκπυστα. σημαίνει δὲ καὶ τὸ
ἐξάγγελτα. ἔκδηλα καὶ ἐξάμουστα. σαυ=
=τάσσεται μετὰ γενικῆς.

Ἐκ αὖ πόθεν γίνεται. ἐκ τῆς ἐκ προθέσε
καὶ τῆς αὖ ἀντωνυμίας. σημαίνει δὲ τὸ
ἀπὸ τῆς σῆς σφῆος. ἐξ οὗ δὲ σημαίνει
τὸ ἀφ' οὗ χρόνου.

Ἐκσπάσας. ἕλκυσας. τὸ ῥῆμα. σπάω.
σπῶ. ὁ μέλλων σπάσω. ὁ ἀόριστος ἔσπα=
=σα. ἢ μετοχὴ σπάσας. καὶ μετὰ τῆς
ἐξ προθέσεως ἐκσπάσας.

Ἐκσπασθῆναι. ἐκ τῆς ἐξ προθέσεως καὶ
τοῦ σπῶ.

Ἐκστῶσαν. πηδῶσαν. ἀπὸ τοῦ στῶ. στᾶς. ἢ
μετοχὴ στῶν. καὶ τὸ θηλυκὸν στάσα. καὶ
μετὰ τῆς ἐξ προθέσεως ἐκστῶσα, ἤγουν
ἔξω τῶν ὅρων στᾶσα. ἢ καταλήττουσαν.

Ἐκτίλαι. ἐκκόψαι. ἐστὶ τείνω. καὶ ἀπο=
=βολὴ τοῦ ε καὶ τροπὴ τοῦ ν εἰς λ.
γίνεται τίλλω. ῥῆμα. καὶ σημαίνει τὸ
ξαίνω. καὶ μετὰ τῆς ἐξ προθέσεως ἐκτίλ=
=λω. ὁ μέλλων ἐκτϊλῶ. καὶ ὁ ἀόριστος
ἐξέτϊλα. μακρὸν τὸ ι. καὶ τὸ ἀπα=
=ρέμφατον ἐκτῖλαι. ὁ γὰρ ξαίνων τίλει.
ἢ ὅτι κτῖλος λέγεται ὁ κριός. καὶ ἐξ

αὐτοῦ γίνεται ῥῆμα κτίλλω· καὶ ἀπο-
βολῇ τοῦ κ̄ τίλλω· ἤγουν ἐκ μεταφο-
ρᾶς τῶν μαλλῶν τοῦ κριοῦ.

Ἐκτῖλαι· ἐκ τοῦ τίλλω· ἐπειδὴ κτῖ-
λος λέγεται ὁ κριός· καὶ γίνεται ἐκ με-
ταφορᾶς τοῦ κριοῦ· καὶ σημαίνει τὸ
ξηραίνω· ἢ ἐκ τοῦ τείνω· τὸ ταύω.
ὁ γὰρ ξαίνων τείνει.

Ἔκστασις γίνεται· παρὰ τὸ στάσις· τοῦτο
παρὰ τὸ ἵστημι· τοῦτο παρὰ τὸ στῶ.

Ἐκοπίασεν· ἀντὶ τοῦ ἔπαυσεν· γίνεται
δὲ ἐκ τοῦ κοπάζω· τοῦτο παρὰ τὸ κόπος.

Ἐκκαθερίει· καθερίζω· καθερίσω· καθε-
ρίω· τοῦτο ἐκ τοῦ καθερός· τοῦτο ἐκ
τῆς κατᾶ προθέσεως καὶ τοῦ θαρρῶ.
ὁ γὰρ καθρὸς καθαρρεῖ.

Ἐκσκουβίτωρ· ὦ τῶν παρεξόδων τοῦ
παλατίου ὑπάρχοντες φύλακες.

Ἐκ τοῦ κλίτου αὐ· ποσὰ σημαίνει· δύο.
τὴν συνέλευσιν καὶ τὴν συνάθροισιν· καὶ
γίνεται παρὰ τὸ κλῶ· τὸ καλῶ· ὡς τὸ
σημ' τὸ κλῆτος τῶν θεῖ· πρῶν·
καὶ διὰ τοῦ ι τὸ μέρος τῆς οἰκίας· καὶ
τὸ καλούμενον προκλιτόν· ὡς τὸ ἐν

τοῖς κλίτεσι τῆς οἰκίας σου· καὶ τὸν
εὐώνυμον τόπον· ὡς τὸ πεσεῖται ἐκ
τοῦ κλίτους σου χιλιάς· ἔστι δὲ καὶ ἀρσενι-
-κὸν διὰ διφθόγγου· ὅπερ καὶ ὀξύνεται·
Ἔκτισις τὰ δύο ιι παρὰ τὴν ἐκπρόθεσιν.
Ἐκφάντορες· κύριως λέγονται· οἱ τῶν
μυστηρίων τὰ ἄρρητα σαφηνίζοντες·
συμβολικῶς.
Ἐλείφθη· καὶ ἐλήφθη· τὸ ᾱ τὸ ἐπὶ τῆς
ἐλλείψεως διὰ τοῦ ει· τὸ δεύτερον τὸ
ἐπὶ τῆς καταλήψεως· διὰ τοῦ η·
Ἐκεῖ καὶ ἐκεῖσε διαφέρει· τὸ μὲν
ἐκεῖ δηλοῖ τὸ ἐν τόπῳ· τὸ δὲ ἐκεῖσε
εἰς τόπον· οὕτως ἐρούμεν· ἐκεῖ κατέ-
-λαβον καὶ ἐκεῖσε πορεύσομαι· η·
Ἐκτινάξ· ἀπορρίψας· παρὰ τὸ ἰς
ἰνός· ὃ σημαίνει τὴν δύναμιν· ἰνάσσω
καὶ τινάσσω· πλεονασμῷ τοῦ τ· ὃ
μέλλων τινάξω· ὃ ἀόριστος ἐτίναξα·
καὶ ἡ μετοχὴ τινάξας· καὶ ἔστιν ἀντὶ
βραχεῖς κατὰ τοὺς Δωριεῖς· ἐκεῖνοι
γὰρ τὰς εἰς ᾱς μετοχὰς ἀντὶ βραχέων
παραλαμβάνονται·
Ἕκτωρ ὄνομα κύριον· παρὰ τὸ ἔχω τὸ
κρατῶ· ὃ μέλλων ἕξω καὶ ἐκ αὐτοῦ ἕκ-
-τωρ ὃ τοῦ τρῶας ἐπικρατῶν·

Ἔκτοτε. εἰς τό τοτέ.

Ἑκυρός. καὶ κυδεός. ἐτυμολογεῖται δὲ παρὰ τό πρός ἑαυτόν τὴν νύμφην ἄγειν. γίνεται ἐκ τοῦ δέχω δέχοιο. δεχυρός. ὡς ἴσχω. ἰσχύω. ἰσχυρός. καὶ ἀποβολὴ τοῦ δ. καὶ τροπὴ τοῦ χ εἰς κ. ἑκυρός. ἢ παρὰ τό κύρω τό ἐπιτυγχάνω. κυρός καὶ ἑκυρός. σημαίνει τόν πενθερόν. καὶ τίς λέγεται πενθερός. ὁ τοῦ ἀνδρός τῆς νύμφης πατῆρ.

Ἔκτρωμα. τό ἐκ τῆς μήτρας ἀτελές ἐξιών. ἀμβλωθρίδιον.

Ἐκτύπωμα. ἐκσφράγισμα. ἐκ τοῦ ἐμάσσω ῥήματος.

Ἐκφαντορία. εἰς τό ἐκφαίνειν.

Ἐκφοροῦντα. ἔστιν ἐκφέρω καὶ ἐξ αὐτοῦ γίνετα ἐκφορά. καὶ ἐκ τούτου ῥῆμα ἐκφορῶ. ὁ παθητικός ἐκφοροῦμαι. καὶ ἡ μετοχὴ τοῦ ἐνεργητικοῦ ἐκφορῶν. ἐκφοροῦντος. η.

Ἐκχεῶ. ἐκχύσω. τό θέμα ἐκχεῶ. ὁ μέλλων ἐκχεύσω. καὶ ὁ δεύτερος ἀόριστος, ἐξέχεον. καὶ ὁ δεύτερος μέλλων. ἐκχεῶ. ἐκχεῖς. ἐκχεῖ. ✱.

ἑκών. εἰς τό ἀέκοντ. η.

τὸ Ε̄ · μετὰ τοῦ Λ̄ ·

Ἔλαμψας. εἰς τὸ λάμπω.

Ἐλατή. παρὰ τὸ ἐλῶ. ἐλάσω. ἤλακα. ἤλας τοῦ φυτοῦ καρπός.

Ἔλαιον. παρὰ τὸ λεῖον. λεαίνον. τὸ λειαῖνον τὸ σῶμα. καὶ ἐν ὑπερθέσει ἔλαιον. ἢ παρὰ τὸ ἐλεὰν ὃ σημαίνει τὴν θερμασίαν. ἐν γὰρ θερμοῖς τόποις χαίρει.

Ἔλασσον. εἰς τὸ ἀμείνων.

Ελαύνω. διώκω. παρὰ τὸ ἐλῶ. ἐλαίνω. ἐλαύνω.

Ἔλαφος. παρὰ τὸ ἕλκειν τοὺς ὄφεις. φασὶ γὰρ ὅτε ἀφανεῖς ὦσιν ἀπερχόμενος καὶ τὸ κεράτιον αὐτοῦ προστρίψας τῷ φολεῷ λαμβάνοντες ἐκεῖνοι ἐκ τῆς ἀναθυμιάσεως τοῦ κέρατος ἐξέρχονται.

Ἔλαφος. ἔλοφός τις οὖσα. παρὰ τὸ ἐκλεῖν τοὺς ὄφεις. ἢ ἐν ἕλει τὰς διατριβὰς ἔχων. ἢ ἀπὸ τοῦ ἕλκου τὸ ἔλαφος παρήχθη. παραγηγῆς ἔλαφος. ἢ ὅτι τὸ κέρας αὐτοῦ θυμιώμενον ἐλαύνει τοὺς ὄφεις. ἢ διὰ τὴν κουφότητα καὶ τὸ τάχος ἐλαφρός τις ὤν. ἔλαφος ἀπὸ τοῦ ἕλκειν τοὺς ὄφεις. τάχα δὲ ὅτι ἐλαφρὰ εἰσίν.

Ἐλαφρός· καὶ ἀήσυρος καὶ ἀνεκτός·
παρὰ τὸ ἔλαφος ἐλαφυρός· καὶ συγκο=
=πῇ ἐλαφρός· ἀπὸ τοῦ ζῶου· ὡς ἔχθος·
ἐχθυρός· καὶ ἐχθρός·

Ἐλαχεία· μικρά· εἰς τὸ λιγυφθ·

Ἔλδω εἰς τὸ ἐέλδωρ·

Ἐλεαίρει· ἐλαίει· ὡς παρὰ τὸ ἔλπω· ἔλ=
=πω ἐλπαίρω· καὶ πλεονασμῷ τοῦ ε
ἐλπεαίρω καὶ ἐν ὑπερβιβασμῷ ἐλπαίρω·
καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασυ γίνεται
ἐλεφαίρω τὸ ἀπατῶ· ὁ ἀόριστος ἐλέφη=
=ρα· ὁ μέσος ἐλεφηράμην· καὶ ἐλεφηρά=
=μενος· οὕτω καὶ τὸ ἐλϊαιῶ· ἐλεαίρω· ἐλε=
=αρῶ·

Ἐλέατρος καὶ ἐδελέατρος διαφέρει·
ἐλέατρος μὲν γάρ ἐστιν ὁ μάγειρος· παρὰ
τοῖς εἰλεοῖς· ἅπερ εἰσὶ τράπεζαι μαγει=
=ρικαί· ἐδελέατρος δὲ ὁ προγευστης παρὰ
τὰ ἐδέσματα·

Ἔλεγος ὁ θρῆνος διὰ τὸ δι' αὐτοῦ τοῦ
θρήνου λέγειν τοὺς κατοιχουμένους·

Ἔλεγος ὁ θρῆνος διὰ τὸ δι' αὐτοῦ τοῦ
θρήνου ἐυλέγειν τοὺς κατοιχουμένους· ὑπερ=
=τὴν δὲ τῆς ἐλεγείας οἱ μὲν τὸν ἀρχίλον·
οἱ δὲ Μίμνερμον· οἱ δὲ Καλλῖνον τὸν

β

παλαιότερον. καὶ πεντάμετρον. τῶ
συνῆπτον οὐχ ὁμοδρὸ τῆ τοῦ προτέρου
δυνάμει. ἀλλ' οἷον συνεκπνέοντα καὶ
σύναποσβεννύμενον ταῖς τοῦ τελευτή:
:σαντος.

Ἔλεγος καὶ ἐλεγεῖον τὸ τοιόνδε μέτρον
καὶ θρῆνος. ὁ τοῖς τεθνεῶσιν ἐπιλεγό:
:μενος. ὑποτέταται δὲ τῶ ἡρῶν. εἴρηται
δὲ παρὰ τὸ ε̅ε̅ σκετλιαστικὸν ἐπίρρημα.
καὶ τὸ λέγειν.

Ἔλεγος. ὁ θρῆνος. παρὰ τὸ ἀλέγειν καὶ
τοῦ θρήνους.

Ἔλεγχος τὸ ὄνειδος. καὶ ἐλέγχιστος ὁ
ἐπονείδιστος. παρὰ τὸ ἔλην ἔχειν ἤγαω
φῶς, καὶ εἰς τὸ μάρτυς.

Ἐλεδωνη. εἶδος πολύποδος. ἔστι δὲ τὸ
ε̅λ̅. πέρισσον. καλεῖται δὲ ἐεδωνη ἀπὸ
τοῦ ἑαυτὴν ἔδειν. τουτέστιν ἐσθιεῖν.
Ἡσίοδος

——— ὅτ' ἀνόστεος ὃν πόδα τ' ἔδει.

Ἐλεεινός. ταπεινός. ὥσπερ ἀπὸ τοῦ
δέος γίνεται δεεινός, καὶ κατὰ κρᾶσιν
τοῦ ε̅ δεινός. καὶ τῆς ε̅ι̅ διφθόγγου. οὕτω
καὶ ἀπὸ τοῦ ἔλεος. γίνεται ἐλεεινὸς
ἐλέους ἄξιος. καὶ εἰς τὸ δεινός.

Ἐλεηλάτει. ἠχμαλωτεύεν. ἐλήστευεν.
ἥρπαζεν. ἀπὸ θέματος τοῦ λεηλατῶ.
τοῦτο παρὰ τὸ λεώς καὶ τὸ ἀτῶ. σημαίνει
δὲ βλάπτω. γίνεται λεώατο. καὶ τροπῇ
τοῦ ω εἰς η. καὶ πλεονασμῷ τοῦ λ λεη=
:λατῶ. τὸν τὴν λεῶν βλάπτων.

Ἐλαττῶ. ἐκ τοῦ ἔλατ]. τοῦτο παρὰ τὸ
ἐλάχης. ἐλαχι]' ἐλαχίων. ἔλασσον καὶ
ἔλαττον.

Ἐλέησον ἀπὸ τοῦ ἐλεῶ. τοῦτο παρὰ
τὸ ἔλεος. τοῦτο δὲ παρὰ τὸ ἔλω τὸ λαμ=
βάνω.

Ἔλεον. καὶ κρίσιν. ἡ ἐνθεία ἔλεος. γίνεται
δὲ παρὰ τὸ ἔλω τὸ λαμβάνω. ἔλος ἔλεος.
πέφυκε δὲ τὸ ε πλεονάζειν ἐν τοῖς ὀνό=
:μασιν. οἷον στερὸς στερεός.

Ἔλεον αὐτῶν. ὁ ἔλεος ἀρσενικόν. ἰστέ=
ιον ὅτι τὸ ἔλεον καὶ κρίσιν καὶ τὸ ἔλεον
αὐτῶν ἔμπροσθεν δεῖ γράφειν μικρόν τι.

Ἐλαμός. παρὰ τὸ ἐλάγχω τοῦτο παρὰ τὸ
ἐλ[illegible]:

Ἐλεοῖσι. μαγειρικοῖς τραπεζίοις.

Ἐλελιξάμενος. ἐπιστραφείς. μετοχὴ
ἐκ τοῦ ἐλελίσσω. τοῦτο ἐκ τοῦ εἰλῶ τὸ

συστρέφω. γίνεται κατὰ παραγωγὴν εἰ=
=λίσσω. καὶ ἀφαιρέσει ἢ καὶ συστολὴ
τοῦ ῑ. ἑλίσσω καὶ δασύνεται. καὶ κατὰ
ἀναδιπλασιασμὸν ἐλελίσσω. ἐλέλιξα.
ἐλελιξάμην. ἐλελιξάμενος.

Ἐλένη. ὄνομα κύριον ἀπὸ τοῦ πολλοὺς
ἕλκειν ἐν τῷ κάλλει αὐτῆς. ἢ παρὰ
τὸ ἕλω τὸ ἑλκύω. ἢ πρὸς τὸ ἴδιον κάλ=
=λος ἑλκύουσα τοὺς νέους ἀνθρώπους.
ἢ παρὰ τὸ ἑλλάς. ἢ παρὰ τὸ ἐν ἕλει
γεγεννεῖσθαι. διὰ τοῦ ε̄. ἐπιφερόμενον
τοῦ λ̄ καὶ ὑποτέτακται. τὸ ε̄. ἢ τὸ ω̄.
ἢ το ῡ δασ:.

Ἔλῳ ἐλεόθρεπτον μεγάλοιο. τὸ λε̄
ψιλόν. τὰ διὰ τοῦ ε̄νη θηλυκὰ ὑπὲρ
δύο συλλαβὰς μονογενῆ διὰ τοῦ ε̄ ψι=
=λοῦ ϝ. ἐπίτε βαρύνεται καὶ ὀξύνε=
=ται ἐπὶ βαρυτόνων οἷον ὠλενὴ ὁ
βραχίων. κλυμενὴ ὀξύνεται δὲ δεξαμενὴ
εἰαμενή.

Ἕλεος. εἰς τὸ ἄχος.

Ἐλεός εἰς τὸ κουλεός.

Ἐλευθερία. ἀπὸ τοῦ ἐᾶν ἐλεύεσθαι.
ὅ ἐστιν ἔρχεσθαι ὅπου βούλεται.

Ἐλεπή. εἰς τὸ ἕλεψ.

Ἐλεπόλις. συμαίνει τὸ μάγγανον καὶ

τὴν κλιδά. παρὰ τὸ ἑλεῖν τὰς πόλεις.
ἑλῶ γὰρ τὸ πορθῶ.

Ἐλευθέρα. παρὰ τὸ ἐλεῦθειν. ὅπου ἐρᾶ

Ἐλεύθερος. παρὰ τὸ ἔλευσιν καὶ τὸ ἔρα
ἐπεί ὅπου βούλεται ἄπεισιν.

Ἐλεύθερος παρὰ τὸ ἐλεῦθειν, οὗπερ ἂν ἐθέ=
=λοι.

Ἐλεύθω. εἰς τὸ ἐληθυῖα. καὶ εἰλήλουθας.

Ἐλευσὶς πόλεως τῆς Ἑλλάδος. διὰ τὴν
ἀπὸ Δημήτρος ἔλευσιν. ἐκεῖ γὰρ εὗρε τὸν
καρπὸν ἐκ κρήτης ἐλθοῦσα, καὶ ἐν Ἐλευσῖ=
=νι ἔμεινεν. ὅθεν καὶ ὁ τόπος ἐλευσῖν.
καὶ ὁ ἀγὼν τὰ ἐλευσίνια ἀρχαιότατος.
γράφεται δὲ διὰ τοῦ ῑ. τῷ λόγῳ τῶν δια=
=καταλήκτων. ἡ ἐλευσὶς γὰρ καὶ ἡ ἐλευσίν.

Ἐλεφαίρω βλάπτω. πλανῶ. παρὰ τὸ ἔλ=
=πω ἐλπαίρω. εἶτα καὶ ἐλεφαίρω κυρί=
=ως τὸ ἐλπίσιν ἀπατᾶσθαι. καὶ ἐπαίρεσθαι.
καὶ εἰς τὸ ἐλεαίρει.

Ἐλέφας. ἐλέφαντος. ἐλέβας. ἐπιβαίνει
γὰρ τῇ θηλείᾳ. οὐκ ἐπὶ γῆς διὰ τὸν ὄγκον.
ἀλλ' ἐπὶ ὕδατος ἑλώδους, ὅπου νέμονται.
καὶ γίνεται εἰκότως κοῦφος. ἡ παρὰ τὸ
λευκὸς γίνεται λεῦκας καὶ λέκας καὶ τρο=
=πῇ τοῦ κ. εἰς φ. λέφας. καὶ πλεονασμῷ

τοῦ ε̄ ἔλεφας. ὃ ἐλιδμὲω ἔχων ῥῖνα.
πάν ὑπέρλεωκον τὸ ὀστοῦν αὐτοῦ. ἢ ἀπὸ τοῦ
ἑλίσσω. ἑλίξω γίνεται. ἑλίφας. καὶ ἐλέφας.
ἢ παρὰ τὸ ἐλεφαίρω τὸ βλάπτω. βλαπ-
-τικὸν γὰρ τὸ ζῶον.

Ἔλεψεν ἔγλυψε. παρὰ τὸ λέπω. ἐξ οὗ καὶ
λέπος. καὶ λεπτὸς καὶ λέπυρον τὸ τῶν
καρδῶν ἔλυτρον. ἢ παρὰ τὸ λεπῶ ῥῆμα.
πρῶτης συζυγίας τῶν περισπωμένων ἐλέπη-
-σα καὶ τὸ ϡ ἐλέπησε. καὶ κατὰ συγκο-
-πὴν τοῦ η καὶ κράσει τοῦ π̄. σ̄. εἰς ψ̄.
ἔλεψεν.

Ἔλη. εἰς τὸ ἠέλιος. καὶ θειλόπεδον. καὶ
σέλας.

Ἐλήλυθα. εἴρηται παρὰ τὸ ἐλεύθω. ἤλυθα.
καὶ κατὰ Ἀττικὴν προσθέσιν τῶν δύο
στοιχείων τῆς ἀρχούσης. ἐλήλυθα.

Ἑλικάων. ὄνομα ὄρους. δασύνεται τὸ ε̄
πρὸ τῆς λ̄ συλλαβῆς. ἑλίσσω. ἕλιξ. τὸ
δὲ ἑλιγμῶν ψιλοῦται. ἑλικάονος ὃ καὶ
τὰ εἰς ῶν βαρύτονα διχρόνω ἐκτεταμέ-
-νω παραληγόμενα τρέπουσι τὸ ω̄ ἐπὶ
τῆς γενικῆς. μαχάων. ἱκετάων. ϡ.

Ἑλικτός. εἰλιγμένος. ἐκ τοῦ ἑλίσσω ἑλίξ-
-ω ἑλικτός. ἐξ οὗ γράφεται διὰ τοῦ ῑ.

Ἑλίκοπες. οἱ εὐόφθαλμοι. ἡ εὐθεῖα ἑλίκωψ. ἐκ τοῦ ἑλίκη ὃ σημαίνει τὴν μεγάλην ἄρκτον. ὡς καὶ Ἄρατος.

Ἑλίκην μὲν ἄνδρας εἰνάλιον τεκμαίροντες. δύο δὲ εἶσιν ἄρκτοι. καὶ ἡ μὲν μεγάλη καλεῖται ἑλίκη. πρὸς ἣν ἀποβλέποντες καὶ ἀπευθύνοντες τὴν πορείαν ἐποιοῦντο. ὡς ἐκ τούτου κληθῆναι αὐτοῦ ἑλίκωπας. ἡ δὲ μικρὰ κυνὸς οὐρά. αἱ δὲ δύο ἄρκτοι ἀνὰ ζ ἀστέρων ἔχουσιν. ἥτε μεγάλη ἡ ἐπὶ τὸν βορρᾶν. ἥτε μικρὰ ἡ ἐπὶ τὸν νότον

Ἑλίκη. ἡ ἄρκτος. τινὲς ἀπὸ τοῦ ἐν ἑαυτῇ εἰλεῖσθαι περιγράφουσι τὸν ἀρκτικὸν κύκλον.

Ἐλήλυθειν. ἐλεύθω. ὁ μέλλων ἐλεύσω. ὁ παρακείμενος ἤλευκα. καὶ ἐλήλυκα. ὁ μέσος ἤλευθα καὶ ἐλήλυθα ὁ ὑπερσυντέλικος ἠλεύθειν καὶ ἐλήλυθειν.

Ἑλίκωψ. ὁ μέγας ὀφθαλμός. ἡ μελανόφθαλμος. ἡ εὐόφθαλμος. καὶ μελανὰς τὰς κόρας τῶν ὀμματίων ἔχων. ἀφ' οὗ εὐπρεπῆ. ἑλικὸν γὰρ κατὰ διάλεκτον τὸ μέλαν. ἢ ἑλικοειδῶς κινοῦντες τοὺς ὦπας. ἢ γοῦν τοὺς ὀφθαλμοὺς εὐειδεῖς.

Ἑλικώπιδα. τὴν ἀξιοθέατον καὶ εὐμορ-

φωτάτην· πρὸς ἣν πᾶς ἑλίσσει τοῦ ὦπας.
διὰ τὸ κάλλιστον εἶδος· ἢ μελανόφθαλμον.
ἕλικον δὲ τὸ μέλαν κατὰ διάλεκτον· κλίνε-
-ται δὲ ἑλικῶπις ὡς ὑποφῆτις.

Ἐλινδειν. ἀργεῖν χολάζειν ὁ δὲ Ταραν-
-τῖνος τὸ ἡσυχάζειν. ὁ δὲ Ἱπποκράτης
ἐκφαίνει λέγων. ἐλινδειν οὐ ξυμφέρει.
ἀλλὰ γυμνασίν. δῆλον ὡς ἀντιδιαστελλ
τῇ κινήσει τῶν ἀργίαν. καὶ εἰς τὸ ἐρινῦς.

Ἕλιξ. εἰς τὸ ἰλιγγιᾶ.

Ἕλιξ. τὸ κλῆμα. καὶ ἕλιξ ὁ τῆς ἀμπέ-
-λου κλάδος.

Ἑλεοί ἢ οἱ ἀπὸ τῆς πιμελῆς ἐλεημένοι.
ἢ ἐξ ἐλείων ξύλων κατεσκευάσμενοι.

Ἕλιξ. τὸ τῆς ἀμπέλου νευροειδὲς ἐκφύρμα.
ὃ ἐπιλαμβάνεται τῆς χάρακος. ἢ ἄμπελος.

Ἐλπὶς. ἢ τὰ ἐλλείποντα προσαναπλη-
-ροῦσα. ἢ εἰς ὑπόνοιαν ἡμᾶς ἀγαθὴν ἕλκου-
-σα. ἑλκὶς τις ὖσα.

Ἐλινδω το ἡσυχάζω διὰ τοῦ ι.

Ἐλπὶς. ἑλκὶς τίς ἐστιν· ἀπὸ τοῦ παρέλ-
-κειν ἡμᾶς τῷ χρόνῳ· ἢ ἀπὸ τοῦ ἐλλείπειν
τῶν ἐλπιζόντων. ἐλλείπις τις ἔστι καὶ
συγκοπῇ ἐλπίς.

Ἐλλήσποντος. ὁ διείργων τὴν θράκην
καὶ τὴν τρωάδα· πορθμὸς ἢ ποταμὸς:

Ἐλλήσποντος δὲ εἴρηται ἀπὸ τοῦ ἐκεῖ-
σε ποντιαθῆναι ἕλλην τὴν φρίξου μὲν ἀ-
δελφήν. ἀθάμαντος δὲ θυγατέρα. ἢ ὡς
ἕτερος τοῦ ξόσθου θηραταί.

Ἑλίσσω. εἰς τὸ ἀμφιελίσσας.

Ἑλίξεις παρὰ τὸ ἑλίσσω.

Ἕλκε μὲν ἕλκειν ῥῆμα. καὶ τὰ εἰς ιν ἀπα-
ρέμφατα οἱ ἰώνες. διὰ τοῦ ε̅μ̅ε̅ προσ-
φέρουσι. καὶ δασύνεται. τὸ γὰρ ε̅ πρὸ τοῦ
λ̅. ἐπιφερομένου τοῦ ν̅. ἢ τοῦ β̅. δασύνε-
ται οἷον ἕλκος. ἕλμινες. ἕλμινθος. ἕλκω.
ὁ μέλλων ἕλξω. ὁ δεύτερος ἀόριστος εἷλκον.
συνέρχεται μὲν τῷ πρώτῳ ἀορίστῳ. καὶ
ἰωνικῶς ἕλκε. καὶ μετὰ τῆς ὑπὸ προ-
θέσεως ὕφελκε καὶ ἀναβιβάζει τὸν
τόνον. πᾶς παρωχημένος χρόνος τὸν
προγινόμενον αὐτῷ χρόνον κατὰ τὸ ἄρ-
χον μέρος ἀποβαλών. ἐν τῇ συνθέσει
προπαροξύνεται. δασὺ δὲ ἐκ τῆς συναλοι-
φῆς.

Ἕλκος. ἐκ τοῦ ἕλκω. ὠτειλή. τραῦμα.
πληγή. διαφέρει. ἕλκος μὲν τὸ χρόνιον.
πάθος μοῦ ἐκ σιδήρου γινόμενον. ἔσθ' ὅτε
καὶ ἐκ ταυτομάτου. εἴρηται δὲ παρὰ τὸ
διελκοῦσθαι τὴν σάρκα. ὠτειλὴ δὲ ἢ ἐκ
τοῦ ἐγγὺς σιδήρου πληγῆ. τραῦμα δὲ

τρῶσις σαρκός. ὑπὸ σιδήρου γενομένη.
ἐφ' ὑγείου σώματος. πληγῆ δὲ ἡ ἐκ χειρὸς
πλῆξις.

Ἑλκῶ. ἡλκοῶ ἐξ οὗ καὶ ἡλκομένος διὰ
τοῦ η.

Ἑλκύω ἐκτείνω. ἐκ τοῦ ἕλκω. τὸ κυ ψι-
λον. τὰ διὰ τοῦ υω ῥήματα. διὰ τοῦ
υ ψιλοῦ γράφονται. πλὴν τοῦ οἴω τὸ ὑπο-
λαμβάνω. καὶ οἴω τὸ κομίζω καὶ οἴω τὸ
μονῶ.

Ἕλκω τὸ σύρω. ἢ ἐκ τοῦ ὁλκός. τὸ ε ψιλόν.
ἀδύνατον γὰρ ἔνθα ἀμετάβολον ἀφώνου
προήγειται πρὸ τοῦ ἀμεταβόλου τὴν οἱαν-
δήποτε δίφθογγον εὑρεθῆναι. οἷον. ἐλπίς.
ἕρκος. ἕρπος. σεσημείωται τὸ εἴργω. ὅπερ
πάλαιοι ἀναλόγως κεχρημένοι. κατὰ διά-
λυσιν εἶπον. ἐέργω.

Ἑλλωτία. ἑορτὴ Ἀθήνησι ἀπὸ τοῦ ἕλους
Μαραθῶνος.

Ἑλλάς. ἀπὸ τῆς Ἕλλης τῆς Ξούθου θυγατρός.

Ἐλλέβορος. ἡ ἕλουσα. ἤγουν θανατοῦσα
βρῶσις. βορὰ γὰρ ἡ βρῶσις.

Ἐλλεδανοί. οἱ τῶν δραγμάτων δεσμοί. πα-
ρὰ τὸ συνειλεῖν τὰ σεσμούμενα.

Ἔλουσα. ἐστὶ μετοχὴ θηλυκή. ἀόριστος δεύ-
τερος τὸ θέμα αὐτῆς. ἕλω. ἡ λαβομέ-
νη.

Ἑλλήσποντος· ἡ ἐν τοῖς στενοῖς θάλασσα παρακείμενη· τῇ τροίᾳ οὕτω προσαγόρευσθαι ἀπὸ ἕλλης τῆς φρίξου θυγατρός· τῶν ἐκείσε πελάγει διαριφείσης· πόθεν ἕλλην· παρὰ τὸ ἑλλάς ὃ σημαίνει τὴν πόλιν· ἑλλάς δὲ εἴρηται ἀπὸ ἕλληνος τινός· βασιλεύσαντος ἐν αὐτῇ·

Ἑλοίμεθα· λάβοιμεν· ῥῆμα εὐκτικόν μέσος ἀόριστος δεύτερος· ἐκ τοῦ ἕλω· καὶ δασύνεται ἐὰν σημαίνει τὸ λαμβάνω· εἰ δὲ σημαίνει τὸ φονεύω· ψιλοῦται παρὰ τῶν ποιητῶν· σημαίνει δὲ ἕλω· ἑλῶ· εἱλῶ· εἴμεν τοι περισπᾶται ὃ μέλλων· ὃ δεύτερος ἀόριστος εἷλον· ὃ μέσος εἱλόμην· καὶ τὸ εὐκτικὸν εἱλοίμην· εἵλοιο· εἵλοιτο· καὶ τὸ πληθυντικὸν εἱλοίμεθα·

Ἕλος τὸ ὀχύρωμα καὶ τὸ ἕρκος ἀπὸ τοῦ ἑλεῖν·

Ἑλοῦσα· ἡ θανατοῦσα βρῶσις· βορὰ γὰρ ἡ βρῶσις·

Ἐλπίς· παρὰ τὸ ἑλκίς· ἐλπίς· ἡ παρέλκουσα ἡμᾶς εἰς χρόνον·

Ἐλυμήνατο· διέφθειρεν· ἀπὸ τοῦ λυμη γίνεται λυμαίνω· λυμανῶ· ἐλύμηνα· ἐλυμήνατο· καὶ ἐξ αὐτοῦ λυμεὼν

Ἕλω· εἰς τὸ γελῶ· καὶ ἐέλδωρ· καὶ ἑλοίμεθα·

καὶ ἐν αρίζει· καὶ ἐρετής· καὶ μελωδῶ καὶ τελεῖ.

Ἐλῶ· εἰς τὸ ἐλέπολις· καὶ ὑλομένην· καὶ τελεῖ.

Ἐλῶρια· ἐκ τοῦ ἕλω· ἕλωρος τὸ ἑλῶρια. ἐκ τοῦ ἕλω τὸ λαμβάνω.

Ἐλυμήνατο· ἐκ τοῦ λυμαίνω· τοῦτο ἐκ τοῦ λύμη· διαφέρει λύμη· καὶ λήμη· καὶ λοιμηκή· ὅτι ἡ μὲν λύμη φθορά τις ἐστιν ἐπὶ ψυχῶν διαβαίνουσα· σημαίνει δὲ τὴν ἀκαθαρσίαν· καὶ γίνεται παρὰ τὸ λύω· λύσω· λύμη καὶ λύματα· καὶ

— οἱ μὲν εἰς ἅλα λύματ' ἔβαλλον.

ἡ δὲ λήμη· λευκόν ἐστι καὶ ὑγρὸν κατὰ τῶν ὀμματίων σωιστάμενον· γίνεται δὲ παρὰ τὸ λάω τὸ βλέπω καὶ τὴν μῆ· ἀπαγόρευσιν· καὶ γὰρ κωλύει τοῦ βλέπειν· ἡ παρὰ τὸ λήθω τὸ λανθάνω λήμη· τοὺς γὰρ λημῶντας καὶ μὴ βλέποντας παρεχόμεθα· ἡ δὲ λοιμηκὴ νόσος τις ἐστὶ φθαρτικὴ σωμάτων· παρὰ τὸ λοιμὸς γίνεται.

Ἐλλῶβια τὰ ἐνῶτια· ὅ ἐστι σκολαρίκια· λωβὸς γὰρ τὸ ὠτίον.

Ἔλλοψ· ἔλλοπος ὁ ἰχθύς· ὁ ἐλλειπόμενος τῇ ὁποίᾳ φωνῇ ἤγουν τῇ ἀνίνῃ.

Ἐλυτρώσω. ἐκ τοῦ λυτρῶ. τοῦτο παρὰ τὸ λύτρον. τοῦτο δὲ παρὰ τὸ λυτήριον εἶναι τινὸς πράγματος.

Ἕλωρ. ἕλκυσμα. ἄγρευμα. ἐσχημάτισται δὲ παρὰ τὸ ἕλειν.

Ἔμβοι καὶ ἔμβιοι τὲ αἱ ῥίζαι αἱ εἰς βάθος διϊκνούμεναι καὶ ἐμβεβηκυῖαι. παρὰ τὸ βῶ ῥῆμα ὃ σημαίνει τὸ βαίνω.

Ἔμβολος. ἐμβαίνει λαός.

Ἐμβριμώμοι. μετὰ αὐστηρότητος ἐπιτιμῶντες. ἀπὸ τοῦ ἐμβριμῶ. ἐξ οὗ βριμαίνει τὸ θυμοῦται. καὶ βριμαίνουσα ὀργιζομένη. καὶ εἰς τὸ ὄμβριμος.

Ἐμβριμώμος. ἐπιτιμῶν. δεῖ δὲ γινώσκειν ὅτι ἀπὸ μεταφορᾶς ἐστιν ἡ λέξις. τῶν μαβομένων χαλινῶν τοῦ ἵππου. δι' ἀγανάκτησιν τοῦ βάρους κεῖται ἡ λέξις. ἐν τῷ Εὐριππίδῃ.

Ἔμμορε. ἔστι μέσου παρακειμένου τρίτου προσώπου τῶν ἑνικῶν. ἀπὸ θέματος τοῦ μείρω τὸ σημαίνον τὸ μερίζω. ἀφ' οὗ καὶ μέρος. ὁ μέλλων μερῶ. ὁ μέσος παρακείμενος μέμορα. μέμορας. μέμορα. καὶ καθ' ὑπερβίβασιν ἔμμορε.

Ἔμβρυον παίδιον τὸ ἐντὸς βροτοῦ ὄν τουτέστιν ἐν τῇ γαστρί τῆς γυναικός. ἐστὶ διάπλασμα.

Ἐνδοιάζειν. ἀπὸ τοῦ δυο ἀριθμοῦ εἴρηται. ὃ καὶ διὰ τῆς οι διφθόγγου γράφεται. οἱονεὶ παρὰ τὸ ἐν δυο γνώμαις ἀμφιβάλλειν ὁπο:τέρα κρείσσων.

Ἐμβρόντητος. μαινόμενος. ἔκφρων. ἀνό:ητος. ἐκ μεταφορᾶς τῶν ἀπὸ ψόφου βροντῆς ἐξεστηκότων.

Ἔμβρυον. παρὰ τὸ ἔσω βρύειν. ἢ βρύ:χειν καὶ αὔξεσθαι. ἢ παρὰ τὸ ἔσω εἶναι βροτοῦ βροτόν. ἢ παρὰ τὸ αἷμα καὶ τὸ βρῶ τὸ ἐαθίω γίνεται αἱμόρυον καὶ ἔμ:βρυον.

Ἔμεια. ἔμεσα. ἔστι τόπος πλησίον μυ:κῆνων. ἀπὸ τοῦ ἐμῶ. ἔμεια δὲ λέγεται, ἐπειδὴ ἔμεα μὲν ὁ κέρβερος ἀνέλθων ἐκ τοῦ ᾅδου. ἢ ἐπειδὴ ὁ Θύεστης φαγὼν τὰ τέκνα αὐτοῦ ἐκεῖ ἔμεσεν. ὁ κα. τὰ διὰ τοῦ εια. ὁ ϡ.

Ἐμεῖο. ἐκ τοῦ ἐμοῦ ποιοῦ εἴδους πρωτο:τύπου. κατὰ πόσους τρόπους διαφέρει τὸ πρωτότυπον τοῦ παραγώγου. κατὰ Γ. ὅτι τὸ μὲν ἐμοῦ πρωτότυπον. καὶ γίνεται κατὰ διάλυσιν ἐμέο ἐμεῖο: καὶ ἐμεῦ. τὸ δὲ παράγωγον οὐδαμῶς. καὶ ὅτι τὸ μὲν πρωτότυπον ἐγκλίνεται, καὶ τὸ κατ' ἀρχὴν συμφωνον ἀποβάλλει.

οἷον ἤκουσέ μου. τὸ δὲ παράγωγον οὔτε ἐγ-
-κλίνεται οὔτε τὸ κατ' ἀρχὴν σύμφωνον
ἀποβάλλει. τὸ δὲ ἐμεῖο ἐκ τοῦ ἐμός, ἐμοῦ.
ἐστι δὲ ἡ ἀντωνυμία παράγωγος. ποίου εἴδους
τῶν παραγώγων. κτητικοῦ. σημαίνει δὲ καὶ
κτήτορα καὶ κτήματα. διαλύσει τῆς οὖ
διφθόγγου ἐμεῦ. ἀποβολὴ τοῦ ἐμεῦ. ὡς
ἐν τῷ κεκλητέμεν. αἱ γὰρ πρωτότυποι
ἀντωνυμίαι ἀκλίνονται.

Ἔμεν. εἰς τὸ ἴμεν. ὁ ϟ.

Ἐμῆς ἐν χερσίν.

Ἐμήμυκα. ὑπεμνήμυκα. ἔστιν ἡμύω ὃ ση-
-μαίνει τὸ ἐπικλίνω καὶ καταπίπτω.
ὁ παρακείμενος ἤμυκα. ὁ Ἀτλικὸς ὤφειλεν
ἠμήμυκα. ἀλλ' ἐπεὶ ὁ Ἀτλικὸς παρακει-
-μενος ἀπὸ βραχείας ἄρχεται. τοῦτο
χάριν συνέστη τὸ η. εἰς ε. ἐγένετο ἐμήμυ-
-κας.

Ἐμεῖο. καὶ ἐμοῖο. διαφέρει. ἐμεῖο μὲν
γὰρ ἐστι ἀσυναρθρον. καὶ ὁ ϟ.

——— ἐμεῖο δὲ σύνθεο μύθον.

Ἑλληνικώτατον φησί. τὸ δὲ ἐμοῖο συναρ-
-θροι. οἷον τοῦ ἐμοῦ καὶ μνῆσαι πατρόσταιο
θεοῖς ἐπιείκελον ἀχιλεῦ. ἀντὶ τοῦ σ. πρ.

Ἔμετος. ἐκ τοῦ ἔω. τὸ πέμπω.

Ἐμίχθην. τινὲς δὲ διὰ τῆς ει γράφουσιν
βιαζόμενοι. τὴν παράδοσιν. διὰ τοῦ ι δὲ γρά-
φουσιν. ἐπειδὴ μέμιγα ἐστιν ὁ μέσος παρα-
κείμενος. εἰ δὲ ἐγραφ. διὰ τῆς διφθόγγου.
ὤφειλεν ὁ μέσος παρακείμενος διὰ τῆς οι
διφθόγγου. οἷον μέμοιγα. ἐὰν γὰρ ἐωρεθὴ
τὸ ο ἐν δισυλλάβῳ μέλλοντι ἢ μόνῃ.
ἢ μετὰ τοῦ ι. τότε γὰρ τρέπει αὐτὸ ὁ
μέσος παρακείμενος. οἷον λείψω λέλοιβα.
λείπω λέλοιπα. πείθω πέποιθα. εἰ οὖν
τὸ μίσγω μίξω διὰ τῆς ει διφθόγγου ἦν.
μέμοιγα εἶχεν εἶναι ὁ μέσος παρακείμενος.
ἀλλὰ μὲν μέμιγα ἐστι. δῆλον γὰρ καὶ τὸ
μίσγω. μίξω διὰ τοῦ ι.

Ἐμίχθη. ἀπὸ τοῦ μίσγω ἐστὶ καὶ μίξω.
καὶ ἐμίχθη ὁ ἀόριστος παθητικός.

Ἐμμανουήλ. τὸ ἥμισυ συριστί ἐστι. καὶ
τὸ ἥμισυ ἑβραιστί. τὸ γὰρ ἐμμά. συριστὶ
ἑρμηνεύεται μεθ' ἡμῶν τὸ δὲ νουήλ
ἑρμηνεύεται ἑβραϊστὶ θεός.

Ἔμμαπες. σπουδαίως. ἐνεργῶς. ἑτοίμως.
προθύμως παρὰ τὸ ἅμα ἔπος κατὰ με-
τάθεσιν τοῦ α. εἰς ε. καὶ πλεονασμῶ τοῦ μ.

Ἔμμεναι. ὑπάρχειν. ῥῆμα ἀπαρέμφα-
τὸν ἐνεστῶτος. τὸ γὰρ ὑπάρχω σημαίνει.

καὶ οἱ Δωριεῖς. ἐπὶ τῶν εἰς νᾶι ἀπαρεμφά-
των. ὁ ἐνεστὼς εἰμί. ὁ παρατατικὸς ἦν-
τὸ πλημμυρικὸν ἦμεν. ἀλλ' ὅπερ ἦμεν.
ἡ μετοχὴ εἰς ἐντος. τὸ ἀπαρέμφατον
εἶναι. καὶ δωρικῶς ἔμμεναι. καὶ εἰς τὸ ἴμεν.
Ἔμμορε. ἔτυχεν. ἔλαχεν. παρὰ τὸ μορῶ τὸ
ἐπιτυγχάνω. μορέω. ὁ δώτερος ἀόριστος,
ἔμμορον πλεοναζόντως τοῦ μ. τὸ δωτέρου
ἔμμορες. — δὼ γὰρ κῶπει δ' αἶσαν
ἔμμορες. — καὶ τὸ τείτον τῶν πλημμυ-
ρικῶν ἔμμορον. ὃν ἐμμόρεσαν.
Ἔμμορε. παρὰ τὸ μείρω, μέμορα. μέμορας,
μέμορε. καὶ ἔμμορε καθ' ὑπερβιβασμόν.
Ἔμπεδα. ἑδραῖα. βέβαια καὶ ἀσφαλῆ. ἐν
τῇ ἐστιεισμένα. πέδον γὰρ ἡ γῆ.
Ἐμπεδῶσα. βεβαιῶσα. ἐνισχύσα ἀσφα-
λίσασθαι. καὶ ἔμπεδον ἑδραῖον. καὶ βέβαιον.
παρὰ γὰρ τὸ πέδον ὃ δύναται τὴν γῆν γίνε-
ται εἶμα πεδῶ καὶ ἐμπεδῶ. τὸ δὲ πέδον
παρὰ τὸ ἕζω τὸ καθέζομαι. γίνεται ἕδον
καὶ πλεοναζόντως τοῦ π. πέδον. ἢ παρὰ τὸ
ἕζω τὸ καθέζομαι. τὰ νενομισμένα τοῖς
ἔγγοις αὐτοῖς ἐμπεδῶσαι.
Ἔμπεδον. παρὰ τὸ ἐν τῷ πέδῳ ἑστῶτα
ἄγομαι τῇ γῇ.

Ἐμπείραμοι. πεῖρα ἡ γνῶσις. παρὰ τὸ πεί:
:θω τὸ πιστεύω. καὶ πεῖρα ὁ πειραμός.

Ἐμπειρίμος. ἰατρός. λογιγὴ διαφέρει. ἐμπει:
:ρίμος ἐστὶν ὁ ἐκ συνηθείας τινὸς ἰατρεύς. ἢ
ἄλλοτι ποιῶν δίχα λόγου. λογικὸς δὲ ὁ μετὰ
λόγου τὰς αἰτίας τῶν πραγμάτων ἀποδιδοὺς
καὶ πληρῶν.

Ἐμόγησα. ἔκαμον. παρὰ τὸ μόγος βαρύτονον
γέγονε. μογὸς ὀξύτονον ἐκ τοῦ. ῥῆμα μογῶ.
ὁ μέλλων μογήσω. ὁ ἀόριστος ἐμόγησα. πρῶ:
:της συζυγίας τῶν περισπωμένων.

Ἐμπαθής. ὁ σαρκικός.

Ἔμπαιγμα. ἐκ τοῦ παῖς. παίδος. παίζω
καὶ κατὰ κρᾶσιν παίζω καὶ ἐμπαίζω. καὶ ἐξ αὐτοῦ ἔμπαιγ
:μα.

Ἐμπαγῶ. ὑποτακτικὸν ἐκ τοῦ πήσσω,
πήξω. ὁ δεύτερος ἀόριστος ἔπαγον, ἐπάγην
ὁ παθητικός. ἡ μετοχὴ παγεὶς παγέν:
:τος. καὶ τὸ ὑποτακτικὸν ἐὰν παγῶ.
ὁ ψ:

Ἐμεῖο. δεῖ γινώσκειν ὅτι τὸ ἐμεῖο ἐστὶν
ἀντωνυμίας ὄνομα. καὶ συμεῖον ἐμοῦ.
γράφεται δὲ διὰ τῆς ει διφθόγγου, ἐστὶ
γὰρ ὁ ἐμός. ἡ γενικὴ ἐμοῦ, σοῦ. οὗ. αὗται
αἱ γενικαὶ γίνονται διὰ λέξεως ἐμεο. σέο. ἔσι.

Ἐπειδὴ δὲ αἱ διαλυόμεναι γενικαὶ οὐδέποτε τὰ δύο φωνήεντα. ἔχουσι μακρὰ ἢ βραχέα. ἐπεὶ τὸ μὲν ἓν μακρόν, τὸ δὲ ἕτερον βραχύ οἷς Ἀτρείδεω. Πηλείδεω. ὠκεανοῖο. ποταμοῖο. ἐπλέονασε τὸ ῑ ποιητικῶς, καὶ ἐγένετο. ἐμεῖο. σεῖο. εἶο.

Ἐμπὶς. ἀσπὶς. σημαίνει δύο. τὸ ἑρπετόν. καὶ τὸ ὅπλον. καὶ τὸ μὲν ἑρπετὸν ἀπὸ μετα:φορὰς τῆς ἀσπίδος. τοῦ ὅπλου. οὕτω γὰρ συς:τρέψαν ἑαυτῷ πολεμεῖ, καὶ μάχεται τὸ ὅπλον. γίνεται δὲ τὸ ὅπλον παρὰ τὸ σπίζω. ὃ σημαί:νει τὸ κτείνω καὶ μηκύνω. ὃ μέλλων σπί:σω. σπίς. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἄσ:πις τὸ μὴ εἰς ἔκτασιν μεμηκυμένον, ἀλλ' εἰς περιφέρειαν κεκυκλωμένον. ἀσπὶς ἀσπίδος. διατὶ ὀξύνεται. τὰ εἰς πῑς θηλυκὰ δισύλλαβα. εἰ μὲν ἀπὸ συμφώνου ἄρχονται. βαρύνονται. οἷον τράμπις τράμ:πιδος. ἐστὶ δὲ βαρβαρικὸν ὅπλον. θέσπιδος. θέσπις. κάλπις. κάλπιδος. εἰ δὲ ἀπὸ φωνή:εντος. ὀξύνονται, οἷον ἀσπὶς. ἐλπὶς. ἐμπὶς. σημαίνει δὲ καὶ τὸν κώνωπα. καὶ εἰς θεο:πρόπ.

Ἔμπλαστρον. διὰ τὸ ἐν πλάτει τηρεῖν τὸν τόπον.

Ἔμπλην. πλησίον ἐγγύς. παρὰ τὸ πέλω ῥῆμα τοῦ λοιοῦ τὸ πλησιάζω, καὶ κατὰ συγκοπὴν πλῶ καὶ μετὰ τῆς ἐν προθέσεως ἔμπλην.

Βοιωτοὶ δ' ἔμπλην ἐπ' ἀριστερὰ θωρήσσοντο.

Ἐμπνοῶ. παρὰ τὸ ἄειν ὅ ἐστι τὸ πνέειν. ἔμπνοῶ δὲ τὸν ζῶντα φάμεν. ἢ παρὰ τὸν αἰῶνα τῆς ζωῆς. οἱ γὰρ ζῶντες ἐν χρόνοις καὶ ἔτεσι διαμένουσιν.

Ἔμπυον τὸ ἕλκος. ἄπυος. ὁ δίχα ἕλκους. πῦον καὶ χίμεθλον.

Ἔμπυσα. φάσμα ἑκατήσιον. ἐκ τοῦ ἕνα πόδα ἔχειν. ἢ παρὰ τὸ ἐμποδίζειν. ὄνου σκέλος τὸ ἕτερον ἔχουσα. Deistoph.

Ἔμπορος. ὁ διὰ παντὸς τοῦ βίου τὴν πορείαν ποιούμενος, ἔκδημος.

Ἔμπορος. ἀλλοτρίας νεὼς ἐπιβάτης μὴ ἔχων ναῦν.

Ἔμπορος δὲ ὁ ναυλοῦ πλέων ἐπ' ἀλλοτρίας νεώς.

Ἔμπορος. ὁ πραγματευτής. καὶ ὁ τόπος αὐτὸς ἐμπορεῖον. ἐρώτησις τί λέγεται ἐμπορεῖον. ἁ κατάβολος. ἔνθα καταβάλλει τίς τὴν ἰδίαν εὐπορίαν.

Ἐμφαίνω. τὸ θέμα. ὁ μέλλων ἐμφανῶ. ὁ πρῶτος ἀόριστος ἐνέφανα. καὶ κατὰ Ἀττικὴν τροπὴν τοῦ ᾱ εἰς η ἐνέφηνα, καὶ τὸ

εὐκτικὸν αὐτοῦ ἐμφήναιμι· καὶ οἱ Αἰο-
λεῖς τὰ εὐκτικὰ τοῦ ἀόριστου διὰ τοῦ εἶα
προσφέρουσι· οἷον τύψαιμι· τύψειας·
ἐμφηναιμι ἐμφήνειας·

Ἐμφοροῦν ἤγουν τὸ πληροῦν παρὰ τὸ
ἐμφερῶ γίνεται ἔμφορος· ὁ ἐν αὐτῷ
φερόν τι· ἐξ αὐτοῦ ἐμφορῶ· ἡ μετοχὴ
ἐμφορῶν· ἐμφορούντος· πρώτης συζυγίας
καὶ τὸ ὑδέτερον ἐμφοροῦν· καὶ εἰς τὸ πνα-
τέμφορος·

Ἐμῶ τὸ ξερῶ· τὸ τὴν τροφὴν ἐκπέμπω·
ἐκ τοῦ ἵημι τὸ πέμπω· ὁ μέλλων ἔσω· ὁ
παρακείμενος ἧκα· ὁ παθητικὸς ἧμαι·
καὶ ἐξ αὐτοῦ ῥῆμα· ἐμῶ·

τὸ Ε μετὰ τοῦ Υ·

Εναμβρυνεσθαι· μεγαλοφρονεῖν καυχᾶσθαι
ἀπὸ τοῦ ἐναμβρυνῶ· τοῦτο παρὰ τὸ ἄβρος·
ὅ ἐστι κοῦφος· τὸ δὲ ἄβρος· παρὰ τὸ βάρος
κατὰ συγκοπὴν συντάσσεται πτώσεως δο-
τικῆς·

Ἕν κατα μίμησιν· ὡς τὸ ἅπαξ·

Ἐναβρυνεται· ἐν τρυφᾷ· ἐγκαυχᾶται·
ἁβρὸς γὰρ ὁ τρυφερός·

Ἐναλλάξ· παρὰ τὸ ἐναλλάξω ῥῆμα· ὡς
παρὰ τὸ μίξω ἐπιμίξ· καὶ εἰς τὸ ὑπόδρα·

Ἐνανθρώπησεν. παρὰ τὸ ἐνανθρωπῶ, ἐνανθρωπήσω. ἐνανθρωπήσας. τοῦτο δὲ παρὰ τὸ ἄνθρωπος· ὅτε μὲν ἐστὶ σκῦθετον, τότε γίνεται ἐνανθρωπῶ. ὅτε δὲ ἁπλοῦν, τότε ἄνθρωπος. ἀνθρωπίζω.

Ἐναντίος. ἐκ τῆς ἐν προθέσεως καὶ τοῦ ἀν γίνεται ἐναντίος. διὰ τοῦ ι. τὰ διὰ τοῦ ιος ὀνόματα πρὸ μιᾶς τὸν τόνον ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α μεθ' οὗ ἐπάγεται δύο σύμφωνα ἢ καὶ πλείονα διὰ τῆς ει διφθόγγου γράφονται. οἷον ἀστεῖος. ἀργεῖος. καδμεῖος πλὴν τοῦ ἀντίος. καὶ εἰς τὸ ἀντίος.

Ἔναρα. τὰ ἀπὸ πολέμων λάφυρα. ἐναρίζειν γὰρ ἐστὶ τὸ φονεύειν. καὶ διὰ τοῦτο καὶ οἱ νεκροὶ ἔναροι. ἔναρος ὁ καταχθόνιος.

Ἐναρίζοι. παρὰ τὸ ἐναρίζω. καὶ τὸ ἐνεκτικὸν ἐναρίζοιμι. τὸ δὲ ἐναρίζω παρὰ τὸ ἐναίρω τὸ φονεύω. τοῦτο παρὰ τὸ ἔνω τὸ φονεύω. ὅθεν καὶ ἐνύω ἡ πολεμικὴ θεὸς καὶ ἐνυάλιος. τὸ δὲ ἔνω παρὰ τὸ ἔλω τὸ φονεύω, ~~καὶ τὸ λαμβάνω τὰ βοσκόμενα, ἢ παρὰ~~ ἐξ οὗ καὶ εἷλε καὶ ἀνεῖλεν.

Ἐναρίζει. σημαίνει γ' ἡ λέξις. τὸ σκυλεύω.

καὶ τὸ φονεύω καὶ τὸ λαμβάνω τὰ βαστα-
-ζόμενα. ἢ παρὰ τὸ ἄρω τὸ ἁρμόζω. οἱονεὶ
ἃ ἥρμοσται τῷ σώματι. ὡς ἐπὶ θώρακος
καὶ περικεφαλαίας.

Ἐννάς. παρὰ τὸ ἓν νέον. αὐτὴ γὰρ πο-
-λυπλασιαζομένη ἐπὶ τοὺς ἑξῆς ἀπὸ μονά-
-δος ἀριθμοῦ ἓν ἀνέον ἀριθμὸν φέρει λήγον
κατὰ ὕφασιν μονάδος. ἀπὸ τοῦ ἐννέα ἄχρι
τῆς μονάδος.

Ἔνατος. πόθεν. παρὰ τὸ ἓν νέον αὐτὸν
ἄγειν, ὃ γὰρ οὐχ εὕρηται ἐπὶ ἄλλου ἀριθμοῦ
ἐπὶ τούτου θεωρεῖται. εἰς μονάδα γὰρ λήγει.
ἐννάκις γὰρ ἐννέα. ὀγδοήκοντα μία.

Ἔναυλος. ἔμπνους σημαίνει δὲ καὶ ῥοῶ καὶ
χαράδραν καὶ χειμάρροω. καὶ ἐναυλιζόμε-
-μενον. ἐνοικοῦντα. καὶ νεοστὶ γενόμενόν τι
οἴκημα. σημαίνει δὲ καὶ ἔνυχον αὐλῆ. αὐλὸς
γὰρ πᾶν τὸ στενὸν καὶ ἐπίμηκες. τοιοῦτος
δὲ καὶ ὁ τῶν ὠτῶν τόπος.

Ἔναυλος. πότε διὰ στενοῦ ῥέων. καὶ ἐν αὐλα-
-μνημονεύματα.

Ἐν. γε. δη. τὸ ἐν πρόθεσις γε. δη.
σύνδεσμα.

Ἔνδεια. πενία. λιμός. ἔστιν ὄνομα δέα.
καὶ γίνεται ἐκ τοῦ δέω τὸ χρήζω. καὶ —

πλεονασμῶ τοῦ ῑ. δεῖα. καὶ μετὰ τῆς ἐν προθέσεως ἔνδεια. ἐξ οὗ τὸ ῥῆμα ἐνδεῶ. ἢ μετοχὴ ἐνδεῶν. καὶ τὸ οὐδέτερον ἐνδεόν. καὶ ἀπὸ μετοχῆς παρήχθη εἰς ὄνομα.

Ἐνδελέχεια. ἢ συνέχεια.

Ἐνδελεχέστατα. καὶ ἐνδελεχῶς τὸ συνε:χῶς. παρὰ τὸ ἐνδέχομαι γίνεται. ὄνομα ἐνδεχῆς. καὶ μετὰ πλεονασμοῦ τῆς λε συλλαβῆς ἐνδελεχής. καὶ ἐνδελεχῶς ἐπίρρημα.

Ἔνδινα. τὰ ἔντερα. ἢ ἔνινα τινὰ ὄντα. τὰ ἐντὸς τῶν ἰνῶν.

Ἐνδίνων. τῶν ἐντέρων τῶν ἐντός. ὡς Δίδυμος μαρτυρεῖ. θρασθένδιν. καὶ ἐστὶ παρὰ τὸ ἔνδον ὄντων ϟ.

Ἐνδίνων. σημαίνει δὲ τὰ ἐντόσθια σπλάγ:χνα. καὶ γράφεται διὰ τοῦ ῑ. ὅτι τὰ διὰ τοῦ ῑνος προπαροξύτονα διὰ τοῦ ῑ. ϟ. χωρίς. εἰ μὴ ὦσιν ἀπὸ ἁπλοῦ ἔχοντα τὴν εἶ δίφθογγον. οἷον ξύλινος. κόφι:νος. δρυῖνος. λίθινος. ἀνθρώπινος. μαρμάρινος. οὕτως ὁῶ καὶ ἔνδινος διὰ τοῦ ῑ. καὶ ἐκεῖθεν ἔνδινοι καὶ ἐνδίνων. ἐστὶ δὲ παρὰ τὸ ἐνδός.

Ἐνδίνοισι. τοῖς ἐντοσθίοις μέλεσι παρὰ τὴν ἔνδινος εὐθεῖαν.

Ἐνδέκατος· ἐκ τοῦ εἷς· ἑνός· δέκατος.
καὶ μετὰ τοῦ ν̄ ἀριθμοῦ γίνεται ἐνδέ-
:κατος·

Ἐν δήμῳ· παρὰ τὸ ἔνναι ἐν τῷ δήμῳ.
ἐνδημῶ δε·

Ἐνεργέστατος· καὶ ἐνεργῶς τὸ φανερῶς.
παρὰ τὸ ἀργὸς τὸ σημαίνον τὸ λευκόν.
καὶ καθαρόν· ἐξ οὗ καὶ φανερόν· γίνεται
ἐνεργῆς μετὰ τῆς ἐν προθέσεως· καὶ
ἐναργῶς ἐπίρρημα· ἐκ τοῦτου καὶ ἐνάρ-
:γεια· ἡ φανερότης·

Ἔναυλος· ποταμὸς διὰ στενοῦ ῥέων καὶ
ἐν αὐλαμνημονεύματα·

Ἔνδιος· ὁ μεσημβρινός· παρὰ τὸ ἐνδεῖν
καὶ ἐλαττοῦσθαι τὴν ἡμέραν·

Ἔνδιος· σημαίνει τὸν μεσημβρινὸν καὶ-
:ρὸν διὰ τοῦ ι̅· παρὰ γὰρ τὸ ἰδίειν
ἐστιν ὃ σημαίνει τὸ ἱδρῶ· ἐν γὰρ τῷ καὶ-
:ρῷ ἐκείνῳ ἐστιν ἰδίειν ἤγουν ἱδρῶ·

Ἔνδον· τοῦ ἔσω διαφέρει· ἔνδον μὲν γὰρ
τὸ ἐν τόπῳ σημαίνει· ἔσω δὲ εἰσέρχομαι·
ἁμαρτάνει οὖν ὁ λέγων ἔνδον εἰσέρχο-
:μαι· ἢ ἔσω ἐστὶν ὁ παῖς· Σοφοκλῆς
τὴν διαφόραν συγχεῖ φησί γοῦν ἐν
τραχεινίαις·

β.

Γυναῖκες αἵ τῆς ἔσω στέγης αἵτεκτος. δέον εἰπεῖν. αἵτε ἔνδον γυναῖκες. καὶ Εὐριπίδης.

Καὶ τὸν γέροντα τὴν τ' ἔσω γραῖαν δρόμων. ἀντὶ τοῦ ἔνδον. Εὔβουλος. ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν καλαθηφόροις.

ὅπως δὲ ὀπεύσεσθαι ὅτι γέρων ἔσω. δέον εἰπεῖν ἔνδον.

Ἐνδοιάζειν. ἀπὸ τοῦ δύο ἀριθμοῦ εἴρη:ται. ὃ καὶ διὰ τῆς οι διφθόγγου γράφεται. οἱονεὶ παρὰ τὸ ἐν δύο γνώμαις ἀμφιβάλ:λειν ὁπότερα κρείσσων.

Ἐνάργεια. ἡ λόγων μὲν λευκότης καὶ φανότης. ἐνέργεια δέ. ἡ ἐν τοῖς λόγοις ταχυτής.

Ἕνεκα σύνδεσμος αἰτιολογικός.

Ἐνεγκοῦσαν. μρᾶ. ἢ πρῖδα.

Ἐνέργεια. κατὰ τὸ ἐνεργεῖν τί. ἢ πράττειν. ἐνέργεια λέγεται διὰ τὸ ἐν ἔργοις ἴεναι. ἤγουν φαίνεσθαι.

Ἔνδοξος. καὶ ἐπίδοξος διαφέρει. ἔνδοξος μὲν γάρ ἐστιν ὁ ἐπισήμος. ἐπίδοξος δὲ ὁ προσδοκόμενος. καὶ ἐλπιζόμενος.

Ἐνέδρα. ἔγκριμα. δόλος. παρὰ τὸ ἔζω τὸ καθέζομαι. ἕδρα καὶ ἐνέδρα ἐν ᾗ καθέζονται τινές. μέχρις ἂν ἑλῶσιν—

οὓς ἂν ἐπιβουλεύονται.

ιϝ' Ἐνέθω. τὸ θέμα. ὁ μέλλων ἐνέσω. ὁ παρακείμενος ἤνεκα. ἤνεθα. Ἀττικῶς. τρο:πῇ τοῦ ε̄. εἰς ο̄. καὶ πλεονασμῷ τοῦ ε̄. καὶ ν̄ ἐνήνοθα. καὶ προσέλαβε τὴν ἐπὶ πρόθεσιν, καὶ ἐγένετο ἐπινήνοθε. καὶ τὸ τρίτον πρόσωπον ἐνήνοθεν.

Ἐνεῖκα. σημαίνει τὸ ἤνεγκα. καὶ ἐστιν Ἰωνικόν. ἐστιν ἐνέγκω ὁ ἐνεστῶς. ἐνέγξω. ὁ μέλλων. καὶ ὁ μέσος παρακείμενος ἤνεγκα. καὶ κατὰ πλεονασμόν τοῦ ῑ εἴνεκα. καὶ ἐκεῖθεν ἐνεῖκατο. ἀπαρέμ:φατον διὰ τῆς εῑ. καὶ ὥσπερ ἀπὸ τοῦ αἰεὶ γίνεται ἀιέν. τροπῇ τοῦ ῑ. εἰς ν̄. οὕτω καὶ ἀπὸ τοῦ ἔνεικα. γίνεται ἔνεγκα. διὰ τοῦ γ̄ δὲ γράμματος. ἐπειδὴ ἐπι:φέρει τὸ κ̄. τὸ δὲ ἐπιφερομένου τοῦ γ̄. ἢ κ̄. ἢ χ̄. ἢ ξ̄. ἐν μιᾷ λέξει τρέ:πεται εἰς γ̄. οἷον συγγένεια. συγξηρά:ναι. ἐγκέφαλος. ἔγχος. πρόσκειται ἐν μιᾷ λέξει διὰ τὸ τὸ ἐν χειρὶ ενείκασθαι. ἐνεγκεῖν.

Ἐνείρω ἐμπερονήσω. συναρμόσω. συμπλέξω. συνάψω. εἴρω. ὀνῶ τὸ συμπλέκω. παρὰ τὸ ἄρω ὁ σημαίνει τὸ ἁρμόζω. τροπῇ τοῦ ᾱ εἰς ε̄. καὶ πλεονασμῷ τοῦ ῑ.

Ἕνεκα σωδεσμος. αἰτιολογικός τοῦ οὔ-
νεκα διαφέρει. τό μέν οὖν εἵνεκα σημαί-
νει τό διότι:

οὕνεκα καλόν εἶδος ἐπεὶ ἄλλου.

τό δέ ἕνεκα τό χάριν.

Ἕνεκα ῥίγεδάνης ἑλένης.

Ἕνεκα. τοῦ χάριν διαφέρει. τό ἕνεκα ἐπί
ἐχθρου. τό χάριν ἐπί φίλου. οἷον ὀδυσ-
σεὺς ἐστράτευσεν εἰς ἴλιον Ἀγαμέμνονος
χάριν. ὅτε μέν ἕνεκα ψιλήν τινα αἰτίαν
δηλοῖ. οἷον ἕνεκα μέν Ἀλεξάνδρου καί
Ἑλένης ἐστράτευσεν Μενέλαος ἐπί τρῶαν.
ὁ τό δέ χάριν. μετά τῆς αἰτίας δηλοί καί
τήν χάριν οἷον χάριν. οἷον χάριν Μενελά-
ου ἐστράτευσεν Ἀχιλλεὺς ἐπί ἴλιον. τουτέστιν
χεριζόμενος τῶν μενελάω

Ἐνεκαυχήσαντο. ἐκ τοῦ καυχῶ καυχήσω.
τοῦτο παρά τό καυχος. τοῦτο παρά τήν
αὐχήν. τοῦτο παρά τό ἀδω τό ξηραίνω.
αὐήν καί αὐχήν. τοῦτο παρά τό ὕω
τό βρέχω. καί μετά τοῦ στερητικοῦ ᾱ
ἀΰω τό οὔ βρέχω. καί κατά κρᾶσιν ἀδω.

Ἕνεκάσφιν. ἀντί τούτου χάριν.

Ἐνεκότουν μοι. ἐμηνιάζον. ἔχθραινον.
ἐμίσουν. ἔστι κεῖμαι. καί τό τρίτον κεῖται.

καὶ ἐξ αὐτοῦ κότος. ἢ ὀργή. ἐξ αὐτοῦ
κοτῶ. κοτεῖς. καὶ ἐγκοτῶ. ὃ παρακείμε-
-νος ἐνεκότουν. καὶ τὸ τρίτον τῶν πλη-
-θυντικῶν ὁμοίως. ἔστι δὲ καὶ δευτέρας συ-
-ζυγίας τῶν περισπωμένων. κοτῶ. κοτᾶς.
Ἐνεός ὁ ἄφωνος. ἀπὸ τοῦ τὴν ἰωὴν
παρ' ἑαυτῶ ἔχειν.
Ἐνενήκοντα. εἰς τὸ ἑβδομήκοντα.
Ἐνεώς. εἰς τὸ κωφός.
ὁ ♃ Ἐνεόχμωσεν. ἠλλοίωσεν. ἢ ἐκαινοποίησεν.
ἀπὸ τοῦ νέος καὶ τοῦ ἔχω. νεοεχῶ. καὶ
κατὰ συγκοπὴν καὶ πλεονασμῶ τοῦ μ̄
νεογμῶ. συντάσσεται μετὰ αἰτιατικῆς.
Ἐνέργεια κατὰ τὸ ἐνεργεῖν καὶ πράτ-
-τειν εἴρηται. ἢ διὰ τὸ ἐν ἔργοις ἴεναι.
ἤγουν φέρεσθαι.
Ἔνερθεν. ὑποκάτωθεν. ὑπένερθεν. δύο
μέρη λόγου. υπο πρόθεσις ἔνερθεν ἐ-
-πίρρημα τοπικόν. ἐκ τοῦ ἐνέρου ὃ ση-
-μαίνει τὸν νεκρόν. ὁ ♃. ἄναξ ἐνέρων.
ἐξ αὐτοῦ ἐνέροθεν καὶ συγκοπῇ ἔνερθεν.
ἢ παρὰ τὸ ἔρα ὃ σημαίνει τὴν γῆν.
ἔρα. ἔραθεν. καὶ ἔνερθεν. κατὰ τρο-
-πὴν τοῦ ρ̄. εἰς ν̄. καὶ ἐν τῶ ἔνερθεν.
Ἔνεροι. οἱ νεκροὶ παρὰ τὸ ἐν τῇ ἔρα-

κεῖσθαι ἤγουν τῇ γῇ. ἔνθεν καὶ τὸ πίπτειν
ἔρασε τουτέστιν ἐν τῇ γῇ.

Ἐνέρσα. συμπλοκῇ ἐνέρσει. ἀπρεπεῖ.
ἀναπεπλεγμένῳ. γίνεται ὁμῶς παρὰ τὸ
εἴρω. σημαίνει τὸ συμπλέκω. ἐξ οὗ
καὶ σειρὰ ἡ πλοκή. καὶ πλεονασμῷ τοῦ
σ̄ εἴρσω. ἔρσης ὁμῶς καὶ ἐνέρσης.

Ἐνέσω. ὁ μέλλων. οὗ τὸ θέμα ἐνέθω.
ὁ παρακείμενος ἤνεκα. ἤνεθα Ἀττικῶς
τροπῇ τοῦ ε̄. εἰς ο̄. καὶ πλεονασμῷ
τοῦ ε̄. καὶ ν̄. ἐνήνοθα.

Ἐνετῆσι. περόναις ἀπὸ τοῦ ἐνιέσθαι
τοῖς ἱματίοις. ὅ ἐστιν ἐμπερωνᾶσθαι.

Ἔνεστι τὸ πλῆρες ἔνι ἔστιν.

Ἐνέχειρον. τὸ εἰς ἀσφάλειαν ἀντάλ-
-λαγμα. ἀπὸ τοῦ ἔχω. τὸ κρατῶ.
ἔχυρον καὶ ἐνέχυρον. ἡ παρὰ τὸ ἐχυ-
-ρόν. ὅπερ δηλοῖ τὸ ἀσφαλές.

Ἐνιής. ὁ πρᾶος. καὶ ἡδύς. παρὰ τὸ
ἥδω. τὸ ἥσω. καὶ ὅμηρος. ἥσατο δ' αἰνῶς
καὶ ὅ ϝ. ἐπεί με πρῶτον ἥσας –
ἀντὶ τοῦ ἥδου.

Ἐνιής. ὁ πρᾶος καὶ ἡδύς. παρὰ τὸ νικῶ
καὶ τὸ νικήσω μέλλοντα.

Ἐνήκισεν. ἐμάστιξεν.

Ἐνεύσω. ἀπαγγέλω.

Ἔνερσε. συνέπλεξεν.

Ἐνεφράγην. ἐκ τοῦ φράσσω. ὁ δεύτερος ἀόριστος ἔφραγον. καὶ ὁ παθητικὸς ἐφράγην.

Ἐνέρειν. ὅ ἐστι φονεύειν τὸν ἄρην. διὸς εἶναι παρέπεσθαι αὐτῷ τὸν ἐνυάλιον, ὡς ἀθηνᾶ τὴν νίκην. ὡς ἀρτέμιδι τὴν ἑκάτην. Δημήτριος δὲ τροφὸν ἄρεως φησὶν ἐνυάλιος, συμβίας δὲ θυγατέρα αὐτοῦ. οἱ δὲ διὸς καὶ ἐνυοῦς γενέσθαι τὸν ἄρεα.

Ἐνιχυμένον ἐγκρατημένον. ἐκ τοῦ ἴχω.

Ἐν ἡμίσει. ἐν πρόθεσις. ἥμισει πτώσεως δοτικῆς. ἡ ἐνθεῖα τὸ ἥμισυ. τοῦ ἡμίσεος. τῷ ἥμισει καὶ ἡμίσει. τοῦτο παρὰ τὸ ἥμισυς. τοῦτο παρὰ τὸ ἅμα καὶ τὸ ἴσος. ἁμὰ ἴσυς. ἅμισυς. καὶ ἥμισυς. καὶ ἥμισυ.

Ἔνθους κατὰ συναλοιφήν. ὁ ἐνθεαζόμενος. ἐνθέως. ἔνθους. σελεύκος. ἐν μυσίᾳ. λέγει εἰς ἃ κεραυνὸς εἰσβέβηκεν. ἃ καὶ ἀνατίθεται διΐ. καταβατικὰ λέγονται καὶ τὰ ἄδυτα. καὶ ἄβατα.

Ἐνήνοθεν. ἀπὸ τοῦ ἐνέθω θέμα. οὗ ὁ μέλλων ἐνέσω. καὶ ὁ παρακείμενος

ἕνεκα. ἕνεθα Ἀττικῶς. τροπῇ τοῦ ε̄
εἰς ο̄. καὶ πλεονασμῷ τοῦ ε̄ καὶ ν̄. ἐνή:
:νοθα. καὶ προσέλαβε τὴν ἐπὶ πρόθεσιν.
καὶ ἐγένετο ἐπενήνοθα. καὶ τὸ τρίτον
πρόσωπον ἐνήνοθεν. ἔνθα καὶ ὅπου.
Ἐνήραντο. ἀντὶ τοῦ ἐφόνευσαν. καὶ
γίνεται ἐκ τοῦ ἀναίρω τὸ φονεύω.
Ἐνθάδε. γίνεται ἔνθα τοπικοῦ ἐπιρρή:
:ματος. ἐπεκτάσει τῆς δε̄. καὶ ὤφειλεν
εἶναι ἔνθαδε. ἀλλὰ κανῶν ἐστιν ὁ λέγων.
ὅτι τὰ κατὰ φωνὴν παραχθέντα εἰς
δὲ μηδὲν πλέον τοῦ προτοτύπου σημαίνει.
πρὸ μιᾶς ἔχουσι τὸν τόνον. τοῖος. τοιόσδε.
τῆμος. τημόσδε. τηνίκα. τηνικάδε. τὸ
ἔνθα ἐνθάδε. καὶ ἀποροῦσι τινὲς λέ:
:γοντες. πόθεν γίνεται τὸ ἐνθάδε. καὶ
λέ. ἐκ τοῦ ἔνθεν. πόθεν δῆλον. ἐντεῦ:
:θεν. τὰ εἰς θᾱ δισύλλαβα ἐπιρρήματα
οὐκ ἐκ μεταθέσει ὄντα οὐδὲ ὀξύνεσθαι
θέλουσιν. οἷον λυθά. τριχθά. εἰ οἰω
τὸ ἔνθα οὐκ ἐκ μεταθέσει ὑπῆρχε τοῦ
ἔνθεν ὤφειλεν ὀξύνεσθαι, οὐκ ἄρα ἐστὶ
τὸ ἔνθεν ἐκ τοῦ ἔνθα. τϝ
Ἐνθαδί. δια τοῦ ῑ. ὥσπερ ἀπὸ τοῦ δεῦρο

γίνεται δεῦρι. κατὰ τροπὴν τοῦ ο εἰς
τὸ ι. καὶ ὥσπερ παρὰ τὸ δε γίνεται δι.
κατὰ τροπὴν τοῦ ε. εἰς ι. ἄλλως δὲ
διὰ τοῦ ι. ἐπειδὴ κατ' ἐπέκτασιν ἐστίν.
αἱ δὲ ἐπεκτάσεις οὐ γίνονται διὰ τῆς
ει διφθόγγου. οἷον ἐκεῖνος. ἐκεινοσι.
νυν. νυνί. οὕτως. οὑτοσι. οὕτω καὶ ἐνθάδε
ἐνθαδι. τὸ γὰρ οἱονεὶ καὶ ὥσπερ εἰ διὰ
τῆς ει διφθόγγου γράφεται. οὐ γὰρ ἀντικεῖται
ἡμῖν. ἐπειδὴ οὐκ εἰσὶ κατεπέκτασιν. ἀλλὰ
διάφορα μέρη λόγου εἰσί. τὸ μὲν γὰρ οἱονεὶ
δύο μέρη λογου εἰσί. ἐστι γὰρ τὸ οἷον ὄνομα.
καὶ τὸ ει συναπτικὸς συνδεσμος. τὸ δὲ ὥσπερ εἰ.
γ μέρη λόγου εἰσί. τὸ γὰρ ὡς ἐπίρρημα
παραβολικὸν. τὸ δὲ περ συνδεσμος παραπλη-
ρωματικός. τὸ δὲ ει συνδεσμος συναπτικός.
ἰστέον δὲ ὡς φησὶν ὁ φησὶν ὁ τεχνικός. ἔθος
ἔχουσιν αἱ εἰς συμφωνον λήγουσαι, δέχεσθαι
ἐπέκτασιν τὴν διὰ τοῦ ι νυνί. δεῦρί.
αἱ δὲ εἰς φωνήεν λήγουσαι λέξεις, ἢ τὸ
φωνῆεν τρέπουσιν εἰς ι. οἷον ἐνθάδε.
ἐνθαδί. ἢ τὸ ι. προσλαμβάνει κατὰ
διάστασιν. οἷον αὕτη. αὐτηΐ. τοῦτο. τουτοί.
Ἔνθους. ὁ ὑπὸ θεοῦ κινούμενος. ὁ ἔνθεος.

καὶ κατὰ συναίρεσιν τοῦ ε̄ καὶ ο̄. εἰς τὴν οῦ
δίφθογγον ὁ ἔνθους.

Ενθύμημα. καὶ ἐνθύμιον διαφέρει. τὸ μὲν
γὰρ ἐστιν ἐνθύμημα ποιονοῦ λόγου σχῆμα.
τὸ δὲ ἐνθύμιον ἐτίθετο ἀντὶ τοῦ προτρο-
-παίου ὡς φησὶν Ἀντίφων ἐν τοῖς φοινικοῖς.

τεθνεῶς οὗτος ὑμῖν ἐνθύμιος γενήσεται.

ὁ ϝ.

Ἔνι. ὑπάρχει. ποιοῦ μέρους λογοῦ ἐστι.
ῥήματος. πόθεν δῆλον. ἡνίκα ἐπὶ τῆς προ-
θέσεως πλεονάζει τὸ ῑ. μετάγεται εἰς
ῥηματικὴν σύνταξιν. σημαίνει δὲ τὸ ὑ-
-πάρχω. ὡς τὸ οὐκ ἔνι δοῦλος. οὐκ ἔνι
ἐλεύθερος. καὶ εἰς τὸ πηνίκα.

Ἐνίαυεν εἰς τὸ ἐνιαυτός.

Ἐνιαυτός. ὁ χρόνος. παρὰ τὸ ἐν ἑαυτῷ
εἰληφέναι τοῦ χρόνους καὶ τοὺς μῆνας. τὸ
νῑ. ῑ. διατί. ὥσπερ τὸ ὁμοίϊος. οἱ δὲ παρὰ
τὸ ἰαύω. τὸ ἐνδιατρίβω. ὡς λέγει φι-
-λόξενος, καὶ ἐν συνθέσει ἐνιαύω. καὶ
ἐξ αὐτοῦ ἐνιαυτός. οἱονεὶ ὁ ἐνδιάτριπτος
χρόνος καὶ ὁ ϝ.

Ἔνθα κύκλω ψ ἐνίαυεν πελώριος —

Ἐνιαυτός. παρὰ τὸ ἐν ἑαυτῷ διειληφέναι

τά πάντα καί τοὺς καρποὺς. καί τάς τρο-
:φάς.

Ἔνιγμα ἡ παραβολή. καί ὁ σκοτεινός λόγος
ἐκ τοῦ αἰνίσσω. τό ἐν παραβολαῖς λέγω.
τό αἶ δίφθογγον. διά τί ἐκ τοῦ αἰνός.
ὁ σημαίνει τόν δεινόν καί φοβερόν. τοῦ-
:το ἐκ τοῦ δεινός. αἰνός. οἱ γάρ ἴωνες
ἡνίκα ὕφεσιν ποιήσονται τοῦ συμφώνου.
τότε καί τό παραλῆγον φωνῆεν τρέπου-
:σιν εἰς ᾱ. οἷον δεινός. αἰνός. μέχρις.
ἄχρις. εἰ δέ σημαίνει τό ἐπιπλήσσω. τό
ε̄. ψιλόν ὁ ϝ.

Ἐνιοίκω. ἐν τῷ οἴκῳ. ὀρθοτονεῖται ἡ ἔνι
πρόθεσις. ἐστί κατά πλεονασμόν τοῦ ῑ. ἱστέ-
:ον δέ ὅτι τότε ἀναστρέφονται αἱ προθέ-
:σεις, ὅτε λείπει ῥῆμα. γίνεται δέ ἀντί
ῥήματος οἷον παρ' ἐμοιγε.

παρά γάρ θεοί εἰσί — καί ἡμῖν ἐνητοί
φρένες ὀνκμεαί. καί ὅτε μεταξύ δύο ὀνο-
:μάτων τεθῇ. ἐστί δέ ἡ σύνταξις αὕτη.

ξύλοχον καταβοσκομενάων.

πρότερον δέ τό ὄνομα ἐπί Δυνήεντι.

γηῶν ἄπο καί κλησιάων —

καί ὅτε ὑποτέτακται τινί ἀμέσως οἷον ὦ
ἔπι. ἀντί τοῦ ἐφ' ὦ. καί ὅτι εὑρεθῇ ἐπί

τέλους — ὃν ἀρτέμιδι ξωδ. — εἰ δὲ οὕτως
ἔχοι ὀρθοτονεῖται, καὶ φυλάττει τὸν ἴδιον
τόνον. τὸ δὲ ἔνι ὀρθοτονεῖται μετὰ ὀνό-
-ματος· ἵνα μὴ ἀναστρεφόμενον· σημαίνει
ῥῆμα.

Ἐνιαυτός· παρὰ τὸ ἐν αὐτῷ διειληφέναι
τοὺς καιροὺς καὶ τροφάς.

Ἐνιαυτός. ὅτι ἐν ἑαυτῷ πάντα ἔχει.

Ἐνίοτε. ἐστιν ὅτε. ἐπίρρημα χρονοῦ δηλω-
-τικόν· ἡ ε̅ν προσλαμβάνει τὸ ῑ. καὶ
καταβιβάζει τὸν τόνον. ὁ μ̅ρ̅.

Ἐνίπευς. ὄνομα ποταμοῦ διὰ τοῦ ῑ.
ἀπὸ γὰρ τοῦ ἐνίπη τοῦ σημαίνοντος τὴν
ἁπλὴν γέγονε. καὶ γὰρ οὗτος ὁ ποταμὸς
ἄγριός ἐστι· καὶ ἀπειλοῦντι ἔοικε. τὸ
δὲ ἐνίπη γέγονεν. ἀπὸ τοῦ ἐνίπτω. ὅ
ἐστιν ἡ ἐπίπληξις· καὶ ἡ λοιδωρία.

Ἐνίπη· ἡ διὰ λόγων ἐπίπληξις· παρὰ
τὸ ἔπω καὶ ἐννέπω.

Ἐνίπω τὸ θέμα· ὃ σημαίνει τὸ ἐπιπλήσ-
-σω· τοῦτο δὲ ἐκ τοῦ ἐνέπω, ἐκ τούτου
οὖν γένους τὸ ἐνίπτω· τὸ γὰρ ε̅· ἡνίκα
πλεονασ συμφωνῶ τρέπεται εἰς ῑ· ὃ μέλ-
-λων ἐνίψω· ὃ παρακείμενος ἤνιφα.
ὃ μέσος παρακείμενος ἤνιπα· καὶ —

Ἐπεκτάσει τῆς πᾶ συλλαβῆς ἠνίπαπα.
καὶ ἔχει τὸ π̄.

Ἐνίπτω. διὰ τοῦ ῑ. ἀπὸ γὰρ τοῦ ἐνίπτω
γέγονε τὰ εἰς πτῶ λήγοντα ἀποστρέφον-
-ται τὴν εἶ δίφθογγον. οἷον. ῥίπτω. λίπτω.
σημαίνει δὲ τὸ ἐπιθυμῶ. οὕτω οὖν καὶ
ἐνίπτω χωρὶς τοῦ φιλαλείπτω καὶ ἐρείπ-
-τω. ἐξοῦ τὰ ἀνηρείπτω ὅ ἐστι τὸ ἁρπά-
-βω ομ.

Ἔνισπεν. εἶπεν ῥῆμα χρόνου ἀορίστου
ἢ ἐνεστῶτος. καὶ παρατατικοῦ. ἁπλὴ δὲ
ἡ λέξις αὐτοῦ ἀπὸ τοῦ ἴσπω ἐνίσπω.
καὶ ἔνισπεν. ὡς ἔκλαυνεν ἔλαυνεν.

οὕτω καὶ σῦ δή μοι νημερτὲς ἔνισπες.
οὕτω καὶ ἰσχῶ. ἴσχον. οὕτω σπῶ ἴσπον.
καὶ ὥσπερ ἔσχον. σχὲς. οὕτω καὶ ἴσπον
ἴσπες. ἴσπε. καὶ ἔνισπεν.

Ἐννέα. ἀπὸ τοῦ ἐνδεῖν εἰς τὸν τῶν δέ-
-κα ἀριθμόν.

Ἐννέα. διὰ δύο ν̄ν̄. καὶ ἔνατο δὶ ἑνὸς ν̄.
ψιλοῦται. τὸ δὲ ε̄. πρὸ τῶν δύο ν̄ν̄ ψι-
-λοῦται. ὁμοίως καὶ πρὸ τοῦ ἑνός. χωρὶς
τῶν σεωδέσμων, καὶ εἰ μὴ ἐγκλίσεως εἴη.
οἷον ἔνδω. ἔνδιοι. διὰ τοῦ η̄ πάλιν
οἷον ἦνις ἡ κέστης. τὸ ἥνια ἐπειδή-

παρὰ τὸ νήσω μέλλοντα γίνεται, ὁμοίως
τῷ ποιήσαντι ἐδασυνήθη. προσκεῖται χω-
ρὶς τῶν συνδέσμων διὰ τὸ ἕνεκα. εἵνεκα.
Ἐννέα. παρὰ τὸ ἐν. καὶ τὸ νέα. σεσυ-
μείωται κατὰ πνᾶ τοῦ ἐννέα. ἐπειδὴ
εἰ ἐδασύνετο ἐν λόγῳ ἀνεφίκτῳ μεθίστατο.
αἱ γὰρ ἁπλαὶ φωναὶ τῶν ἀριθμῶν θεμα-
τικαὶ οὖσαι. οὐ παραδέχονται ἑτέρου
ἀριθμοῦ ἔννοιαν. καθ' ὅτι αἱ συνθετοι
τὸ τοιοῦτον ἀναδέχονται. ὡς ἐν ἁπλαῖς
φωναῖς. τὸ δύο. τρεῖς. τέσσαρες. πέντε
ἑπτά. ἐν δὲ συνθέτοις δύο καὶ δεκα. τρίς καὶ
δεκα. καὶ τὰ ἑξῆς. εἴπερ οὖν ὁ ἐννέα
ἀριθμὸς ἐδασύνετο καὶ ἔννοιαν ἀνεῖχε-
κατ' ἀρχὴν συνθέσεως. ὁμοίως τὸ ἕνδεκα.
Ἐννάς. ἐννὰς λέγεται παρὰ τὸ ἐν νέον.
αὕτη γὰρ πολυπασιαζομένη ἐπὰ τῇ
ἐξῆς ἀπὸ μονάδος ἀριθμοὺς ἕνα νέον
ἀριθμὸν φέρει. λήγοντα κατὰ ὕφεσιν
μιᾶς μονάδος. ἀπὸ τοῦ ἐννέα ἄχρι τῆς
τῆς μονάδος. οἷον ἅπαξ θ. ἐννέα.
δὶς ἐννέα. ιη. τρὶς θ. κζ. τετράκις θ.
λϛ. πεντάκις. θ. με. ἑξάκις. θ. νδ.
ἑπτάκις θ. ξϛ. ὀκτάκις θ. οβ. ἐννά-
κις θ. πα. ὥρα οὖν πῶς ὁ ἔνατος
πολυπλασιαζόμενος κατὰ πρόσβασιν

ἀφαίρεσιν πάσχει μιᾶς μονάδος. θβ.
ιη. θγ. κζ. θδ. λς. θε. με. θς.
νδ. θζ. ξγ. θη. οβ. θθ. πα.

Ἐννέωροι. ἀντὶ τοῦ ἐνναιετεῖς. παρὰ τὸ
ὦρος τὸ σημαίνον τὸν ἐνιαυτὸν, ὁ ϝ.

Ἐννῆμαρ. ἐπὶ θ. ἡμέρας. κἂν παρὰ τὸ
ἦμαρ συντεθῇ, οὐκ ἔστιν ὄνομα. ἀλλ' εἰς
ἐπιρρηματικὴν καὶ ἄκλιτον σύνταξιν.
καὶ σημαίνει χρόνον τινὰ ἢ καιρόν. τοιοῦ-
-τον ἐστὶ καὶ τὸ ἑξῆμαρ καὶ αὐτῆμαρ.
καὶ παννῆμαρ. δεῖ γινώσκειν ὅτι οὐδὲν
τῶν εἰς αρ συντιθεμένων διὰ τοῦ ι
γράφονται. οἷον ἑξῆμαρ. αὐτῆμαρ.
τὸ δὲ ἦμαρ ἀεὶ μετὰ ἀκλίτων τάττεται
ἐννῆμαρ. ἐχρῆν δὲ αὐτὸ προπαροξύνεσθαι
ὡς παρ' οὐδετέρω συγκείμενον. ἐπειδὴ
ὁ τόνος παρηλλάγη ἐπειδὴ καὶ ξένη ἡ
σύνθεσις. τὰ δὲ ἀπὸ τοῦ ἦμαρ σύνθετα
ἐπιρρήματα προπερισπῶνται. οἷον ἑξῆ-
-μαρ. ἐννῆμαρ. οὐδὲν γὰρ τῶν εἰς αρ
συνθέτων οὐδετέρων.

Ἔνδω. καὶ ἔω καὶ εἴουν. καὶ ἕω. καὶ εἵον.
παρὰ τὸ ἕω τὸ ἐνδύομαι. πλεονασμῷ τοῦ
ν. ἕνω καὶ κατὰ παραγωγὴν ἔνδω. καὶ
πλεονασμῷ τοῦ ι. εἴνδω. καὶ οἱ Αἰολεῖς
τρέπουσι τὸ ἐπιφερόμενον εἰς ἀμετάβολον

καὶ γίνεται ἐννύω καὶ ἀμφιεννύω.

Ἐνόθω. εἰς τὸ ἐπενήνοθεν.

Ἐνοπή. κραυγή. φωνή. εἴρηται δὲ παρὰ τὸ ἐνέπειν ὅ ἐστι λέγειν καὶ λέγεσθαι.

Ἐνωπὴ δὲ ἡ πρόσωψις.

Ἐνωπὴ δὲ ἡ μάχη. τὸ ἐνοπὴ καὶ κλαυγή. ἐπίρρημα ἐστὶ ποιότητος. ὡς τὸ σιγή. γίνεται παρὰ τὸ ὄψ. ὃ σημαίνει τὴν φωνήν. καὶ γράφεται διὰ τοῦ ο μικροῦ. λοιπὸς ἐκ τῆς ὁπὸς γενικῆς γίνεται. μετὰ τῆς ἐν προθέσεως ἐνοπή. ὃ καὶ τὸ ἀπὸ διαφόρων πτώσεων.

Ἔνος. εἰς τὸ ἄφενος. καὶ ἔνεω τὸν καὶ ξένος καὶ ὀλβιόδης. καὶ ὀπηνίκα.

Ἔνοσις. εἰς εἰνοσίφυλλον.

Ἐνόσω. εἰς τὸ ἐπενήνοθεν.

Ἐνοχλῶ. ἐκ τοῦ ὄχλος. τοῦτο παρὰ τὸ ἄχλυς. τοῦτο παρὰ τὸ ἄγαν καὶ τὸ εἱλῶ. τουτέστιν ἡ ἄγα ἀποκρύπτουσα καὶ συγκλείουσα. ὁ μ.

Ἐνταῦθα. ἐπίρρημα τοπικόν.

Ἔντεα. ὅπλα εἴρηνται δὲ ἀπὸ τοῦ ἐντός περιέχειν καὶ σκεπάζειν τὸ σῶμα. ἢ παρὰ τὸ ἐντός. περιλαμβάνειν τὸ σῶμα. οἷον σκεπαστήρια τινὰ ὄντα. λέγεται δὲ καὶ τὰ πρὸς τὴν ἐνωχίαν σκέση. ἔντεα.

ὣς ἐκεῖ

Μνηστῆρες ἀπεκόσμεον ἐντεα δαῖτα.

Ἐνοσίχθων. ὁ τὴν γῆν κινῶν ποσειδῶν ἔνοσις γὰρ ἡ κίνησις λέγεται. δοκοῦσι γὰρ οἱ σεισμοὶ ἐξ αὐτοῦ εἶναι.

Ἐντεριώνη. τὸ ἐντός. καὶ εἶδος βοτανῆς. ὁ φλοιὸς τοῦ δένδρου.

Ἐν τοῖς κλίτεσιν. ἡ εὐθεῖα τὸ κλῖτος. σημαίνει δὲ τὴν γωνίαν. παρὰ τὸ κλίνειν.

Ἔντομα. τὰ τοῖς κατηχομένοις θυόμενα. ἐντέμνεται γὰρ τούτων ὁ τράχηλος. τὰ δὲ τοῖς ὀνοῖς θεοῖς ἀνακλᾶται.

Ἔντερα. παρὰ τὸ δι' αὐτῶν ῥεῖν τὴν τροφήν. καὶ ἔντερον τὸ ἀπ' αὐτῶν περίττωμα. ἢ διὰ τὸ ἐντὸς ῥεῖν. ἢ παρὰ τὸ ἐντὸς εἰλεῖσθαι ἔντελον τι ὄν. τὸ ἐντὸς εἰλούμενον.

Ἔντερα. παρὰ τὸ ἐντὸς ἀρηρέναι.

Ἐντόσθια. καὶ ἐνδόσθια. παρὰ τὸ ἐντὸς ἐπίρρημα ὃ σημαίνει τὸ ἔσω. ἐντόσθια τὰ ἔσω τοῦ σώματος. κείμενα. οἱ δὲ λέγουσιν ἐνδόσθια.

Ἐνυαλίοντος. ὁ ἄρης. ἢ ὁ πολεμιστής. ἢ ὁ πολεμικός. ἢ ὁ πόλεμος. ἐπηχοῦσθη τορον τι

καὶ ἐνυάλιον τὸ πολεμικόν. παρὰ τὴν ἐνδω προστὰν ἢ δαίμονα τοῦ πολέμου εἶναι κτητικῶ τύπω ἐνυω. ἔνυος καὶ πλεὸν ἀσμω. τῆς ἀλι ἐνυάλιος. ὁ προσφιλὴς τοῖς τῆς θεᾶς τῆς ἐννυοῦς ἔργοις. καὶ αὐτὸς ὁ πόλεμος.

πολε
ου

Ἐνύπνιον. ὄναρ. ὄραμα. ἐπίρρημα. ἀπὸ γὰρ ὀνόματος μετήχθη εἰς ἐπίρρημα, ἀντὶ τοῦ ἐνυπνίως ἢ ἐν ὕπνω.

Ἐνυω. ὁ πόλεμος. παρὰ τὸ ἐνύειν ὅ ἐστι βοᾶν

Ἐνύπνιον. διὰ τὸ ἐν ὕπνω ὄν. καὶ μόνον ὄν.

Ἐνδω. παρὰ τὸ ἐναδειν ὅ σημαίνει τὸ ἐκφωνεῖν. τινὲς δὲ παρὰ τὸ ἐναδω. ὅ ἐστι φονεδω. ὅθεν καὶ αὐτοέντος. παρ' αὐτοῖς δὲ καὶ ὁ ἐνυάλιος.

Ἐντεριωναι καὶ θριδακικίναι.

Ἐνυω. πολεμικὴ θεός. ἀπὸ τοῦ ἐνδειν τοῖς πολέμοις τὴν μάχην. ὅθεν καὶ ὑσμίνη ἢ μάχη. καὶ εἰς τὸ ἄποινα. οὕτω φιλόξενος.

Ἐνύσταξαν. τὸ θέμα νυστάζω. τοῦτο παρὰ τὸ νευστάζω. τοῦτο παρὰ τὸ νεδω. τί διαφέρει τὸ κινεῖν καὶ νευστάζειν. τῇ μὲν φωνὴ διαφέρει. τῷ δὲ σημαινομένῳ οὐδαμῶς.

ἴσον γάρ ἐστι τό κινεῖν καί τό νευστάζειν.
καί ὅ ᾧ.

νευστάζων κόραν θαβριαρῆ. — καί τό
νευστάζων κάραν ἰούδας.

Ἐν τεύξις. ἡ ἐντυχία. καί παράκλησις. ἐκ
τοῦ τεύχω τοῦ σημαίνοντος ἐντυγχάνω.
δύο γάρ σημαίνει ἡ λέξις. τό καταβκευά:
:ζω. καί τό ἐντυγχάνω. καί εἰς τό ἐτύχ:
:θη. καί τέτυκται.

Ἐν χρῷ. ἐγγύς καί πρός αὐτῷ τῷ χρωτί.
ἀποκοπῆ τῆς τῖ βυλλαβῆς. μετά τῆς ἐν
προθέσεως. ἐν χρῷ γάρ καί μετά τοῦ ν̄
καί μετά τοῦ γ̄.

Ἐν χρῷ κόσμησις. ἰστέον ὅτι δύο μέρη
λόγου εἰσί. τό ἐν χρῷ. πρόθεσις. δηλονό:
:τι καί ὄνομα. καί οὐχ ὡς τινές ἐνόμισαν.
ἐπίρρημα. καί προσγραφομένου μέν
τοῦ ῑ. ἡ κλίσις τοῦ χρωτός Ἀττικῆ.
ὁ χρῶς. τοῦ χρῶ. τῷ χρῷ. τόν χρῶν.
ὡσ' παρ' Ἀττικοῖς ὁ γέλως. τοῦ γέλω.
τῷ γέλω. τόν γέλων. μή προσγραφομένου
δέ. εὔδηλον, ὡς ἀποκοπῆς γενομένης.
τῆς τελευταίας συλλαβῆς. ἐν χρῷ εἴ:
:ρηται. χρωτί γάρ καί ἀποκοπῆ ἐν χρῷ
δέ κόσμησιν λέγομεν. τήν ἐν χρωτί ἤγουν
εἰς βάθος κουράν πρός αὐτῷ τῷ σώματι.

Ἕνωσις ἡ κράτησις.

Ἕνωσις. διὰ τὸ εἰς ἓν συνωθεῖσθαι τὰ πράγματα.

Ἐν δίνοισιν. ἐν τοῖς ἀκάτοις ἐστὶ δινὴ ἡ συστροφὴ καὶ οὐδέτερον. τὸ δῖνος τοῦ δίνου: τοῖς δίνοις. ἢ τὸ δίνον. τοῦ δίνου τοῖς δίνοις καὶ δίνοισιν.

Ἔνω. τὸ φονεύω. ὅθεν καὶ ἐνυὼ ἡ πολεμικὴ θεός, καὶ Ἐνυάλιος. τὸ δὲ ἔνω παρὰ τὸ ἕλω τὸ φονεύω. ἐξ οὗ καὶ εἷλεν καὶ ἀνεῖλεν.

τὸ Ε μετὰ τοῦ Ξ :—.

Ἐξ πόθεν. παρὰ τὸ ἐξιβάζειν αὐτὸν τοῖς οἰκείοις μέρεσιν.

Ἐξ πρόθεσις. εἰς τὸ εἴσω.

Ἑξάδιος. ὁ ἐξωχὴν ἐν διώκειν ἔχων.

Ἐξαιρέτως. ἐπίρρημα μεσότητος. τὸ ἀρσενικὸν ὁ ἐξαίρετος. καὶ τὸ θηλυκὸν ἡ ἐξαιρετή. γίνεται ἐκ τοῦ ἐρῶ τὸ ἐπιθυμῶ σεσημείωται τὸ αἱρῶ. δασύνεται. αἱρῶ οὖν αἱρετός. καὶ ἐξαίρετος. προπαροξύνεται δὲ. ἐπειδὴ τὰ διὰ τοῦ ετος ὑπὲρ δύο συλλαβὰς προπαροξύνεσθαι θέλουσιν. οἷον ἀριδείκετος. ἀμαιμάκετος.—

παλινάγρετος χωρὶς τὸ μὴ ἁπλᾶ
ὄντα. περὶ τοῦ ε. τὸ π ἔχει. εἰ
ἀπὸ εὐμάτου δωδέκατον γέγονε. διὰ τὸ
ἐπαινετὸς καὶ ἐπαινέω. δυσμενέω
ται τὸ ἀφυγκτός. ὁ δυσαίνει τὴν
ἀκαθαρσίαν. περίδυσιτα τὸ μὴ ἁπλᾶ
ὄντα. περὶ τοῦ ε. τὸ π ἔχει. διὰ
τὸ ἰαπετός.

Ἐξαίρετος. ὠφελής. καλός. περίκειτος
λίαν. ἐπίλεκτος.

Ἐξαιρέτως. πλέον πάντων

Ἐξαίσιον. παρὰ τὸ καθῆκον γινόμε
νον μέγα παράδοξον.

Ἐξαίσιον. ποτὲ μὲν δηλοῖ τὸ ἀγαθόν.
ποτὲ δὲ τὸ ἀγαθόν. τὸ ἔξω τοῦ περί
σσου.

Ἐξαίσιον. τὸ ἄδικον. τὸ ἔξω τῆς
αἴσης. ὑπερμέτρως.

Ἐξαλαπάξαι. φθεῖραι. ἐκ τοῦ λά
παθος. ὅτις ἐστὶ βοτάνη κενωτική
καθαρτικὴ γαστρός. καὶ γίνεται παρὰ
τὸ λᾶ ἐπιτατικὸν καὶ τὸ πάθος.
παρὰ τὸ λίαν ἄπονον ἡμῶν ποιεῖν
τὰ πάθη. ἐκ τούτου γίνεται λαπάξω.
καὶ πλεονασμῷ τοῦ α ἀλαπάξω. καὶ
ἐξαλαπάξαι.

Ἐξακεδόμενον· ἐξιώμενον· παρὰ τὸ ἀ:
:κεδω ῥῆμα κατὰ τὸν παρατατικὸν
ἰωνικὸν ἐκ τοῦ αὐτοῦ ἤρξατο στοιχείου.
Ἐξαιρουμένους· λελυτρωμένους τὸ
θέμα· ἐξαιρῶ· καὶ τὸ παθητικὸν ἐξαι:
:ρουμαι· καὶ ἡ μετοχὴ ἐξαιρούμενος·
τοῦτο δὲ παρὰ τὴν ἐξ πρόθεσιν καὶ
τὸ αἱρῶ· τὸ ἐπὶ κακῶ παραλαμβανό:
:μενον ὅπερ καὶ περισπᾶται καὶ δα:
σύνεται· ἐξ οὗ γίνεται καὶ διαιρῶ
καὶ συναιρῶ· καὶ καθαιρῶ καὶ ἐξαιρῶ
καὶ ἀφαιρῶ· ὅταν δε βαρύνεται καὶ
ψιλοῦται, καὶ ἐπὶ κακῶ παραλαμβάνε:
:ται· οἷον αἴρω· ὑπαίρω· καθαίρω·
καὶ εἰτὶ ὁμοῖον·
Ἐξανέψιοι· καὶ ἐξανεψιοὶ διαφέρει· βα:
ρύνονται μὲν οἱ ἀμέριμνοι· ὀξύνονται
δὲ οἱ πρὸς γένος·
Ἐξάντης· ἐξεστηκός· μαινόμενος καὶ
εὐλαβής·
Ἐξ ἀνυμφεύτου· ἐστὶ νύμφη· ἐκ τούτου
παράγωγον νυμφεύω· καὶ ῥηματικὸν
ὄνομα νυμφευτός· τὸ δὲ νύμφη· ἀπὸ
τοῦ νέαν φαίνεσθαι·
Ἐξανθήσουσιν· ἐκ τοῦ ἀνθῶ· τοῦτο πα:
:ρὰ τὸ ἄνθος· τοῦτο δὲ παρὰ τὸ ἄνω
θέειν·

Ἐξαμείβεται· παράλλαξον· ἀποδίδου.

Ἐξ κούβιτος· ἐξ οὗ ἡ ζωὴ· βίτα γὰρ ἡ ζωή.

Ἐξπλωράτορες· κατάσκοποι.

Ἐξκουλήεσθαι· παρακροάσασθαι.

Ἐξοκούσατος· παρητημένος· ἐστι δὲ ῥῆμα συλλογιστικόν.

Ἐξαλαπάξαι· πορθῆσαι· παρὰ τὸν λάπαθον· ἐστι δὲ εἶδος βοτάνης καθαρ-τικῆς γαστρός· ὁ λάπαθος.

Ἐξάπινα· ἐκ τοῦ ἄφνω ἄφινα· καὶ ἄπινα· κατὰ συγκοπὴν ἄφνω καὶ ἐξαίφνω καὶ ἐξ αὐτοῦ ἄπινα.

Ἐξάπινα· σημαίνει τὸ ἐξαίφνης· ἐστιν ἐξαίφνης καὶ ἐξ αὐτοῦ γίνεται ἐξαίφινα· καὶ ἀποβολῇ τοῦ ι̅· ἐξάφινα· καὶ τρο-πῇ τοῦ φ̅ εἰς π̅ ἐξάπινα.

Ἐξαίφνης· ἐκ τοῦ φαίνω· ἀφανής· καὶ ἐξ αὐτοῦ ἄφνης καὶ ἐξ αίφνης.

Ἐξαπινέως· ἐκ τοῦ ἐξάπινα· ὅ ση-μαίνει τὸ εὐθέως.

Ἐξήλειψα· ἠφάνισα.

Ἑξὰς· οἱονεὶ ἐξισὰς· παρὰ τὸ ἐξισοῦσθαι τοῖς οἰκείοις μέρεσιν· εἴρηται γὰρ ὅτι ὁ ἕκτος τέλειος ἐστί· διότι ἴσος ἐστὶ

πᾶσι τοῖς ἑαυτοῦ μέρεσι. το τ̄. τό τρί:
:τον. β̄. καί το ϛ̄ ὕσυντεθέντα. τ̈
ἕξ ἀποτελεῖ.

Ἐξ ἐρημέων. ἐξ ἐρήμων ἰωνικῶς. ὥσπερ
αὐτῶν αὐτέων. εἰ δὲ διὰ τῆς αι διφθόγ:
:γου γράφεται τό με ἐστί κτητικόν.

Ἐξαρτῶ τό κρεμῶ. καί ἐξαρτήσαντες τό
κρεμάσαντες. ἐξ οὗ καί ἐξάρτια. τά
βαστάζοντα σχοινία τήν σθόνην τοῦ πλοίου.
καί ἐξαρτῶ τό τελειῶ. καί ἐξαρτήσαντες.
δέ τό τελειώσαντες. ἐξ οὗ καί ἄρτιον
τό τέλειον.

Ἑξάς. οἱονεί ἐξισάσας. παρά τό ἐξισοῦσθαι
τοῖς οἰκείοις μέρεσι.

Ἐξάπινα. ἐπίρρημα. γίνεται δέ παρά
τό ἀφανής ἀφινά καί ἄπινα. ὁ μ.

Ἐξ ἐρεβεν ἐκ τοῦ ἐρέβους. ὅ ἐστι τοῦ
σκότους. ἔστι δέ ὅ πρό τοῦ ταρτάρου
τόπος. καί εἰς τό ἐρέβος.

Ἐξείδιον. γέγονεν ἀπό τῆς ἕξεως γενι:
:κῆς. ὥσπερ λέξεως λεξείδιον.

Ἐξείληφα. λήβω τό λαμβάνω. λήψω
λέληφα. ἀποβολή τοῦ λ̄ πρό τοῦ ε̄.
καί ἐφ' ὧν αἱ Ἀττικοί ἀποβάλλουσι τόν
σύμφωνον, κατά τόν παρακείμενον
πλεονάζει τοῖ. οἷον μέμαρκα. εἴμαρ:
:μαι.

Ἐξεῖρψεν. ἐξήνεγκεν. ἐξέβαλεν. ἔστιν ἔρα ἡ γῆ. καὶ ἐξ αὐτοῦ γίνεται ἕρπω τὸ σύρομαι. ἐξ οὗ καὶ ἑρπετὸν τὸ συρόμενον ἐπὶ τὴν γῆν. καὶ ὁ μέλλων ἕρψω καὶ ὁ ἀόριστος. εἷρψα. καὶ τὸ τρίτον εἷρψε καὶ ἐξεῖρψε. σκίψ ἐκ τοῦ ἕρπω. ἕρψω. εἷρψα. εἵρψειν.

Ἐξελεύθερος. καὶ ἀπελεύθερος διαφέρει. ἐξελευθέρους μὲν γὰρ λέγουσι τοὺς διὰ χρέους προσυθεὺ τοῖς δανεισταῖς γενομένους. ἀπελευθέρους δὲ τοὺς ἔπειτα ἀπολυθέντας συνηθεὶς.

Ἐξελοῦμαι. παρὰ τὸ ἑλῶ τὸ λαμβάνω. ὁ μέλλων ἑλῶ. ὁ δεύτερος ἀόριστος εἷλον. καὶ ὁ μέσος ἀόριστος εἱλόμην. καὶ τὸ προστακτικὸν εἷλοῦ καὶ ἐξελοῦ.

Ἐξαιρουμένους. τὸ θέμα ἐξαίρω. ἐξαιροῦμαι. ἡ μετοχὴ ἐξαιρούμενος. τοῦτο δὲ παρὰ τὴν ἐξ πρόθεσιν καὶ τὸ αἴρω. τὸ ἐπὶ κακῶ παραλαμβανόμενον. ὅπερ καὶ περισπᾶται καὶ δασύνεται. ἐξ οὗ γίνεται διαιρῶ καὶ συναιρῶ. καὶ καθαιρῶ. ἐξαιρῶ καὶ ἀφαιρῶ. ὅταν δὲ βαρύνεται καὶ ψιλοῦται ἐπὶ κακῶ παραλαμβάνεται. οἷον αἴρω. ὑπαίρω καὶ καθαίρω.

Ἐξέμεθον· ἐξ ἐμοῦ κατ' ἐπέκτασιν.

Ἐξεστικῶς· διχῶς λέγεται παρὰ Θουκυ=
=δίδῃ, καὶ πινδάρῳ· ὅτι τὸ μὲν μαί=
=νεσθαι καὶ ἔκφρονα εἶναι· ὅτι δὲ τὸ
ὑπαναχωρεῖν καὶ ὑπέρχεσθαι· ἢ ἀ=
=φίστασθαι.

Ἐξερευνήσατο· τὸ θέμα ἐξερεύνω,
ἢ παρὰ τὸ ἐρωτῶ καὶ τὸ εὐνῇ, ὃ
σημαίνει τὴν διατριβήν· καὶ γὰρ ὃ ἐ=
=ρευνῶν ἐπὶ πολὺ ἐρωτῶν ἐνδιατρίβει.

Ἐξήκοντα· ἐκ τοῦ ἑξ γέγονε δωρικῶς
τοῦ ᾱ εἰς ε̄ τραπέντος.

Ἐξετάζω· παρὰ τὸ ἐτεὸν ὃ σημαί=
=νει τὸ ἀληθές· ἐτεάζω· καὶ ἐτάζω·
καὶ ἐτετάζω τουτέστι τὸ κατ' ἀλή=
=θειαν ἐξετάζω· καὶ εἰς τὸ ἐτάζω.

Ἐξέτιλα· ἔκκοψα· ἐστὶ τείνω· καὶ
ἀποβολῇ τοῦ ε̄ καὶ τροπῇ τοῦ ν̄ εἰς
λ̄· γίνεται τίλλω ῥῆμα· καὶ ση=
=μαίνει τὸ ξαίνω καὶ μετὰ τῆς ἐξ
προθέσεως ἐκτίλλω· ὃ μέλλων ἐκ=
=τιλῶ· καὶ ὃ ἀόριστος ἐξέτιλα·
μακρὸν τὸ ῑ.

Ἐξετρῶ· παρὰ τὸ τρῶ· τὸ δηλοῦν
τὸ κόπτω τρώσω· καὶ τρῶ· τρώσεις
καὶ ὁ μ̄. — οἶνος ἐτρώσει μελοειδής.

ἐκ τοῦ τρῶ δὲ τρῶμαι· καὶ ἔτρων·
ἔτρως καὶ ἐξετρῶ·

Ἐξέφηνεν· ἐξεῖπε· τὸ θέμα φαίνω·
ὁ μέλλων φανῶ· ὁ ἀόριστος ἔφανα·
καὶ ἐξ αὐτοῦ ἔφαναν· αἱ ἀστραπαίσου·
καὶ κατὰ ἴωνας τροπῇ τοῦ ᾱ· εἰς η
ἔφηνεν·

Ἐξήνιοι· ἀλλότριοι· παρὰ τὸ ἔξω ἡ
νίων γενέσθαι· ἠνίαι δὲ τὰ λῶρα· ἐκ
μεταφορᾶς τῶν ἑρμάτων·

Ἐξίλασμα· παράκλησις· παρὰ τὸ ἱλάω·
ἱλῶ· ἱλάσω· ὁ παρακείμενος ἵλακα·
ὁ παθητικὸς ἵλασμαι· καὶ ἐξ αὐτοῦ
ἐξίλασμα·

Ἐξίτιλον· ἀμαυρόν· ἀφανές· εὐτελές·
χαῦνον· ἐκ μεταφορᾶς τῆς πορφύρας·
ἥτις ὅταν μὴ ἔχῃ τὸ βάμμα δασοποιὸν
τῶ χρόνω· ἐξίησι τὸ θᾶλλον· τὸ θέμα
κυρίως ἐπὶ τῶν βαπτομένων ἐρίων·
Δασοποιὸς γὰρ λέγεται βαφή· ἡ ἔμ
μονον καὶ δυσέκπλυτον ἔχουσα τὸ
ἄνθος· καὶ πλάτων· καὶ δόξον δασο
ποιὸν εἴρηκε τὴν ἔμμονον· καὶ δασο
ποιὸν πονηρίαν· ἀντὶ τοῦ ἔμμονον
καὶ δυσέκπλυτον καὶ τὸ ἕτοιμον τῆς

Λέξεως ἐντεῦθεν. δυμαίνει δέ τὸ ἀφανές. παρά τὸ ἐξιέναι τοῦ δήλου. ὅτι ἐστὶ τοῦ φανεροῦ.

Ἐξίτυλος. ἐκ τοῦ ἴημι τὸ πορεύομαι ἐν πλεοναδμῷ. τοῦ τ καὶ ἀποβολῇ τῆς μὶ δυλλαβῆς. καὶ προαιθέσει τοῦ λος. γίνεται ἐξίτυλος. ἐκ τοῦ ἔξωθεν φάλλειν. ἐξίδυλος καὶ τροπῇ τοῦ δ. εἰς τ. ἐξίτυλος. δυμαίνει δέ τὸ ἀμαθρὸν καὶ ἀφανῆ.

Ἐξίτυλον. τὸ ἐκβεβυκὸς καὶ ἀλλοῖον. ὁἴδεν καὶ ὠκειλε.

Ἐξίτυλον. δυμαίνει τὸ δχοτεινόν καὶ ἀμαυρώδες. τὸ ξι. ι. καὶ τὸ ιη. η. πόθεν. ἐκ τοῦ εἶμι τὸ πορεύομαι. τὸ δυϊκόν. ἴτον καὶ ἐξ αὐτοῦ ἰτυλον. καὶ μετὰ τῆς ἐξ προθέσεως ἐξίτυλον. παρά τὸ ἐξελθεῖν τὸ τέλυλός. ἢ ἐξίτυλα τὰ ἀπολλυμενα. παρά τὸ ἐξιέναι ὅ ἐστιν ἐξελθεῖν.

Ἐξετινάχθην. ἐκ τοῦ τινάσσω. τοῦτο ἐκ τοῦ ἰνάσσω. τοῦτο παρὰ τὸ ἴς. ἰνός. οὐ γάρ ἐστιν ἀπὸ τοῦ τείνω.

Ἐξόδιον. τὸ ἐξοδευόμενον παρά τὸ ἔξω τῆς ὁδοῦ ἰέναι. ὁδός γάρ ὁ βίος.

Ἐξολοθρεύσει· ἐκ τῆς ἐξ προθέσεως.
καὶ τοῦ ὀλοθρεύω· τοῦτο παρὰ τὸ ὄλε-
θρος· τοῦτο παρὰ τὸ ὅλους θραύειν.
Ἔξοδος· διὰ τὸ εἶναι ἔξω τῆς ὁδοῦ· ἤγουν
ἔξω τοῦ βίου.
Ἔξοχος· παρὰ τὸ ἐξέχω· ἔξοχος· καὶ
τὸ οὐδέτερον ἔξοχον καὶ ἔξοχα· καὶ ἀπο-
βολῇ τῆς ἐξ ὄχα· ἔνθεν τὸ ὀχέριστος
ὡς καταιγίς· αἰγίς· εὐηνορεά· ἠνορεά·
οὕτως ἡρωδιανός.
Ἐξιστρούμενοι· ἠρεθισμένοι ἐν κακοῖς.
παρὰ τὸ οἴστρω ῥῆμα τὸ σημαίνον τὸ
ἐρεθίζω· ἔνθεν καὶ οἶστρος.
Ἐξιχνιάσας· ἐκ τοῦ ἐξιχνιάζω· τοῦτο
παρὰ τὸ ἴχνος· τοῦτο παρὰ τὸ ἰκνοῦσθαι.
Ἐξοστρακισθίη· ἐξορισθείη· τὸ παλαιὸν
γὰρ φησὶν ἐν ὀστρακῷ αἱ ἐξορίαι δια-
γραφόμεναι τοῖς ὑποζομένοις ἐδίδοντο.
ὅθεν καὶ ὀστρακίδας καὶ ὁ ἔξορος ἤκουεν.
Ἐξοιστρῶ· ἐκ τοῦ οἶστρος· τοῦτο δὲ παρὰ
τὸν οἴσω μέλλοντα· τὸ σημαίνον τὸ φέρω.
ὁ ἐπὶ κακῷ φερόμενος· πρῶτης συζυγίας
τῶν περισπωμένων· τὸ δὲ οἶστρος σημαί-
νει· ἐρεθισμὸν· πυρῶσιν· ὅψ.
Ἐξέρον ἔντο· ἔστι πτώσεως αἰτιατικῆς.

κλίνεται δὲ οὕτως. ὁ ἔρος. τοῦ ἔρου. τὸ δὲ ἔντο σημαίνει τὸ ἐξέβαλον τῆς τροφῆς ἔρωτα. ὅ ἐστιν ἐκορέσθησαν. τὸ δὲ ἔντο γέγονεν ἀπὸ τοῦ ἵημι. ὅ σημαίνει τὸ πέμπω. ὁ μέλλων ἥσω. ὁ δεύτερος ἀόριστος ἦν. ὁ μέσος ἕμην. ἕμου ἕμετο. ἕμεθα. ἕσθε. ἕντο.

Ἐξόρουσεν. ἐξόρμησεν. παρὰ τὸ ὁρῶ. ὅ σημαίνει τὸ ὁρμῶ.

Ἐξόσιον. οἱονεί. ἐξόβιον. τὸ ἔξω παρερ:χόμενον τοῦ βίου.

Ἐξουδένωται. ἐκ τοῦ οὐδείς. οὐδενὸς γίνεται ῥῆμα. παρὰ τὸ οὐδενῶ. οὐδενώσω. οὐδένω. καὶ οὐδένωμαι. οὐδένωται. καὶ ἐξ αὐτοῦ οὐδένωται.

Ἐξουθενῶ. ἐκ τῆς οὗ ἀρνήσεως καὶ τοῦ τε συνδέσμου καὶ τοῦ εἷς. ἑνὸς γίνεται οὐτενῶ. καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασύ. οὐθενῶ καὶ ἐξουθενῶ. οὐδὲν καὶ οὐθὲν διαφέρει. ὀξύνεται. οὐδὲν μὲν λέγει τὸ ἐν τῷ καθολῷ, ὅταν λέγωμεν οὐδὲν ἐν κόσμῳ καινόν. τὸ δὲ διὰ τοῦ θ λεγόμε:νον. ἀνείληπται ἐκ τοῦ οὔτε καὶ τοῦ ἕν. οἷον οὔτε ἕν. οὔτε δύο.

Ἐξουδένωμαι. ἐστὶ δεῖς καὶ μετὰ τῆς οὗ ἀρνήσεως οὐδεὶς καὶ ἐξ αὐτοῦ ῥήμα:τικὸν ὄνομα ἐξουδένωμαι.

Ἐξουθένημα. ἐστιν εἷς καὶ σημαίνει τὸν ἀριθμόν. καὶ μετὰ τῆς ου ἀρνήσεως καὶ μετὰ τοῦ τε συνδέσμου. γίνεται οὔτε εἷς. καὶ ἐν συγκοπῇ οὐτείς. καὶ κλίνεται οὐτείς οὐτενός. καὶ τροπῇ τοῦ φιλοῦ εἰς δασυ γίνεται οὐθενός. καὶ γίνεται ῥῆμα ἐξ αὐτοῦ παράγωγον θενῶ. ὁ παθητικὸς οὐθένημαι. καὶ ἐξ αὐτοῦ οὐθένημα.

Ἐξορία. παρὰ τὴν ἐξ πρόθεσιν καὶ τὸ ὅρος. ὁ σημαίνει τὸν ὁρισμένον. καὶ τί ἐστι λόγος συντομος, δηλωτικὸς τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος. ἔξορος τοίνυν ὁ ἔξω τοῦ ὁρισμένου τόπου ὤν.

Ἐξουρίας πλεῖς. ἀντὶ τοῦ καλῶς πλέεις. ἐστιν ἐπίρρημα μεσότητος. παρὰ τὸν οὖρον ὁ σημαίνει τὸν φορόν. ἄνεμον οὖρος γὰρ ὁ ἄνεμος.

Ἔξουσιν. ἔχουσι. δασυνεται. τῶν παθητικῶν μετοχὴ μελλ δασυνεται. διὸ τί τὸ ε πρὸ τοῦ ξ. εἰ μὴ ἀπὸ προθέσεως εἶη. δασυνεται ἑξῆς. ἔξω τὸ ῥῆμα. ἐκ τοῦ ἔχω.

Ἐξουσία. ἡ δυναστεία. παρὰ τὸ ἔχω ἔξω ἡ μετοχὴ ὁ ἔξων. τοῦ ἔξοντος. τὸ θηλυκὸν ἔξουσα καὶ πλεονασμῷ τοῦ ι.

ἐξουσία· εἰ μὴ ὑπό τινος κατεχομένη οὐ δασύνεται δὲ· ἐπειδὴ δὲ τὸ ῥῆμα μόνον δασύνεται· τοῦτο δὲ οὐχὶ·

Ἔξοχα· εἰς τὸ ὄχα·

Ἐξυπανέστη· ῥῆμα εἰς μι· τὸ αὐτὸ ἐστι τὸ ὑπαντέστη· καὶ ἐξ αὐτοῦ ὑπανέστη· καὶ οὕτω κανὼν ἐστιν ὁ λέγων· ὅτι αἱ προθέσεις ἐπισυντεθέμεναι διεγείρουσι τὴν ἔμφασιν· περί τι πλέον· οἷον ἐστί· το προ· προκυλινδόμενος· καὶ τὸ παρα παρακαταθηκή· καὶ τὸ ἐξυπανέστη·

Ἐξύπογυου· ἐξ ἑτοίμου· ἐκ τοῦ προολίγου· ἐκ τοῦ συνεγγυς· παρὰ τὸ γυῖα ὃ σημαίνει τὰ βέλη· σημαίνει δὲ καὶ παραυτὰ καὶ ἀπερισκέπτως·

Ἔξω· εἰς τὸ δυσκάθεκτον καὶ ἔξουσι·

Ἐξώκειλα· ὠκέλλω· ὁ ἀόριστος ὤκειλα· καὶ μετὰ τῆς ἐξ προθέσεως· ἐξώκειλα·

Ἐξώδηκα· οἰδῶ· οἰδήσω· ὤδηκα·

Ἐξωδικός· πόθεν ἐκ τοῦ οἰδῶ τὸ πρίσκω· ὁ μέλλων οἰδήσω· ὁ παρακείμενος ὤδηκα· καὶ μετὰ τῆς ἐξ προθέσεως· ἐξώδηκα· καὶ ἡ μετοχὴ ἐξωδικός· ὡς ἐπινικός· εἰς γῆν ἐπιπιπτούσης·

Ἐξώκειλεν· ἐξέπεσεν· ἐξῆλθεν· ἔξω τοῦ κέλλειν ἐγένετο· κέλλην δὲ ἐστι τὸ εἰς

τοὔμπροσθεν ἰέναι· ἐξ οὗ καὶ κέλευθος.
ἡ ὁδός· συντάσσεται μετὰ πτώσεως αἰ-
τιατικῆς.

Ἐξωμίς· Ἀττικὸν τὸ λεξίδιον· σημαίνει
δὲ χίτωνα ἐλευθέριον οὐ κατεσκεπάζον-
το τοὺς βραχίωνας.

Ἔξωρος· παλαιός· ἢ ἐξαέτης παρὰ τὸ
ὦρος· ὃ σημαίνει τὸν ἐνιαυτόν· λέγονται
δὲ ὦροι καὶ ἀπογραφαί.

Ἐξωστειλον· ἔναον· ἔξω στιλῶν· ἔξω τῆς
οἰκουμένης· ἕως ὅπου γὰρ φασίν ἐστι πο-
ρεύεσθαι στιλθ— ἔστησεν Ἡρακλῆς.

Πόθεν τὸ ἐξώρουσεν· ἀπὸ τοῦ ὀρούω· ὀ-
ρούσω· ὁ ἀόριστος ὤρουσα· ὤρουσθ· ὤρου-
σε καὶ ἐξώρουσεν.

Ἐξολοθρεύω· ἐκ τῆς ἐξ προθέσεως καὶ
τοῦ ὄλεθρος· τοῦτο παρὰ τὸ ὅλος καὶ τὸ
θραύω.

τὸ Ε μετὰ τοῦ Ο.

Ἔοικα· ἐστὶ ῥῆμα εἴκω· ὁ μέλλων εἴξω
ὁ παρακείμενος εἶκα· ὁμοίως καὶ ὁ μέσος
παρακείμενος εἶκα· εἶτα ἐν διαστάσει·
τοῦ ε· καὶ τοῦ ι· εἶκαι καὶ ἐν πλεονασ-
μῷ τοῦ ο ἔοικα.

Ἔοικεν· ὁμοιοφένεται· πρέπει· γέγονε δὲ
παρὰ τὸ εἴκω ἐγρα.

Ἐοικος. πρέπον. ἔυλογον. ἢ ἀκόλουθον.
λαμβάνεται δὲ ἀντὶ τοῦ τάχα. εἰς τὸ
ῥῆμα. ἐστι δὲ ἡ μετοχή. οὗ ἀπὸ τοῦ
εἴκω καὶ χωρῶ εἰς ἐπιρρηματικὴν σύνταξιν
καὶ γίνεται ἐοικῶς.

Ἐοίκοτα. εἰκοτ. διαφέρει. τὰ μὲν γὰρ
πίστες ἐχόμενα εἴκοτα. τὰ δὲ ἀμφερῖ
ἐοίκοτα.

Ἐοικῶς. παρὰ τὸ εἴκω τὸ ὁμοιῶ. ἢ εἴδω
γίνεται. οὗ ὁ μέλλων εἴσω. ὁ παρακείμε-
-νος οἶκα. καὶ ἐν πλεονασμῷ τοῦ ε. ἔ-
-οικα. καὶ ἡ μετοχὴ ἐοικῶς.

Ἐοικῶς πρεποντῶς ἐυλόγως. ἢ ἀκολούθως.
γίνεται ἐκ τοῦ εἴκω. οὗ ὁ μέσος παρακεί-
-μενος εἴκα. καὶ ἔοικα. καὶ ὁ μέσος
ὑπερσυντέλικος. ἐῴκειν. καὶ ὤφειλεν
εἶναι ἠοίκειν. ἀλλὰ καγῶν ἐστιν ὁ λέγων
ὅτι οὐδέποτε λέξις ἑλληνικὴ εὑρίσκεται
ἀπὸ τοῦ η ἀρχομένη ἐπιφερομένη
τοῦ ο. χωρὶς εἰ μὴ ἐν διφθόγγῳ εἴη.
ἢ κατὰ διάλεκτον προσκεῖται εἰ μὴ ἐν
διφθόγγῳ. εἶπε διὰ τὸ ἡσῶς. καὶ πρ̄ ἰ
Δ' ὕπη οἷο πρ. ἢ κατὰ διάλεκτον διὰ τοῦ
ἰω. διαλυουσι γὰρ οἱ ἴωνες καὶ λέγουσιν
ἡόα. κατὰ τοῦτον τὸν κανόνα ἐγένετο
ὑπερβιβασμὸς τοῦ χρόνου. καὶ τὸ μὲν ε

ἐφυλαχθη διά τοῦ ο̄. τό δέ ο̄. ἠμείφθη εἰς ω̄. καί γέγονεν ἐώκειν. ὁμοίως καί τό ἑώρταζον καί ἐώλπειν. καί ἐώργειν.

Ἑοῖσιν. τοῖς σοῖ. ἐμοῖσιν. σοῖσιν, οἶσιν. καί πλεονασμῶ τοῦ ε̄ ἑοῖσι. τό ε̄ πλεονά:ζον τό πν̄α ἀναδέχεται τό πρό αὐτοῦ φωνήεντος.

Ἔωμαι. ἐκ τοῦ ἔω τό ὑπάρχω. τό παθη:τικόν ἔωμαι.

Ἔπαινος. ἐπί βραχυ. ἐγκώμιον δέ ἐπί πολυ.

Ἔοργα. πόθεν. ἐκ τοῦ εἴργω. εἴρξω ὅ μέλλων ὅ παρακείμενος εἶργα. εἶτα ἀναλυεται εἰς ἅ συναιρέθη. ἥ ει δίφθογγος. εἰς τά δυο ε̄ε. ἔεργαι καί ἔεργω. ἐῦ εἶρ:γα καί ἔεργα. καί τροπῆ τοῦ ε̄. εἰς ο̄ ἔοργα. τό ἔοργα ἀπό τοῦ ῥέζω. ῥέξω. ἔρρογα. ὅ μέσος παρακείμενος καί ἐν ὑπερ:βιβασμῶ ἔοργα.

Ἑορτή. ἀπό τοῦ ἐόν τοῦ συμαίνοντος τό ἀγαθόν. εἰς τό ὅρω τό συμαῖνον τό ἐγείρομαι. ἑορτή. καί ἀπό τοῦ εἰς τό ἀγαθόν ἡμᾶς ἐγείρειν.

Ἑορτάζω. τό ο̄ μικρόν. ἑώρταζον δέ τό ω̄ρ μέγα.

Ἑορτή. παρὰ τὸ ἐρᾶν αὐτῆς. ἢ παρὰ τὸ ἔρωτι παρωνύμως ἐρητή καὶ ἑορτή καθ' ὑπερβιβασμόν.

Ἑορτάζω. ἐκ τοῦ ἑορτή. τοῦτο παρὰ τὸ ἐρῶ. τὸ ἐπιθυμῶ.

Ἑορτή παρὰ τὸ ἑόν ὃ σημαίνει τὸ ἀγαθόν καὶ τὸ ὀρούω τὸ ὁρμῶ καὶ ὅμ.

—— θεοὶ δοτῆρες ἐώων.

Ἔωργεν. ἐργάσατο. ῥῆμα μέσου παρακειμένου. καὶ ὤφειλεν εἶναι ὁ ὑπερσυντέλικος ἠόργειν. ἀλλ' ἐπειδὴ κανῶν ἐστιν ὁ λέγων. ὅτι οὐδέποτε λέξις Ἑλληνικὴ. εὑρίσκεται ἀπὸ τοῦ ρ ἀρχομένη. ἐπεφερομένου του σ χωρὶς εἰ μὴ ἐν διφθόγγω εἴη. ἢ κατὰ διάλεκτον προσκεῖται εἰ μὴ ἐν διφθόγγω εἶπε διὰ τὸ ῥο ἀλλ' ς μᾶλλον ὑπερμεν ἑακρον ἴωνα. κατὰ διάλεκτον εἶπε. διοτὶ Αἰολεῖς τὴν ἠῶ λέγουσιν ἠά. ὅμοιον ἐστι τὸ ἐώλπειν καὶ τὸ ἐώργειν. ἔσοθεν γὰρ γίνεται ἐπέκτασις. ἤγουν γράφεται διὰ τοῦ ω.

Ἑορτὴ παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ ἐρωτή. καὶ τροπῇ καὶ ὑπερβιβασμῶ ἑορτή. ἐτυμολογεῖται δὲ παρὰ τὸ εἰς τὰ ἔα. ὀροῦσιν ἡμᾶς. ὅ ἐστι ἀγαθὰ ἐξ οὗ καὶ δασύνεται.

Ἐούσης· ὑπαρχούσης· δεύτερος ἀόριστος τὸ ῥῆμα· ἐω καὶ σημαίνει τὸ ὑπάρχω ὁ μέλλων ἔσω· ὁ δεύτερος ἀόριστος ἦον· ἡ μετοχὴ ἐών· καὶ κατὰ συναίρεσιν ὤν, εἰς τὸ ὦν ὀξεῖαν· τὰ ἐκβαρύνοντα καὶ ὀξεῖαν πάλιν, καὶ τὸ θηλυκὸν ἐοῦσα καὶ ἐούσης καὶ οὖσα, καὶ πλεονασμῷ τοῦ Γ· οὐσία·

Τὸ Ε· μετὰ τοῦ Π·

Ἐπαγγελία· ὑποσχέσεως διαφέρει· ὑπισχνεῖται μὲν γὰρ αὐτὸν τίς δίδοναι τί μέλλων· ἐπαγγέλλεται καὶ ὁ δίχα παρακλήσεις παρέχειν βουλόμενος·

Ἐπαγωγή· ζημία· ὀργή· ἀνταπόδωσις· συμφορά· αἰχμαλωσία· παρὰ τὸ ἐπάγεσθαι ἡμῖν τὰ ἄξια τῶν βεβιωμένων·

Ἔπαθλον· ἄθλου διαφέρει· ἔπαθλον τὸ διδόμενον τῷ νικήσαντι· ἄθλον καλεῖται αὐτὸς ὁ ἀγών·

Ἐπάγην· ἐκ τοῦ πήσσω τὸ πηγνύω· ὁ δεύτερος ἀόριστος ἔπαγον· τὸ παθητικὸν ἐπάγην·

Ἔπαλξις ἐφ' ἣ βεβηκότες τῇ ἀλκῇ χρώμεθα·

Ἔπαινος. ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ αἶνος.

Ἐπαίνει. ἐγκλίνει. προστάττει, τὸ θέμα ἐπαινέω. ἐπαινῶ. ὁ παρατατικὸς ἐπήνεον. ἐπήνουν. τὸ τρίτον ἐπήνεε. ἐπήνει. καὶ τὸ προστακτικὸν ἐπαίνεε. ἐπαίνει.

Ἐπανϊτέον. ἐκ τοῦ εἶμι τὸ πορεύομαι. τὸ δεύτερον ἰτέον. καὶ ἐπανιτέον.

Ἔπαινος. ἐγκωμίου διαφέρει. ἔπαινος γὰρ ἐστιν ὁ λόγος. ὁ μίαν πρᾶξιν ἐγκωμιαζόμενος. ἐγκώμιον δέ. τὸ πολλὰς πράξεις ἐν ἑαυτῷ παραλαμβανόμενον.

Ἐπακτελλς. εἰς τὸ κέλλω.

Ἐπακτρεῖς. οἱ κυνηγέται ἀπὸ τοῦ ἐπάγειν τοὺς κύνας. ἐντεῦθεν καὶ ἡ ναῦς ἀργαλέα.

Ἐπαινῶ. λέγω. ἐπαινῶ συγκατατίθεμαι.

Ἔπαλξις. ὁ προμαχών. ἐπαλέξει τις τὶς οὖσα. ἀπὸ τοῦ ἀλεξῶ ῥῆμα περισπωμένου. τοῦτο παρὰ τὸ ἀλέγω. ἀλέξω. καὶ ἔπαλξις. συντάσσεται μετὰ αἰτιατικῆς πτώσεως.

Ἐπαμῶσαι. εἰς τὸ ἀμῶσαι.

Ἐπᾶν ἐπιδᾶν. ἢ πρὸς ἐστί.

Ἐπάνοδος. καθόδου διαφέρει. ἐπάνοδος μὲν γὰρ ἐστι τὸ ἐπανελθεῖν τινὰ εἰς

τὴν ἰδίαν πατρίδα ἑκουσία γνώμη ἐξ ἀρχῆς μηδενὸς βιαθημένου. μάθοδος. ὅ τὸ ἐναντίον. ὅταν τις ἄκων ἀποδημήσῃ. ἢ φυγαδευθείς. ἢ συμφοράς τινος προηγησαμένης. ἢ διὰ φόβον ἐπαρήγων.

Ἐπερρησιάσατο. ἐκ τοῦ παρρησιάζω. τοῦτο παρὰ τὸ παρρησία. τοῦτο παρὰ τὸ ῥῆσις καὶ παρρησία οἱονεὶ παντορησία τις οὖσα.

Ἐπάσσαντο. ἐγεύσαντο. μέσος ἀόριστος πρῶτος. τὸ θέμα πατῶ. ὥσπερ ἀπὸ τοῦ μάσωμαι. τοῦτο παρὰ τὸ μάσσω. τὸ μαλάσσω. πατῶ οὖν δηλοῖ τὸ ἐσθίω. ὁ μέλλων πατήσω. καὶ συγκοπῇ πάσσω. ἐν τεῦθεν γέγονε καὶ φάτνη. ὁ τόπος. ἐν ᾧ ἐσθίον σιτὰ ἄλογα.

Ἐπάλξις. ἐφ' ἧς ἀλέγουσι τοὺς ἐπιόντας. ἤγουν ἀποσοβοῦσιν.

Ἐπαλξίτης. λίθος ὁ ὢν ἐπάνω τῆς ἐπαλξεως. γράφεται δὲ διὰ τοῦ ι. τῶ λόγω τοῦ ἀσκαλονίτου ὁ μ.

Ἐπάσσυτερος. συνεχής. ἐπάλληλος ἢ πυκνός. παρὰ τὸ ἄσσον ὁ σημαίνει τὸν σάλον. ἀσσύτερος καὶ ἐπασσύτερος.

Ἐπαυρεῖν. τὸ θέμα αὐρῶ. ὃ σημαίνει τὸ ἀπολαύω πρῶτης συζυγίας τῶν περισπωμένων. καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπαυρῶ. ὃ μέλλων ἐπαυρήσω. ὃ ἀόριστος ἐπήυρα. ἐπηύρησαι καὶ τὸ ἀπαρέμφατον ἐπαυρεῖν.

Ἐπαφρόδιτος. εἰς τὸ ἀνεπαφρόδιτος.

Ἔπαυλις. ἐκ τοῦ αὐλή. τοῦτο ἐκ τοῦ ἀλίζω.

Ἐπαυτοφόρος. ὃ φανερός. ἢ ὃ πόρνος φανερῶς καταληφθείς. ὑπεύθυνος γενόμενος. ἢ καταφανής. σημαίνει δὲ δύο. τὸν κλέψαντα καὶ πορνεύσαντα καὶ κρατηθέντα.

Ἐπαυτοφόρως. σημαίνει δὲ τὸν ἐπὶ τῇ αὐτῇ κλοπῇ καταληφθέντα.

Ἑπτάς. οἱονεὶ σεπτάς. παρὰ τὸ σεβάσμιον. ὃ γὰρ ἑπτὰ ἀριθμὸς τίμιος ἐστίν. ὅθεν καὶ ἑπτὰ ἡμέραι τῆς ἑβδομάδος. καὶ ἑπτὰ ὀυοί. καὶ ἑπτὰ οἱ λεγόμενοι. πλανῆται. καὶ ἑπτάφωτος χάρις. ἐν μιᾷ λέξει.

Ἐπεβάτευσαν. ἐπῆλθεν. ἐπέβη. κυρίως δὲ ἐπὶ νηός. ἐπιβάται δὲ λέγονται οἱ μὴ ἐρέσσοντες. ἀλλὰ καθήμενοι. καὶ —

ἐπιβατικά τά ἐν τοῖς πλοίοις· ἃς ἡμεῖς
παρένθυκας λέγομεν.

Ἐπεστυρίχθην· ἐκ τοῦ στυρίζω· στυρίξω·
ὁ παρακείμενος ἐστύριχα· ὁ παθητικός
ἐστύριγμαι ἐστυρίχθη· ὁ ἀόριστος παθητικός
τό δὲ στυρίζω· ἐκ τοῦ ἵστημι στήσω·

Ἐπέραστος· ἐράσμιος πολύ· πάνυ ἀγαπόμε-
νος· ἐρᾶν γάρ τό ἐπιθυμᾶν· ὅμ.

Ἐπέλω· ῥῆμα εὐκτικόν τῶν εἰς μι· σημαίνει δέ τό ἐπιμείνει·

Ἐπεί· ἐκ τῆς ἐπί προθέσεως τοῦ εἶ συνδέσμου· τό εἶ δίφθογγος· διοτί οἱ Δωριεῖς
αἶ λέγουσιν· ἔθος γάρ ἔχουσι τό ε· εἰς α
τρέπειν· τό γάρ ἄρτεμις· ἄρταμις· λέ-
γουσι· καί τό τρέχω· τράχω· οὕτω καί εἶ αἶ
ς τρέπουσι τό ε εἰς α καί μένει τό ι·
καί τό αἴγειον αἴγαιον λέγουσι·

Ἐπείγω· τό σπουδάζω· καί κατεπείγω·
ἤπειγα· ὁ παρακείμενος· ὁ παθητικός
ἤπειγμαι· ἡ μετοχή ἠπείγμενος· τό γάρ
ἐπείγω γίνεται οὕτως· οἴγω· τό ἀνοίγω·
καί τροπῇ τοῦ ο εἰς ε· εἴγω καί ἐπείγω·

Ἐπειῇ· περισπάται τό η· ἀντί τοῦ δῇ
παραπληρωματικοῦ·

Ἐπειγωλή· ἡ ἔπειξις.

Ἐπεῖ· σύνδεσμος παρασυναπτικός· δηλῶν τὸ ἐπειδή.

Ἐπεί· ἐπίρρημα τοπικόν· ἀντὶ τοῦ ἀφ' οὗ. ἐπεὶ διὰ τῆς εἶ· ἀπὸ γὰρ τοῦ εἶ συνδέσμου γέγονε· καὶ τῆς ἐπὶ προθέσεως· ἱστέον δὲ ὅτι τὸ ἡνίκα καὶ τὸ ἐπεὶ χρονικὸν μὲν ἐστι ἐπίρρημα· οἷον πλάγθη ἐπεὶ τροίης. ἀντὶ τοῦ ἀφ' οὗ· καὶ πάλιν.

ἀντὰρ ἐπεὶ κόμιαθεν — ἀντὶ τοῦ ὅταν.

ἡνίκα δὲ καὶ αἰτιολογικῶς παραλαμβάνεται. σύνδεσμος ἐστιν οἷον ἐπεί· ἡμερά ἐστι φῶς ἐστι.

Ἐπείγω διὰ τῆς εἶ διφθόγγου· ἀντιπαρακεῖται γὰρ αὐτὸ τὸ οἴγω.

Ἐπειός· τὰ διὰ τοῦ εἷος ὀξύτονα διὰ τῆς εἶ διφθόγγου γράφεται· οἷον πηνειός, ὁρμειός.

Ἔπειτα· τῇ ἐπὶ τοῦ εἶ προετέθη· ἡ ἐπὶ πρόθεσιν λοιπὸν γέγονεν ἐπίειται. καὶ κατὰ κρᾶσιν ἔπειτα καὶ ἐτελέαθη σύνδεσμος.

Ἔπειραν· σημαίνει τὸ ἐπερόνη· ἐστὶ τὸ θέμα αὐτοῦ πείρω· ὁ μέλλων περῶ.

Ἔπειτα· ἔστιν εἶτα· καὶ μετὰ τῆς ἐπὶ

προθέσεως ἐπίκειτα. καὶ κατὰ κρᾶσιν ἔ-
πειτα.

Ἔπεισιν. ἐπέρχεται. παρὰ τὸ εἶμι τὸ πο-
ρεύομαι. τὸ τρίτον εἶσι. ὡς τὸ τίθημι.
τίθησι. καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἔπεισι.
τὸ δὲ εἶμι. παρὰ τὸ ἕω. τὸ περιπατῶ.
εἴω. ὡς βῶ. βέω. βείω. καὶ κῶ. κέω. κείω.
καὶ ἐξ ἀντοῦ εἶμι.

Ἔπεισιν. ἐκ τοῦ ἔπειμι τὸ καταλαμβάνω
τρίτου προσώπου τῶν ἑνικῶν. ὅμ.

Ἔπειτα. ἐπίρρημα χρόνου δηλοτικόν.
τὸ πεῖ δίφθογγον. ἐκ τῆς ἐπὶ προθέσεως.
καὶ τοῦ εἶτα. τοῦτο ἐκ τοῦ εἶ συνδέσ-
μου κατ' ἐπέκτασιν τῆς τᾶ συλλαβῆς.
ὁ δὲ εἶ συναπτικὸς γράφεται διὰ διφθόγ-
γου. ὅτι οἱ Δωριεῖς τὴν εἶ δίφθογγον
εἰς αἶ τρέπουσιν, τὸ γὰρ κύπειρον κύπαι-
ρον λέγουσι.

Ἐπεκερτόμει. ἐχλεύαζεν. ἔκοπτεν. ἠρέ-
θιζε. παρὰ τὸ κέαρ ὃ σημαίνει τὴν ψυχήν.
καὶ τὸ μέμνω. κερτομεῖν οὖν τὸ κέαρ τέμ-
νειν.

Ἐπέκτασις. εἰς τὸ κενεῶν.

Ἐπενήνοθεν. ἐπεσώρευσε. ῥῆμα. μέσος
παρακείμενος. ἔστι τὸ θέμα. ἔθω. τὸ ἐξ
ἔθους ἐπιμελοῦμαι. καὶ ἔθειρα ἢ θρίξ. καὶ

μετὰ τῆς ἐν. ἐνέθω. ὁ μέλλων ἐνέβω. ὁ
παρακείμενος ἤνεκα. καὶ οἱ Ἀττικοὶ τῶν
παρατατικῶν τρέπουσι ν εἰς ε. ὥσπερ
τὸ πέπεμφα. πέπομφα. οὕτω καὶ τοῦτο.
ὁ γὰρ παρακείμενος ἐστιν ἤνεκα. τροπῇ
Ἀττικῇ ἤνοκα. ὁ μέσος ἤνοθα. καὶ ὁ Ἀττι:
:κὸς ἐνήνοθα. ἔστι δὲ καὶ ἄλλως. ὤθω
τὸ κοννῶ. ὁ μέλλων. ὤσω. ὁ παρακείμενος
ὦκα. ὁ μέσος ὦθα. καὶ ταῦτα μετὰ τῆς
ἐν προθέσεως ἐνόθω. ἐνόσω. τὸ ο μικρὸν
ὁ παρακείμενος ἐνήνοκα. ἐνήνοθα ὁ μέσος.
τὸ τρίτον ἐνήνοθεν. ὁμ.

Ἐπενήνοθε. πόθεν γίνεται. λέγομεν ὅτι
ἀπὸ τοῦ ἐνέθω ἐνέσω. ἤνεκα. ἤνεθα
Ἀττικῶς τροπῇ τοῦ ε. εἰς ο καὶ πλεονασ:
:μῶ τοῦ ε. καὶ ν. ἐνήνοθα. καὶ προσέ:
:λαβε τὴν ἐπὶ πρόθεσιν καὶ ἐγένετο
ἐπενήνοθα. καὶ τὸ τρίτον πρόσωπον
ἐπενήνοθεν.

Ἐπεσβόλος. ὁ φλύαρος καὶ λοίδωρος. ὁ
διὰ τῶν ἐπῶν λωβῶν. τουτέστιν ὑβρίζων.
ἐπεσλόβος. κατὰ ἐναλλαγὴν ἐπεσβόλος.
ἐπεσβόλος ὁ λοίδωρος ὁ τοῖς ἐπεσιβάλ:
:λων.

Ἐπέβλεψεν. ἐκ τοῦ ἐπιβλέπω. τοῦτο-

παρὰ τὸ βάλλειν τοὺς ὦπας.

Ἐπεσκεμμένοι. παρὰ τὸ σκέπω ῥῆμα.

Ἐπεσβόλος. ὁ φλύαρος. καὶ λοίδωρος. ἐπεσβό-
-λος ἐκ τοῦ ἔπος καὶ τὸ βάλλω καὶ βαρυδε-
-ται. τὰ γὰρ παρὰ τὸ βάλλω. μὴ κατὰ
πρόθεσιν συντεθέντα. πρὸ μιᾶς ἔχουσι
τὸν τόνον. οἷον ἐλαφηβόλος. ἑκηβόλος.
εἶπε. μὴ κατὰ πρόθεσιν διὰ τὸ ἀμφίβολος.
πρόβολος. ὁ πρόμαχος, ὁ προβεβλημένος.

Ἐπεπῶντο. ἐπιπῶμαι. τὸ δέχομαι ἐκ τοῦ
ἕπω τὸ ἀκολουθῶ.

Ἐπετεῖον. ἐκ τοῦ ἔτος. ἐτεῖον. καὶ ἐπε-
-τεῖον.

Ἐπέτειος. ἐπὶ τοῦ νῦν ἔτους. ἔπετος γὰρ
λέγει τὸν ἐνεστῶτα καιρόν. οὐχὶ διὰ τοῦ
φ. ἀλλὰ διὰ τοῦ π. ὡς φησὶ πίνδαρος
καὶ Δημοσθένης.

Ἐπερρίφην. οἱ μὲν ἐκ τοῦ ῥίπτω ῥίψω.
ἔρριφα. ἔρριμμαι. ἐρρίφθην. καὶ ἀποβολῇ
τοῦ θ. ἐρρίφην. οἱ δὲ ἀπὸ τοῦ ἔρριφον.
δευτέρου ἀορίστου. καὶ τὸ παθητικὸν ἐρρί-
-φην.

Ἐπέσκηψεν. ἐνετείλατο. ἢ προεφασίσα-
-το. καὶ σκῆψις. ἢ πρόφασις. ἔστι δὲ καὶ
δίκη τις. οἷον ὑπομοσία. καὶ παραγραφή.

Δημοσθένης ἐν τῇ πρὸς πανταίνεον. ἀλλ' ἐπὶ ταύτης τῆς σκήψεως εἰσελθὼν ἀμφοτέραις αὐτῶν ἐπεδείξω. ἔστι δὲ καὶ ὄρχησις τὶς ἡ σκῆψις. γέγονε δὲ παρὰ τὸ σκέπτομαι σκέψις καὶ τροπῇ τοῦ ε. εἰς η σκῆψις. ἔστι δὲ ἐπισκηψάμενον ἐπιβαρήσαντες. ἐπισκήψασθαι. ἐπιβαρῆσαι. καὶ ἐπισημειώσασθαι. τὸ ἐπισκήπτω σωτάσσεται μετὰ δοτικής.

Ἐπέσσυται. ἐφόρμα. ἐπεδίωκε. προεθυμεῖτο παθητικὸς παρακείμενος τῶν εἰς μι. ἔστι ῥῆμα. σῶ τὸ ὁρμῶ. ἐκ τούτου παράγωγον σύω. καὶ ἐξ αὐτοῦ σύμι. ὁ μέλλων σύσω. ὁ παρακείμενος σέσυκα. καὶ τὸ παθητικὸν σέσυμαι. τὸ τρίτον σέσυται. καὶ ἐν ὑπερθέσει τοῦ ε. ἔσσυται. πάλιν ἐκ τοῦ σῶ. γίνεται κατὰ παραγωγὴν. σεύω. καὶ ὁ ἐνεστῶς παθητικὸς κατὰ τὸ τρίτον πρόσωπον σεύονται.

Ἐπετοξάζοντο. ἀντὶ τοῦ ἐδοξάζοντο.

Ἐπήματι. ἐν ἡμέρᾳ.

Ἐπιλυγάζοντες ἐκ τοῦ ἠλύγη. ὁ σημαίνει τὴν σκότοσιν.

Ἔπηλυς. παρὰ τὴν ἐπὶ πρόθεσιν καὶ τοῦ ἠλύθω ῥῆμα. ὁ σημαίνει τὸ ἔρχομαι. ἀπὸ ξξ.

Ἐπίκλυς καὶ ἔπηλις ὁ ξένος· καὶ εἰς τὸ νέκλυς·

Ἐπήτης λόγιος· σωετός· φρόνιμος· σωφρων δίκαιος· γίνεται δὲ παρὰ τὸ ἔπω· ἔπης καὶ ἐπήτης· ἐπήτιος· παρὰ τὸ ἔπος ἐ:πήτυος·

Ἐπηλυδῶντες· ῥῆμα ἐπηλυδῶ· ἐκ τοῦ ἐλεῦθω· γίνεται ἤλυσις καὶ ἐπήλυσις· ταχήλυσις· προσήλυσις· ἔπηλυς καὶ ὁ ἔχων ἰλῶ· τουτέστι τὸ κεντοῦκλον·

Ἐπήτεια· καὶ ἐπητεία· καὶ ἐπιτυΐ·

Ἐπήγω βαστῶ· ἐπήγω δέ·

Ἐπήν· ἀπὸ τοῦ ἐάν· ἄν· καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπὰν καὶ ἐπιώ·

Ἐπήρεια· ἐκ τοῦ ἄρης· ἄρεως ἄρεος· ἐπήρεια· κυρίως· ἡ ἐν τῷ πολέμῳ καταδρο:μή· ἄρης μὲν οὖν ὁ πόλεμος καὶ ἡ ἐμπει:ρεία· καὶ τὸ θηλυκον ἔρεια· καὶ μετὰ τῆς ἐπι προθέσεως ἐπιάρεια· καὶ τρο:πῇ τοῦ ᾱ εἰς η̄· ἐπήρεια· ἀποβολήτου ῑ· καταχρηστικῶς· δὲ καὶ ἡ ζυμία·

Ἐπήρεια· κυρίως δὲ ἡ ἐν τῷ πολέμῳ κα:ταδρομή· ἄρης γὰρ ὁ πόλεμος· καὶ ἡ ἐμπειρία· λέγεται δὲ καὶ ἡ ζυμία·

Ἐπῆλθαι· ἐκ τῆς ἄγω·

Ἐπηρμένος μετοχή· ὁ ἀρθείς· ἐκ τοῦ ἐπαίρω· ἐπαρῶ· ὁ παρακείμενος ἐπῆρ:κα· ἐπῆρμαι· καὶ ἐπηρμένος· ἐπὶ πρό:θεσις ἔστι λαμβάνουσα· ἡ συμαίνουσα ῥῆμα· ἔστι δὲ ἰδίωμα τοῦ ποιητοῦ τὸ λέγειν, ὅτι ὥσπερ τὰ ῥήματα πολλάκις ἐλλειπτι:κά εἰσι τῶν προθέσεων ὡς τὸ ἔρχομαι.

— εἴ τι τοι ἔγχος ἐνικλισίησι· καὶ
ἔρχομαι ὀφρ' ἀχιλῆϊ μῦθον ἐνίσπω.

ἀντὶ τοῦ ἀπέρχομαι· οὕτω δὲ αἱ προθέσεις ἐλλειπτικαὶ εἰσι τῶν ῥημάτων· συμαίνει ῥῆμα· οἷον ἐπεὶ οὗτοι· ἐπίδεος· καὶ
οὕνεκα καλὸν εἶδος ἔπος· ἀντὶ τοῦ ἐπέστι· καὶ ἐπεὶ οὗτοι πάμπαν ἐνιφρένες· ἀντὶ τοῦ ἔνεισιν·

Ἐπιβάλλειν· ἐπιτιθέναι παρὰ τὸ δέον βάλλειν· ἡ γὰρ ἐπὶ ὧ δὲ τὸ δέον συμαίνει.

Ἐπίβασιν· βάδισιν·

Ἐπιβάτης· ἐπὶ ἅρματος· ἀναβάτης ἐπὶ ἵππου·

Ἐπιβολή· ὁμιλιά· συνήθεια· πρόστιμον συμία· προσθήκη·

Ἐπϊνώ· τὸ βαίνω·

Ἐπιβάτης· ἐπιβάται· δὲ λέγονται, οἱ μὴ ἐρέσσοντες ἀλλὰ καθήμενοι·

Ἐπιβόητος καὶ διαβόητος διαφέρει. ἐ-
-πιβόητος ὁ κοχθηρὰν ἔχων φήμην.

β. Ἀνακρέων.

καὶ μὲ Πιβόητον κατὰ γείτονα
ποίησεις.

τοῦτον δὲ ἔνιοι τῶν ποιητῶν ἐπίσφατον
καλοῦσι. διαβόητος δὲ ἐπ' ἀρετῇ ἐγνωσμέ-
-νος.

Ἐπίβολος. ὁ ἐπιτυγχάνων. ἢ ἐπιτυχεῖν
μέλλων. βολεῖν γὰρ τὸ ἐπιτυγχάνειν.

Ἐπιγουνίς. ἢ ἐπιγονατὶς παρὰ τὸ ἐπά-
-νω τοῦ γόνατος εἶναι. τὸν τοιοῦτον μῦν.
ὁ μ.

οἵη νεκρὰ κεῶν ὁ γέρων ἐπὶ γουνίδα φαίνει.

Ἐπιβῶ. δευτέρας συζυγίας τῶν περισπωμέ-
-νων. τὸ θέμα βιβῶ. βιβᾶς. βιβᾶ. καὶ
ἐπιβᾶ.

Ἐπιδαίσιον οἶκον. τὸν ἐπίκοινον καὶ ἀμέ-
-ριστον. ὅταν μνήσῃ κληρονόμος. κυρίως δὲ
ὁ ἐξ ἴσου καταληφθεὶς, δῦο σίν.

Ἐπιέζοντο. ἐβαροῦντο. ἐδαμάζοντο.

Ἐπιδημία εἰς τὸ ἀπόδημος.

Ἐπιδέξια. ἄστιστα. καλὰ. ἐπίρρημα μεσό-
-τητος. ἢ εὐθεῖα ἐπιδέξιος. καὶ διατί
προπαροξύνεται. ἐπειδὴ τὰ εἰς ος ὀξύτονα

ἐν τῇ συνθέσει προπαροξύ εἰ μὴ παρασυν-
-θετα εἴη· οἷον θεόδμητος· δουρίκλειτος·
ἄκρατος· τερπικέραυνος· καὶ χωρὶς τοῦ ἐπὶ
ἔθνους· ἐκεῖνα γὰρ τὸν αὐτὸν τόνον φυλάττει·
ἐν τῇ συνθέσει· οἷον ἀχαιός· φυλαχαιός·
βοιωτός· καὶ χωρὶς εἰ μὴ διὰ συμαβίαν τινὰ
φυλαχθῇ ἡ ὀξεῖα τάσις· ὡς τὸ λοιγὸς βρο-
-τολοιγός· ἵνα φυλαχθῇ ἡ ἐνέργεια· βροτο-
-λοιγός γάρ ἐστιν· ὁ φθείρων τοὺς ἀνθρώπους·
τοῦτου χάριν καὶ ὁ τόνος ἐφυλάχθη· ὁμοίως
καὶ τὸ ἀθηριλοιγός· συναπηνέχθη δὲ τοῦ-
-τοις· κατὰ σχηματισμὸν τὸ τραπεζολοι-
-χός· καὶ ὀξύνεται· κλίνεται δὲ ὁ ἐπι-
-δέξιος τοῦ ἐπιδεξίου καὶ τὸ ἐπιδέξιον·
καὶ τὰ ἐπιδέξια· ἐπιδέξια ὡς ἐνδέξια·
καὶ φυλάξει τὸν αὐτὸν τόνον· κανὼν γάρ
ἐστιν ὁ λέγων, ὅτι τὰ ἀπὸ ὀνομάτων εἰς
ἐπιρρηματικὴν συνταξιν μεταγόμενα
ὁμοτόνα· τοῖς ὀνόμασι καθεστήκασιν· οἷον
ἐπιεικές· συνεχές· διαμπερές· ἀτρεκές·
τὸ δὲ ἄληθες, ἀντὶ τοῦ ἀληθῶς παρὰ
Ἀττικοῖς οὐχ ὁμοτόνως, ὁμοίως τὸ ἐπά-
-ναγκες· καὶ τὸ χάριεν· οἷον χάριον διη-
-λέγχθη ὁ ἄνος· ἀντὶ τοῦ χαρειντος·
Ἐπιγκενίδες· αἱ πλατεῖαι σανίδες·

οἷον ἐπιτενεῖς ᾖσαι κρόκης τάξιν ἐπέ-
-χουσαι· ἐστὶ δὲ παρὰ τὸ ἐνεγκὼ ῥῆμα
καὶ ἐνῆγκον· ἀλλὰ μὲ ὑπήνεγκαν πάχεες,
πόαγες· παρὰ τὸ ἐνέγκω ποδηνεγκες·
ἐστὶν ἐνέκω ὀὼ ἐνέκις καὶ ἐπενέκις· καὶ
ἐπινεκίς· τροπῇ τοῦ ε· εἰς η· τὸ παρα-
-τεταμένον καὶ διελήλυθός καὶ μακρόν ξύ-
-λον ὑπερθέσει καὶ μεταθέσει τοῦ νε
πηγμενὶς· ἢ μικρὰ σανίς·

Ἔνδοξον καὶ ἐπίδοξον διαφέρει· ἔνδοξον
δημαίνει τὸ προσδόκιμον· ἄμφω γὰρ ἀπὸ
τῆς δόξης εἴρηνται· τὸ μὲν ἀπὸ τοῦ ἐν-
-δόξη· καὶ περιφανεία εἶναι· τὸ δὲ·
ἀπὸ τοῦ καραδοκεῖν καὶ προσδοκᾶν· καὶ
διὰ δόξης ἔχειν τὸ μέλλον ὡς ἥξει·

Ἐπικούλλωμα· τὸ μετὰ τὴν τῶν ἄρτων
διάρτησιν περισσευόμενον· κῶλυξ γὰρ
ὁ ἄρτος· ἔνθεν καὶ τὸ ἰατρικὸν κολλύρι-
-ον· ἀπὸ τοῦ κόλοβος· καλοῦσι δὲ κυλλίστω·
τὴν αἰτίαν·

Ἐλιλίζουσιν· ἐπιμωκῶσιν· ἐμπαίζουσιν·
ἢ καὶ τοῖς ὄμμασι διανεύουσιν· ἔνθεν καὶ
πτιλλὸς ὁ πεπονθὼς· τοῦ πτίλλους· ὅ ἐστι
τοὺς ὀφθαλμούς·

Ἐπιλογίζειν. ἐπικάμπτειν. οἱ γὰρ Ἀττι-
-κοὶ ἠλογὴν καλοῦσι τὴν σκοτία. τινὲς
δὲ ἀπὸ τῶν λόγων. διὰ γὰρ τούτων πλε-
-κοντες χοίνοις πλέκουσιν.

Ἐπιεικής. πρᾶος. σπουδαῖος. παρὰ τὸ
εἴκειν καὶ μὴ ἀντιτείνειν.

Ἐπιεικῶς. πόθεν. ἐκ τοῦ εἴκω τὸ πρέ-
-πω. εἰκῶς. καὶ μετὰ τῆς επι προθέσε-
-ως ἐπιεικῶς.

Ἐπιεικής. οἱ μὲν ἐπεοεικός. οἱ δὲ ἐπιεικ-
-τικός.

Ἐπιείκια. διὰ τῆς ει μετὰ τὴν λήγου-
-σαν καὶ τὴν παραλήγουσαν. παρὰ γὰρ
τὸ εἴκω τὸ ὑποχωρῶ καὶ γὰρ ὁ ἐπιει-
-κὴς εὐχερῶς ὑποχωρεῖ. τὸ δὲ εἴκω
δέδεικται ὀξυ ή

Ἐπιείμενοι. περιβεβλημένοι. μετοχὴ
πτώσεως κλητικῆς τὸ θέμα. ἕω. ῥη-
-ματικὸν ὄνομα ἐτής. καὶ πλεονασ-
-μῶ τοῦ σ ἑστής. καὶ τροπὴ ἐθής.
τουτοῦ ὁ μέλλων ἕσω. ὁ παρακείμενος
εἷκα. ὁ παθητικὸς εἷμαι. ἡ μετοχὴ
εἵμενος καὶ ἐπιείμενος

Ἐπιθαλάμιον καὶ γαμήλιον διαφέρει —
ἐπιθαλάμιον μὲν γάρ ἐστιν. τὸ ἐπὶ θαλά-
-μου τῆς γαμουμένης γραφὲν ποίημα.
γαμήλιον δὲ ὁ περιώρισται χρόνω.

Ἐπιθειάσας. ἐπιθαυμάσας τὸ θεῖον εἰς-
-δεδεγμένος θεοφορούμενος. παρὰ τὸ
θεὸς ὄνομα. θεάω θεῶ ῥῆμα. ὁ ἀόριστος
ἐθέασα. ἡ μετοχὴ ὁ θεάσας καὶ πλεο-
-νασμῶ τοῦ ι. θείασας. ἢ παρὰ τὸ θειά-
-ζω συντάσσεται μετὰ πτώσεως αἰτιατικῆς.

Ἐπιθιγγάνειν. ἐφάπτεσθαι προσεγγίζειν.
παρὰ τὸ θίγω ὁ σημαίνει τὸ ἐφάπτομαι.
γίνεται θιγγάνω. καὶ μετὰ τῆς ἐπι
προθέσεως. ἐπιθιγγάνω.

Ἐπιθρυλλοῦντες. ἐνοχλοῦντες. θορυβοῦν-
-τες. ἐκ τοῦ θρυλλῶ. τοῦτο παρὰ τὸ
θρούω. θροὸς θροῶ. καὶ πλεονασμῶ τοῦ
λ. καὶ τροπῇ τοῦ ο εἰς τὸ υ θρυλλῶ
συντασσε. πτώσεως αἰτιατικῆς.

Ἐπικήδειον. καὶ θρῆνος διαφέρει. ἐπι-
κήδειον μὲν γὰρ ἐστιν ἔπαινος τοῦ τελευ-
-τήσαντος μετά τινος μετρίου σχετλιασμοῦ.
θρῆνος δὲ τὸ ᾄδειν παρ' αὐτῇ τῇ συμφορά.
πρὸ τῆς ταφῆς. καὶ μετὰ τὴν ταφήν.
καὶ μετὰ τὸν ἐνιαύσιον χρόνον ὑπὸ τῶν
θεραπενίδων. καὶ τὸν σῶν αὐταῖς ἐπιτά-
-φιον.

Ἐπίκλοπον. παραλογιζ. καὶ γὰρ ὁ κλέπ-
-της παραλογιζόμενος κλέπτει. σημαίνει

δὲ καὶ τὸν ἐπιθυμητήν. καὶ γὰρ ὁ κλέπτης
ἐπιθυμία τῶν ἀλλοτρίων τοῦτο πράττει.
Ἐπιμυῶ. καμυῶ. ἐκ τῆς ἐπὶ προθέσε:
:ως καὶ τὸ μύω. ἐπιμύσας τοὺς ὀφθαλ:
:μοὺς.
Ἐπίκλημα. ἐπωνυμίαν. ἀπὸ τοῦ κλῶ.
ὃ γέγονεν ἀπὸ τοῦ καλῶ κατὰ συγκο:
:πήν
Ἐπίκουρος. βοηθὸς. καὶ φίλος. ἢ ἐπὶ
πρόθεσις σημαίνει τὸ πρέπον καὶ δέον.
ἢ πρέπει καὶ προσήκει τοῖς νέοις.
πολεμεῖν δὲ καὶ συμμαχεῖν. διαφέρει δὲ
ἐπίκουρος συμμάχου. ἐπίκουρος λέγεται,
ὃ τῶν πολεμουμένω βοηθὸς. ὡς Σαρπη:
:δῶν τρώων. οἱ γὰρ τρῶες ἐπολεμοῦντο.
σύμμαχος δὲ ὁ τῶν πολεμούντων.
ὡς Ἀχιλλεὺς Ἑλλήνων.
Ἐπίκουροι. σύμμαχοι διαφέρει. ἐπί:
:κουροι μὲν γὰρ εἰσιν οἱ τοῖς πολεμουμέ:
:νοις ἐπικουροῦντες. ἤγουν βοηθοῦντες.
καὶ συλλαμβανόμενοι σύμμαχοι. οἱ δὲ τῶν
πολεμούντων.
Ἐπικουρεῖν. ἡ ἐπὶ πρόθεσις. τὸ δέον
δηλοῖ. ἐπικουρεῖν τὸ ποιεῖν τὸ προσή:
:κον τοῖς κούροις. ὡς καὶ τὸ
Αἰχμὰς δ' αἰχμάσσουσιν νεώτεροι.

καὶ ὁπλῶτεροι οἱ ὅπλα βαστάζειν δυνά-
-μενοι· ἢ γὰρ προβεβηκυῖα ἡλικία τούτων
ἀπολέλυται ὡς παρ' ὁμήρω.

Γηραὶ δὴ πολέμοιο πεπαυμένοι —
οὕτως Ἀπολλώνιος ἐν τῷ περὶ προθ'—

Ἐπίπλους· ἀπὸ τοῦ ἐπιπλεῖν· καὶ ἐξε-
-πιπολής· εἶναι τῶν σαρκῶν· σημαίνει δὲ
τὴν τρίπαν τῆς κοιλίας.

ἱερὰ νόσος

Ἐπιληψία νόσος· διὰ τὸ ἐπιλαμβάνεσθαι
καὶ κρατεῖν αὐτὴν τὰς αἰσθήσεις ἐκάλε-
-σαν· καὶ αὐτὸ τοῦτο ἱερὰν νόσον, διὰ τὸ
ἱερὸν καὶ τίμιον εἶναι τὸν ἐγκέφαλον.
ἄλλοι δὲ ἡρακλίαν νόσον, διὰ τὸ ἰσχυρὸν
καὶ δυσμετάθετον τοῦ πάθους.

Ἐπιληψία· νόσος· διὰ τὸ ἐπιλαμβά-
-νεσθαι καὶ κρατεῖσθαι αὐτὴν τὰς αἰσθή-
-σεις· καὶ τὰ ὄπισθεν.

Ἐπιλῆσθαι παρὰ τὸ λήθω· τὸ λανθάνω.

Ἐπιμαχεῖν· καὶ συμμαχεῖν διαφέρει·
συμμαχεῖν μὲν γὰρ τὸ σὺν αὐτοῖς εἶναι.
ἐπιμαχεῖν δέ· εἴτε τοῖς αὐτοῖς εἴτε αὐ-
-τοὶ ἑτέροις ἐπιστρατεύοιεν.

Ἐπιμαχεία· τοῦ συμμαχεία διαφέρει.
ἐπιμαχεία ἐστὶν ἀντὶ τοῦ ἀμύνασθαι
εἰς ὀργήν· καὶ οὐτὸ αἰδεῖσθαι καὶ ὀνεῖν.

συμμαχεία δὲ τὸ συναστίζειν πολεμου-
-μένοις

Ἐπίνηόν. ἐπὶ τῆν ναῦν. παρὰ τὸ ναίειν.
ὅ ἐστιν οἰκεῖν.

Ἐπίνοια. ἐπέννοια τίς καὶ ἐπενθύμη-
-σις.

Ἔπιον. εἰς τὸ θεοπρόπιον.

Ἐπίορκος. ὁ ὀμνύων. παρὰ τὸ ὑπερ-
-βαίνειν τοὺς ὅρκους. ἡ γὰρ ἐπὶ ἀντὶ
τῆς ὑπὲρ ἔγκειται. καὶ δηλοῖ τὸ ὑπὲρ
ἄνω τῶν ὅρκων γενέαθαι. καὶ ὑπερβαίνειν
αὐτοὺς.

Ἐπίπατον. πρόσεγον. καταπέτασμα.
παρὰ τὸ ἐπικεῖαθαι. καὶ τῇ γῇ ἐφορμᾶν.

Ἔπιπλα. εἰς τὸ ὅρκια. ἱμάτια. ἡ μα-
-φόρια. τὰ ἐξ ἐπιπολῆς σκεύη. οἷον
ἐπιπόλβιος. κτῆσις καὶ ὅσα δυνατὴ
πλοΐζεαθαι. ἀλλ' οὐκ ἔγγειος. ἢ τὰ σκεύη
τὰ ἐν χερσὶ καὶ χρειώδη καὶ ἐπιπολά-
-ζοντα. ἐν τῷ οἴκῳ.

Ἐπικύσειν. ἐπὶ τῷ στόματι φιλεῖν. λέ-
-γειν δὲ ἐπὶ κύκλον κάλλιον. κυλοῖ
γὰρ τὰ βλέφαρα. ὅθεν κυλοιδιᾶν λέγε-
-ται τὸ ἐπῆρθαι τοὺς ὀφθαλμοὺς καὶ
Χρύσιππος ff. κυλλήνιος Ἑρμῆς. ἐπειδὴ
ἡ ῥαῦδος αὐτοῦ ἀνδρῶν ὄμματα θέλγει.

ἀπὸ τοῦ ἐπίπολυ καθεύδοντας οἰδεῖν τοὺς ὀφθαλμοὺς. φαίακες δὲ θοῦσιν αὐτῷ ἐπιφαγεῖ. διὰ τὸ καθεύδειν ὡς ὅμηρος.

— ὅτε μνησαίατο κοίτου — οὐχ' ὅτι ὀνειρόπομπος ἦν. ἀλλ' ὅτι ὕπνου ἥδεος αἴτιος. ὅθεν ἐπικύνιον τὸ περὶ τὸν κύκλον τόπον καλοῦμεν.

Ἐπίρρητος. ὁ μιαθός.

Ἔπιον. εἰς τὸ θεοπρόπιον τάσσεται.

Ἐπιμίξ. παρὰ τὸ μίγω ῥῆμα. μίξω. μίξ. ἐπιμὶξ. δάκω. δάξω. δάξ. ὁδὰς. ἀλλάσσω. ἀλλάξω. ἀλλάξ. ἐναλλάξ. ταῦτα ὡς ἐπίρρημα μεσότητος. εἰ γὰρ ἐβαρύνετο. ὡς ὀνόματα ἐκλίνομεν.

Ἐπινέμησις. ἡ τοῦ χρόνου μερίσις. καλεῖται ἑλληνιστὶ ἡ κατὰ τὸν σεπτέμβριον μῆνα ἀρχὴ τοῦ ἐνιαυτοῦ, διὰ τὸ μερίζεσθαι τοῖς στρατιώταις τὸν φόρον κατὰ τοῦτον τὸν μῆνα. ἐκ τοῦ διανέμεσθαι γὰρ τοῖς ὑπηκόοις τοὺς φόρους τὴν ἐπωνυμίαν ἡ εἰς ἐνιαυτοῦ περίοδος ἐπινέμησις.

Ἐπίρροθος. ὁ ἐπιρρωνύων καὶ ἐπικελεύων. ἀπὸ μεταφορᾶς τῶν ἐνθήρα κυνῶν. ἐπιρρωνυμένων ὑπὸ τῶν θηρατῶν. ὅθεν ἐπίρροθος καὶ ἐπιτάρροθος

πλεονασμῶ τῆς ταρ̄ συλλαβῆς. παρὰ τὸ ῥόθος καὶ ῥόθω ῥῆμα τὸ παρορμῶ. ἐπίρροθος. ὁ ἐν τῷ βοηθεῖν πρόθυμος καὶ παρορμᾶν.

Ἐπιπλώσας. ἐπὶ τὴν ἴλιον πλεύσας. μετοχή. ἀόριστος πρῶτος. ἐστὶν ὁ ἐνεστῶς ἐπιπλώω βαρυ διὰ τοῦ ω̄ μεγάλου. ὡς ζώω. καὶ γνώω. ἐξ οὗ καὶ τὸ ἐγνώσθη. οὕτως οὖν ἐστι καὶ τὸ πλώω. γίνεται οὖν ἐκ τοῦ πλέω. πλώω. κατ' ἐπαύξησιν τοῦ ο̄ εἰς ω̄ ποιητικῶς καὶ βαρύ. ἐπειδὴ τὰ κατ' ἐπαύξησιν τοῦ ο̄ εἰς ω̄ γινόμενα ῥήματα. εἰ μὲν καθαριεύουσι βαρύνονται. οἷον ζώω. πλώω. γνώω. εἰ δὲ οὐ καθαριεύει περισπᾶται. οἷον νομῶ. στροφῶ. λοιπὸν ἐκ τοῦ πλώω. ὁ ἀόριστος ἔπλωσα. καὶ μετὰ τῆς ἐπι προθέσεως. ἐπέπλωα. καὶ ἡ μετοχὴ ἐπιπλώσας καὶ τὰ λοιπά.

Ἐπὶ ῥηγμῖνι θαλάσσης. ἐπὶ τῷ αἰγιαλῷ. διὰ τὸ ῥήσσεσθαι ἐκεῖ τὰ κύματα τῆς θαλάσσης.

Ἐπιρρήσσω. παρὰ τὸν ῥῆσω μέλλοντα. ὡς τμής. τμήσω. τμήσην γὰρ τὸ πορεύομαι.

Ἐπισκέπτω. ἐφορῶ. ἐκ τοῦ σκέπω. πλεονασμῶ τοῦ τ̄ σκέπτω. τοῦτο παρὰ

τὸ σχεθῶ. τὸ κωλύω. σκέπω τροπῇ τοῦ
χ̄. εἰς κ̄.

Ἐπίρρησις. ὁ ψόγος. καὶ ἡ κατηγορία.

Ἐπισκήπτω ἐνετείλω. ἢ προφασίζω. καὶ
σκῆψις ἢ πρόφασις.

Ἐπίσπω. τὸ ἀκολουθῶ δοτικὴ ἐπισπῶ-
-μαι, τὸ ἀπογεύομαι αἰτιατικὴ.

Ἐπίσκοπος. ὁ ἐπὶ τὸ σκοπεῖν ὤν.

Ἐπισκοπή. πρόνοια.

Ἐπισκυνεῖν σημαίνει τῷ στόματι φιλεῖν.
λέγειν δὲ. κύλοι γὰρ τὰ βλέφαρα. ἐπὶ
κύκλον κάλλιον. ὅθεν καὶ κυλιδιᾶν λέγεται.
τὸ ἐπῆρθαι τοὺς ὀφθαλμοὺς καὶ χρυ-
-σίππος γράφει. ἐξ οὗ καὶ κυλλήνιος
ἑρμῆς. ἐπειδὴ ἡ ῥᾶβδος αὐτοῦ ἀνδρῶν
ὄμματα θέλγει. ἀπὸ τοῦ ἐπὶ πολὺ
καθεύδοντος οἰδεῖν τοὺς ὀφθαλμοὺς.
φαίακες δὲ θύουσιν αὐτῷ ἑσπέραν οὐ
διὰ τὸ καθεύδειν ὡς ὅμηρος.

——— ὅτε δὴ μνησσέατο κοιτοῦ.

οὐχ' ὅτι ὀνειρόπομπος ἦν. ἀλλ' ὅτι
ὕπνου ἡδέος αἴτιος. ὅθεν ἐπισκύνιον
τὸν περὶ τοῦ κύκλου τόπον καλοῦμεν.

Ἐπιστολή. διὰ τὸ ἐν πλατεῖ τηρεῖν
τόπῃ.

Ἐπιστεῖλαι καὶ ἐπισκῆψαι διαφέρει—

ἐπιστεῖλαι μὲν διὰ γραμμάτων· ἐπισκῆψαι δὲ διὰ λόγων

Ἐπίσιον διὰ τοῦ ῑ· τὰ δύο· σημαίνει δὲ τὸ ἐφυβαῖον· καὶ γὰρ ἀπὸ τοῦ πάσιον τοῦ σημαίνοντος τὸ ξηρὸν γέγονεν ἐπί:σιον· καὶ ἄλλως παρὰ τὸ εἰσιέναι ἐστίν.

Ἐπιτήδειος· ἔστι ῥῆμα δέω· ὃ σημαίνει τὸ φοβοῦμαι· ἐξ οὗ γέγονεν ὄνομα ῥημα:τικὸν δεός· ἐξ οὗ καὶ δεὴς ὁ μὴ φοβου:μενος καὶ ἐκ τοῦ ἀδεὴς γέγονεν· ἄδεια· καὶ ἄδειος· καὶ ἐν πλεονασμῷ τοῦ τ τά:δειος· καὶ μετὰ τῆς ἐπι προθέσεως ἐπι:τάδειος· καὶ ἔκτασει τοῦ α εἰς η· ἐπιτήδειος.

Ἐπισκύνιον· παρὰ τὸ σκύνος, τὸ δέρμα τὸ ἐπάνω τῶν ὀφρύων ἐπιφρίδιον.

Ἐπισκύσαι· τὸ χαλεπῆναι· παρὰ τὸ ἐ:πισκύνιον καθέλκεσθαι τοῦ χαλεπαίνον:τος· σκύζω· τὸ ὀργίζομαι καὶ ἐξ αὐτοῦ σκύσαι καὶ ἐπισκύσαι.

Ἐπιστήμη· ὡς εἰς ἐπίστασιν ἄγουσα· τὸν νοῦν· φησὶν ὁ πορφύριος ἐν κρατύλῳ.

Ἐπισπᾶσθαι· εἰς τὸ ἀσπάσιος.

Ἐπιστήμη· τέχνης διαφέρει· καὶ ἡ μὲν ἐπιστήμη ἀπταιστος κτάλυψις ὑπὸ ὀρθοῦ

λόγου κατεσκευασμένη· ἡ δὲ τέχνη πται-
-στή·

Ἐπιστρέφεις· καὶ ἐστραφὴς διαφέρει·
ἐπιστρεφὴς μὲν γὰρ ἐστὶν ὁ ἐπιμελής·
ἐστραφεὶς δὲ ὁ ἐπιδέξιος ἐν ταῖς μετα-
-βολαῖς·

Ἐπίστρεψον· ἐκ τοῦ ἐπιστρέφω· ἐπέστρε-
-φα· ὁ μέσος παρακείμενος· ἐπέστρεμμαι·
ὁ παθητικός· καὶ ὁ παθητικὸς ἀόριστος
ἐπεστράφην· ἱστέον δὲ ὅτι ὁ παθητικὸς
ἀόριστος ἀεὶ φυλάσσει τὸν παραλήγοντα
τοῦ παθητικοῦ παρακειμένου· πλὴν τῶν
παρὰ τὸ αἰρῶ περισπωμένων ὡς εἴ-
-ρηται· ἢ τὰ ἔξωθεν τῶν τρόχων·

Ἐπίσωτρα· τὰ κύκλω τοῦ ἅρματος
τῶν τροχῶν σίδηρα· παρὰ τὸ σῶ· ὁ
σημαίνει τὸ ὁρμῶ· ὁ μέλλων σώσω· καὶ
ὄνομα ῥηματικὸν σῶτρον· καὶ μετὰ
τῆς ἐπὶ προθέσεως πλεονασμῶ τοῦ
σ̄· ἐπίσωτρον τὸ ἐκ τῶν τροχῶν σι-
-δήριον

Ἐπιτετράφαται· ἐπισείεσθαι· καὶ ἐν
τῇ γῇ ἐφορμᾶν ἐπιδέδεικται· τὸ ῥῆμα
τρέπω· ὁ μέλλων τρέψω· ὁ παρακεί-
-μενος τέτραφα· ὁ παθητικὸς τέτραμμαι·

τροπή τοῦ ω̄ εἰς ᾱ· τέτραπται· τὸ πλη:
:θυντικὸν τετράμμεθα· τετράφθαι καὶ
τὸ ἰωνικὸν τετράφαται, καὶ ἐπιτετρά:
:φαται·

Ἐπιτήδευσις· τέχνης διαφέρει· τέχνη
ἐστὶν· ἢ ἄνευ λόγου μὴ δυναμένη εἶναι·
οἷον γραμματική· ἢ ῥητορική· ἐπιτή:
:δευσις τὸ τοῦ λόγου χηρεῦον· οἷον τεκ:
:τονική· χαλκευτική· τεχνητεῦω· τεχ:
:νίτης· τέχνησσα· ἐπεὶ καὶ τεχνικὸν
ἔργον· ἐκ τοῦ τέχνη· τεχθησόμενος·
ἐκ τοῦ τεῦξω· τέτευχα·

Ἐπὶ τὸ αὐτὸ ἐπίρρημα τοπικόν· ἢ
ἀθροίσεως καὶ συλλήψεως· ἐπὶ προθέσεως
τὸ ἄρθρον· αὐτὸ ἀντωνυμίας οὐδετῆς·

Ἐπιτάφιος λόγος· ὁ ἐπάνω τοῦ ταφοῦ
λεγόμενος· ἐγκωμιαστὸς παρ' αὐτῇ τῇ τα:
:φῇ·

Ἐπιτίμιον· τὸ ἕως τίμιον ὑπάρχ· ἢ
τὸ καταργεῖν· ἤτοι κρατεῖν καὶ δεσμεῖν·

Ἐπίτροπος· χηρωστής·

Ἐπίτηδες· ἐκ τοῦ ἐπιτηδὴς συστολήτου
ῑ· καὶ ἔστιν ὄνομα ἐπιρρηματικόν· οἱ
δὲ ἐκ τοῦ ἐπιτηδεῦω· ἢ εὐθεία τῶν
πληθυντικῶν οἱ ἐπιτηδεῖς· ἢ αἰτιατικὴ
τοὺς ἐπίτηδες κατ' ἔλλειψιν·

Ἐπίστευσα. ἐκ τοῦ πιστεύω. τοῦτο παρὰ τὸ πίστις. τοῦτο παρὰ τὸ πείθω.

Ἐπιτολή. φαῦσις. ἀνατολὴ ἄστρου.

Ἐπιτηδής. ὁ ἄφοβος. παρὰ τὸ δέος. ὁ συμαίνει τὸν φόβον. γίνεται δεής. καὶ μετὰ τοῦ στερητικοῦ ᾱ. ἀδεὴς ὁ ἄφοβος. καὶ μετὰ τῆς ἐπῑ προθέσεως ἐπιαδέης. καὶ ἐκβολὴ τοῦ ε. ἐπιαδής. καὶ πλεονασμῶ τοῦ τ ἐπιταδής, καὶ τροπὴ τοῦ ᾱ. ἐς η ἐπιτηδής. οἱονεὶ ὁ ἄφοβος πάντα ποιῶν.

Ἐπιτήδης ἐστίν. ἔτης ὁ συμαίνει τὸν συνηθη. ἀπὸ τοῦ ἔθος γεγενήμενον. ἐτητής. ἐν παραγωγῇ καὶ ἐτηδής. καὶ ἐν συνθέσει ἐπιετήδης. ἀποβολὴ τοῦ ε. ἐπιτήδης. καὶ ἐπιτήδειος ἐξ αὐτοῦ. ἢ παρὰ τὸ ἥδω τὸ τέρπω. καὶ εὐφραίνω ῥηματικὸν ἥδης καὶ μετὰ ἐπῑ προθέσεως ἐπιήδης. καὶ προσθέσει τοῦ τ ἐπιτήδης. καὶ ἐπιτήδειος ἀπ' αὐτοῦ

Ἐπίτιμος. καὶ ἐπιτίμιος διαφέρει. ἐπίτιμος μὲν γὰρ ἐστιν ὁ ἔντιμος. ἐπιτίμιος ὁ ἐπιζήμιος. καὶ ἐπίπληκτος. ἀφ' οὗ τὴν ἐπίπληξιν ἐπιτίμησιν φαμέν. ἐπιτίμησον αὐτόν. ἀντὶ τοῦ ἐπίπληξον.

Ἐπιτίμιον. καὶ ἐπίτιμον διαφέρει. ἐπι-
-τίμιον μὲν γὰρ ἐστιν ἡ βημία. ἐπίτιμον
δὲ τὸ τῆς τίμης μέτεχον. ὥστε οὐ δεῖ λέ-
-γειν. ἐξαίτησμα τὸ ἐπίτιμον. ἀλλὰ τὸ
ἐπιτίμιον.

Ἐπιτήδης. ὁ ἐπιτηδευτής. σημαίνει δὲ
τὸν ἄφοβον ἐκ τοῦ ἐπιτηδεύω. ἐπιτήδειος.
εὔκαιρος. ἀγαθός. δεξιὸς. καὶ σωήθης.

Ἐπιτηδίως εὐκαίρῃ.

Ἐπιτήδεια. πρέποντα.

Ἐπιτηδεύει. ποιεῖ τεχνάζεται.

Ἐπίτηδες. ἐπιτηδεύμενον. ἢ ἑκούσιον.
ἔστι δὲ τοῦτο ὄνομα τριγενές. ὁ ἐπιτή-
-δειος. ἡ ἐπιτηδεία. τὸ ἐπιτήδειον.

Ἐπιτροχάδην. ἠπειγμένῃ. ὥσπερ τρέχων.
ἢ κεφαλεωδῶς ἢ πάχεῃ. ἀπὸ τοῦ τρέ-
-χω ῥῆμα. ὅπερ ὁ ποιητὴς τρόχω εἴρη-
-ται. καὶ Δῶμεν τρόχων. ἐκ τοῦτου τρο-
-χάδην. καὶ ἐπιτροχάδην.

Ἐπιτροχάδην. τὸ σύντομον καὶ ταχὺ ἐκ
τοῦ τροχὸς. τροχάδην τὰ γὰρ ἀπὸ
ὀνομάτων. τῶν εἰς ος γινόμενα
ἐπιρρήματα διὰ τοῦ α ἐκφέρονται. οἷον
νόμος. νομάδην. σπόρος σποράδην. τρο-
-χὸς τροχάδην. τὸ δὲ παμπήδην ἐκ
τοῦ πάμπαν.

Ἐπιφάνεια. τὸ ἔξω μέρος. τοῦ σώμα-
-τος παρὰ τὸ φαίνεσθαι.

Ἐπιωγή. ἐκ τοῦ ὠγή. ὁ ὑψηλὸς τόπος
λέγεται.

Ἔπος κυρίως μὲν τὸ ἑξάμετρον ἀπὸ τοῦ
ἔπειν ὅ ἐστι λέγειν.

Ἐπόπτης. καὶ ἐποψεισμός. ὁ φανερός.

Ἐπίχειρα. κυρίως τὰ ἐργαζόμενα ἐπὶ
ταῖς χερσὶ διδόμενα. οὐ πάντως λόγω μισθοῦ.
οἷον καὶ ἄλλα τινά.

Ἐπιωγαί. οἱ συγκλεισμοί. ἀπὸ τοῦ
ἐπῶξαι. ὅ ἐστι συγκλεῖσθαι.

Ἐπιωγή. ἡ σκέπη.

Ἐπλήγην. ὡς εἰ χόρτος τοῦ κατεπλήγη-
ἰωσήφ. διαφέρει τὸ μὲν γὰρ σωματικόν.
τὸ δὲ ψυχικόν. ἀπὸ τοῦ πλήσσω. ἐπλή-
-γην δὲ σώματος. ἐπλάγην δὲ καὶ κατε-
-πλάγην. ἐπὶ τῆς ψυχῆς. ὅμηρος.

Ἐπράθομεν. ἐπορθήθημεν. πέρθω τὸ
πορθῶ. ὁ δεύτερος ἀόριστος ἔπραθον.
τὸ δὲ πληθυντικὸν ἐπράθομεν.

Ἐπλήσθημεν. τὸ πρῶτον πρόσωπον
ἐπλήσθην. διαφέρει τὸ ἐπλήσθην τοῦ
ἐπλησηρίασεν. τὸ μὲν γὰρ ἐπλήσθην.
ἀπὸ τοῦ πλήθω. τὸ δὲ πλεισηρίω ἀπὸ

τοῦ πλειστάκις. τοῦτο δὲ παρὰ τὸ πλεῖστος.

Ἐπωλυωρευθας. ἐκ τοῦ πολύ. ὀρέω τὸ φο
λαύβω. γίνεται πολυορέω. πολυορεύθω.

Ἑπτά. ἀπὸ τοῦ ἅπτεσθαι πρὸς τὸν δέκτον
ἀριθμόν. ἢ ἀπὸ τοῦ ἑκάς.

Ἑπτάπους. παρὰ τὸ δεκτὸς εἶναι. τῶν
γὰρ ἀριθμῶν οἱ μὲν τίκτουσιν.

Ἑπταπέκτιος. ἡ βαθεῖαν ἔχουσα κοιλίαν. ἢ
δυναμένη ἑπτάκις τρυγᾶν. πέσσειν γὰρ τὸ
κεῖσθαι ἢ κτενίσαι.

Ἐπάνυμον. ἐπιδέτου διαφέρει ὅτι τὸ
μὲν ἐπίδετον ἐπὶ φόγου κεῖται πολλάκις.
τὸ δὲ ἐπώνυμον ἐπεγωμίδ.

Ἔπω καὶ ἐπίδπω. τὸ ἀκολουθῶ. εἶπον παρὰ τὴν.

Ἔπω. δυμαίνει δύο. τὸ λέγω. καὶ τὸ ἀκολου
θῶ. διαφέρει δὲ κατὰ πρόπους δύο. ὅτι
τὸ μὲν ἔπω τοῦ λέγω τὰ ἐνεργητικὰ εἴρηται.
τὰ δὲ παθητικὰ οὐχί. τῷ δὲ ἀκολουθῶ τὰ
παθητικά. οἷον ἕπομαι. καὶ εἰπόμην.
ποιητικῶς ἑπομῶ. τὸ ἐνεργητικὸν οὖν
ἔχει. καὶ τὸ δύικόν ἑπόμεθον. καὶ τὸ
τρίτον ἑπέσθω. καὶ ποιητικῶς πλεονα
σμῷ τοῦ σ ἑπέσθω. ἀμφιέπω δὲ καὶ πε
ριέπω. καὶ εἰς τὸ ἄβρετος. καὶ ἄφ. καὶ
δίεπε καὶ εἵπαιβαν. καὶ εἶπον καὶ ὠπτέμης.
καὶ ἄελλος. καὶ ὑπερόπτω. καὶ ἀπιόπτος.

καὶ νόσφιξ· καὶ πώγων καὶ σάλπιγξ.

Ἐπώνυμον· παρὰ τὴν ἐπὶ πρόθεσιν καὶ ὄνομα· γίνεται ἐπιόνυμον καὶ ἐπώνυμον. σημαίνει δὲ ὄνομα· τὸ ἔχον δύο ὀνόματα. ἓν κύριον καὶ ἓν ἐπίθετον· οἱονεὶ τὸ ἐκ τοῦ συμβεβηκότος καλούμενον.

Ἐπῶν· λόγων· ὄνομα οὐδέτερον ἢ εὐθεία. τὸ ἔπος· τοῦτο παρὰ τὸ ἔπω τὸ λέγω· γίνε:ται ἔπος· ἔπῃ· ἔπεα· ἔπη· ἐπέων· ἐπῶν.

Ἐπώχετο· οἴχω· οἴχομαι· ὠχόμην· ὤχετο. ἐπορεύετο.

τὸ ε̄ μετὰ τοῦ ρ̄.

Ἔρα· ἢ γῆ· εἰς τὸ ἀπερύκειν καὶ ἐνέρθε:ν· καὶ ἔνερος· καὶ ἐνενόχρωτος· καὶ ἐξ:ῆρψε· καὶ ἐρυσίβη καὶ εὐρώων.

Ἔραζε· χαμαὶ καὶ εἰς τὸ χαμάζε.

Ἐρᾶν τοῦ ποθεῖν διαφέρει· ἐρᾶν μὲν γὰρ ἐστι τὸ ἐν ὄψει ποθεῖν· καὶ τοὺς ἀπόντας· ὅμηρος.

Ὁσσέο νῶ ἔραμαι καὶ μεγλυκὺς ἵμερος αἴρει.

πρὸς τὴν ἦραν φησίν· ὅζεύς παρουσ. ἐπὶ τοῦ ἀπόντος

Ἀλλά μέ σός τε πόθος σά τε μήδεα φαίδιμ' ὀδυσσεῦ

Σή τ' ἀγανοφροσύνη μεμυδέα φῶ.

Ἐρᾶν πρῶτον ἐπὶ τῆς γῆς ἐρρέθη· ἀφ' οὗ

ἔρα. ἡ γῆ. καὶ ἐρωῆσαι. τὸ τῆς γῆς ἀπο-
χωρῆσαι. καὶ εἰς τὸ ἐρωήσα.

Ἔρανος. τὸ ἐκ συνεισφορᾶς δῶρον καὶ
ἐντολή. ἢ συλλογή. ἀπὸ τοῦ ἐρῶ ὁ
σημαίνει τὸ ἐπιθυμῶ. ἐρῶ τὸ ἐπιθυμῶ,
συντάσσεται μετὰ γενικῆς. ἐρῶ τὸ λέ-
γω. συντάσσεται μετὰ δοτικῆς. ἐρῶ τὸ
ἐρωτῶ συντάσσεται μετὰ αἰτιατικῆς.
ἔρρω. τὸ φθείρω ὁμοίως μετὰ αἰτιατικῆς.

Ἔρανος. ἀπὸ τοῦ συναιρᾶν καὶ ἐπιθυμεῖν
συνεισφέρειν τέ τοῖς φίλοις καὶ εὐωχεῖσθαι.

Ἔρανος. ἡ ἐκ πολλῶν εἰς ἓν γεγενημένη εὐ-
ωχία.

Ἔραν τὴν γῆν. ὅτι ἐνερίζωται. καὶ οὕτω
καλοῦσιν ἐρίσαι τὸ περὶ ἴσης γῆς φιλονεικῆσαι.
καὶ ὅμηρος.

ὦ τὸ λιγὺ ἐνιχώρω ἐρίζετο περὶ ἴσης.

ἔρα ἡ γῆ. ἐκ τοῦ ἐρῶ τὸ ἐπιθυμῶ.

Ἐράσθην. πόθεν ἐστιν. εἰ γὰρ ἀπὸ τοῦ ἐρῶ
ἐρᾶς. ἐράσθω. ἔδει εἰδέναι ὡς φυρῶ. φυρᾶς.
ἐφυράθω. τὸ πρῶτον τῆς δευτέρας συζυγίας
τῶν περισπωμένων μετὰ τοῦ ρ ὑπάρχοντος.
ἢ μετὰ φωνήεντος ἐκτεινομένου. περάσω.
ἐάσω. εἰ δὲ μετὰ τοῦ Λ. συστέλλεται γελάσω
ὅταν δὲ ὁ παρατατικός. ἀπὸ περισπωμένου

μακρὰ παραλήγεται· καὶ λαμβάνει τὸ σ̄
ἐν τῷ παθητικῷ· νενόηκα· νενόημαι· κε-
χρύσωκα· κεχρύσωμαι· πεφύρακα· πεφύρα-
μαι· ἐφυράθην· κεκονίακα· κεκονίαμαι·
ἐκονιάθην· παρὰ οὖν τὸ ἐράσθην· ἔλαβε τὸ σ̄.
εἴπομεν ὡς τὸ πρῶτον τῆς συζυγίας τῶν
περισπωμένων μετὰ τοῦ ρ̄ μακρὸν ὑπάρχει.
οὐ γέγονε δὲ ἀπὸ τοῦ ἐρῶ· ἐρᾶς· ἀλλ' ἀπὸ
τοῦ ἐράζω τῆς τετάρτης τῶν βαρυτόνων
καὶ πειράζω· ἐπειράσθην· καὶ πελάζω ἐπε-
λάσθην· οὕτως ἐράζω ἐράσθην.

Ἐρασῖνος· καὶ ἐρατεινός· ὁ ἐράσμιος παρὰ
τὸν ἐράσω μέλλοντα γέγονε διὰ τοῦ ῑ·
γρ^αι· τῷ λόγῳ τοῦ ἐρυθῖνος·

Ἐρατεινός· διὰ τῆς ει διφθόγγου· πρῶτον
μὲν ἐρατενὸς λέγουσιν οἱ Δωριεῖς· ὥσπερ
ποθεινὸς ποθενός· δευτέρω δὲ τῷ λόγῳ τῶν
εἰς μος ὀξυτόνων τῶν εἰρημένων ἐν τῷ
εἶπειν·

Ἐρατεινή· καλὴ ἐπέραστος· ἐπεθυμητή·
ἐκ τοῦ ἔρατος· ὃ σημαίνει τὸ ἐπιθυμητὸν
γίνεται ἐρατεινός· τὸ δὲ ἐρατὸς ἐκ τοῦ
ἐρῶ τὸ φιλῶ

Ἐργαζόμενον· εἰς τὸ ἐκάεργος·

Ἔργον γεώργιον· παρὰ τὸ ῥέζω τὸ πράττω·
ῥέγον καὶ ἔργον· σημαίνει τρία τὴν —

παρασκευήν τοῦ πολέμου.

Ἔνθα κεν οὐκέτι ἔργον ἀνὴρ ὀνόσσετο μέτελθε.

σημαίνει καὶ τὰ γεώργια.

πολλὰ δ' ἐπ' αὐτοῦ ἔργα κατήριπε —

σημαίνει δὲ καὶ τὸ κοινῶς γοούμενον.

Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ αὐτῆς ἔργα κόμιζε.

Ἔργω σημαίνει δύο τὸ κωλύω. ὃ καὶ εἴργω λέγεται. ἐξ οὗ καὶ εἱρκτή. καὶ ἔργω τὸ παχύω. ἐξ οὗ καὶ ἔρξαι τὸ παχῦσαι.

Ἐργώδης. ἀντὶ τοῦ δυσχερέστατον. παρὰ τὸ ἐργώδης. τοῦτο παρὰ τὸ ἔργον. τὸ γῶ μέγα. τὰ γὰρ διὰ τοῦ ὤδης ἀρσενικά. εἴτε δυσύλλαβα. εἴτε ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ω μεγάλου γράφεται. χωρὶς τῶν παρατόπους ποδὸς σαυτεθεμένων. ὡς ἔχει τὸ τρίποδον καὶ τετράποδον.

Ἔρδω. τὸ πράττω ἢ θύω παρὰ τὸ ῥέζω καὶ εἰς τὸ ῥέξας.

Ἔρδω. σημαίνει δύο τὸ ποτίζω, οὗ ὁ μέλλων ἔρσω. ἐξ οὗ ἔρσαι αἱ δρόσοι. αἱ ἐν τῷ ἔρσει τῆς γῆς. ἀντὶ τοῦ ἐν τῇ δρόσῳ. καὶ πιότητι καὶ ἔρδω τὸ πράττω, ὅπερ γέγονε παρὰ τὸ ῥέζω. ὥσπερ ὅμηρος — ἔρζον ὅπως.

Ἐρεμβοί. οἱ Ἄραβες. εἰσὶ γὰρ ἀπὸ Ἄραβος βασιλέως βαβυλῶνος.

Ἔρεβος σκότος. ζόφος. παρὰ τὸ εἰς τὴν ἔραν βαίνειν. ἢ παρὰ τὸ ἐρέφω τὸ στεγάζω. ἔρεφος καὶ ἔρεβος. τὸ ὑπὸ τῆς γῆς ἐστεγασμένον. καθὼς καὶ τῶν ποιητῶν δοκεῖ.

Ἐν ἀρχὴ ἦν ἔρεβος καὶ χαὸς τῆς γῆς — καὶ εἰς τὸ λιβρός.

Ἔρρεθα. πόθεν ὡς ἀπὸ τοῦ ῥῶ. τὸ λέγω. ῥήσσω. ἔρρηκα, ἔρρημαι. καὶ τροπῇ ἔρρεθα.

Ἔρεβος. σκότος ὁ πρὸ τοῦ ταρτάρου τόπος.

Ἐρεμβοὺς τοὺς τρωδύτους. παρὰ τὸ εἰς τὴν ἔραν δύνειν. οἱ δὲ τοὺς ἰνδοὺς παρὰ τὸ ἔρεβος, καὶ μέλανες.

Ἐρίπω. ῑ. ἱστέον δὲ ὅτι ὁ Δίδυμος τὸ ἐρίπω καὶ ἐρίπια ὁ σημαίνει τοὺς πεπτωκότας τόπους. ἔλεγε ϝ διὰ τοῦ ῑ. ἐπειδὴ παρὰ τὸ ἔρι ἐστί. τὸ δὲ ἔρι ἐπιτατικόν. ἐπίρρημα. ὁ δὲ Φιλόξενος. ὅτι ὡς φησὶν ὁ τεχνικός, ὅτι ἐρίπω. ῑ. ὤφειλεν. ὡς καὶ ὁ Δίδυμος φησίν. εἰπὼν δὲ ὀφείλει. ἐλήλωσεν οὐ διὰ τοῦ ῑ. γράφεται. ἀλλὰ διὰ τῆς ει. ἐστὶ καὶ τὸ ἐρέπτω. καὶ κατ' ἀποβολὴν τοῦ τ ἐρείπω. ἱστέον δὲ τὸ ἐρείπω ὅτι οὐ καλῶς ἐρείπω. καὶ ἐνέργειαν

σημαίνει· καὶ πάθος.

Ἐρεθίζω· παρορμῶ παρὰ τὸ ἐρέθω γίνε-
-ται τὸ παροξύνω· τοῦτο παρὰ τὸ ἐρῶ τὸ
λέγω ἐρέθω. ὡς παρὰ τὸ φλέγω φλεγέσθω.
καὶ νέμω νεμέσθω καὶ εἴκω εἰκάσθω.

Ἔρεθεν· ἐμυκτήριζεν· ἐκ τοῦ εἴρω τὸ λέγω
ἐρεθίζω· ἐκ τοῦ ἔρις· ἐρίζω καὶ ἐρεθίζω.
καὶ παρὰ τὸ ἐρέθω τὸ ἐρεθίζω· ὡς λέ-
-πω λεπίζω· ἐρεθισμὸν δὲ λέγομεν καὶ
τὸν τῶν ἐχθρῶν ἔπαινον· ἢ παρὰ τὸ ἐρῶ
τὸ λέγω· ἐρέθω καὶ ἐρεθίζω.

Ἐρείδω· καὶ ἐπερείδω τὸ στηρίζω τὸ
εἶ διφθόγγου· ὅτι ἀνεφάνη τὸ ε· ἐν
τῷ ὄρει ῥέδαται· ὁ Ἀττικὸς παρακείμενος
ἐρήρεικα· ἀλλ' οὐ συστέλλεται· διὰ τὸ μὴ
συνεμπεσεῖν τῷ ἀπὸ τοῦ ἐρίζω.

Ἐρείδω· τὸ ἀπακουμβίζω· καὶ ὁ μέλλων
ἐρείσω· ὁ παρακείμενος ἤρεικα· καὶ ἐρή-
-ρεικα· ὁ παθητικὸς ἤρεισμαι· καὶ ἠρή-
-ρεισμαι· ἡ μετοχὴ ἠρεισμένος· καὶ ἠρη-
-ρεισμένος· καὶ εἰς τὸ ἔρις ἐρείκω τὸ χί-
-ζω διὰ τῆς εἶ διφθόγγου· ἔφα γὰρ ἐν
τῷ ἐρέχθω.

Ἐρεβοδιφῶ· τὸ χάος ζητῶ

Ἐρεείνω τὸ λέγω· ὡς φαείνω τὸ λάμπω.

Ἐρεείνω. τὸ ἐρωτῶ. παρὰ τὸ ἐρῶ τὸ λέγω. μέλλοντα οὐκ ἔχει, ἀλλ' ἄχρι τοῦ παρα=τατικοῦ κλίνεται.

Ἐρείκη. ἐστὶν εἶδος δένδρου εὐχερῶς σχιζο=μένου. γέγονε δὲ ἀπὸ τοῦ ἐρείκω τοῦ σημαίνοντος τὸ σχίζω.

Ἐρείκειν. σχίζειν. παρὰ τὸ ἐρείκη τὸ δένδρον εὔσχιστον εἶναι.

Ἔρειξις. σημαίνει τὴν κατεσχισμένην γῆν. ἀπὸ γὰρ τοῦ ἐρείκω. ἐρείξω γέγονεν ἔρειξις.

Ἐρείομεν. ἐρωτῶμεν. ἐρείω τὸ θέμα ἐκ τοῦ ῥῶ. ῥείω. καὶ ἐρείω.

Ἐρείπω. τὸ καταβάλλω καὶ καταστρέφω. παρὰ τὸ ἔρα. τὸ σημαίνον τὴν γῆν. γίνεται ἐρέπτω. καὶ κατὰ πρόθεσιν τοῦ ι. καὶ ἀπο=βολὴ τοῦ τ ἐρείπω. κατήριπτο.

Ἐρίπειν. τὸ ἐπὶ τῆς ἔρας πεσεῖν. ταύτη δὲ καὶ ἐρίπια λέγεται. καὶ ἤρια. τὰ τῆς γῆς χώματα. καὶ ὁ ἅδης ἐνέρῦσιν ἀνασσείων τῶν ἐν τῇ ἔρα νεκρῶν.

Ἐρεμνή. σκοτεινή. φοβερά. παρὰ τὸ ἐρεβένη. κατὰ συγκοπὴν ἀναλαμβάνεται.

Ἐρεπτόμενοι. ἐσθίοντες. παρὰ τὸ ἀπὸ τῆς ἔρας τουτέστι τῆς γῆς τροφὴν λαβεῖν. κυρίως δὲ ἐπὶ τῶν κτηνῶν.

Ἐρέσσω. τὸ κωπηλατῶ.

Ἐρεχηλία. μάχη. φλυαρία. φιλονεικία. ψευδολογία. παρὰ τὸ ἔριν τοῖς χείλεσι φέρειν, ἐξ οὗ καὶ τὸ ἐρεχηλοῶτων. ἐρεχηλὴς συντάσσεται μετὰ δοτικῆς.

Ἐρέτης. ὁ κωπηλατὴς. παρὰ τὸ ἐρέσσω. τοῦτο παρὰ τὸ ἕλω. τὸ λαμβάνω. ἐλέσσω. καὶ ἐρέσσω. καὶ ἐρετμός. καὶ εἰς τὸ ἐκδρέας.

Ἐρεύθω. σημαίνει τὸ βάπτω.

Ἐρεύνα. ἡ ζήτησις.

Ἐρεύω. καὶ ἐξ αὐτοῦ ἐρευῶ. καὶ πλεονασμῶ τοῦ ν. ἐρευνῶ. καὶ ἐξ αὐτοῦ ἔρευνα.

Ἐρευνῶ. ἐκ τοῦ ἔρευνα καὶ εἰς τὸ ἐξερευνῶ.

Ἔριθος. σημαίνει τὸν ἐργάτην καὶ τὴν γυναῖκα τὴν ἐργαζομένην τὰ ἔρια. καὶ ἡνίκα μὲν σημαίνει τὸν ἐργάτην γίνεται ἀπὸ τοῦ ἔριος. ἔριθος. ἰστέον ὅτι φησὶν ὁ ὦρος ὅμοιον εἶναι κατὰ τὴν γραφήν. καὶ τὸ λέκιθος. σημαίνει δὲ τὸν κρόκον τοῦ ὠοῦ. τὸ δὲ ἔριθος ὁ τεχνικός. Ἀλεξίων διὰ τῆς ει διφθόγγου γράφει. ἡ δὲ παράδοσις διὰ τοῦ ι.

Ἐρινύες. παρὰ τὸ ἐρευνᾶν. οἱ δὲ παρὰ τὴν ἔριν. ὅτι δυσμενεῖς εἰσιν ἑως τέλους. οἱ δὲ παρὰ τὴν ἔραν γηγενεῖς γὰρ εἰσιν. ὥσπερ καὶ οἱ γήγαντες παρὰ τὸν τῆς γῆς

σταλαγμόν γεγεννεῖσθαι. ὡς Ἡσίοδος μαρ-
-τυρεῖ.

Ὄσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι.
πᾶσα δέξατο γαῖα. περιπλομένω δ' ἐνιαυτῷ
Γεῖνατ' ἐρινῦς τε κρατέρας μεγάλους τε γήγαντας.

Ἐρεύγεται. ἐκ τοῦ ἐρεύγω. τοῦτο παρὰ τὸ ἔρα.
ὃ σημαίνει τὴν γῆν. ἢ παρὰ τὸ ἐρεύθω τὸ
βλάπτω.

Ἐρευνῶ. ἐκ τοῦ ἐρέω τὸ ζητῶ. ἐρευνῶ.
πλεονασμῶ τοῦ υ καὶ ν. πέφυκε δὲ τὸ ν
πλεονάζειν ἐν τοῖς ῥήμασιν. ἐξ οὗ καὶ ἔρευνα
ἡ ζήτησις.

Ἐρευνῶ. ἐστιν ἐρῶ. καὶ σημαίνει τὸ ἐπιθυμῶ.
καὶ ἐξ αὐτοῦ γίνεται ἐρεύω. ὁ γὰρ ἐπιθυμῶν
τι ἐρευνὰ περὶ αὐτοῦ.

Ἐρέφεσθαι σημαίνει τὸ στεφανοῦσθαι.

Ἔρεφος. σκότος. ἔρεφος. καὶ ἔρεβος. τὸ ἐπὶ
τῆς γῆς ἐστεγασμένον.

Ἐρέφω. καὶ ἔρεψα. σημαίνει τὸ στεφανῶ
καὶ ἐστεφάνωσα.

Ἐρέω. τὸ λέγω τὸ ῥῆμα εἴρω. ὁ μέλλων
ἐρῶ. καὶ ἀπὸ τοῦ ἐρῶ. ἐρείω. ὡς τελῶ. τε-
-λείω. καὶ εἰς τὸ ἐρευνῶ.

Ἐρέων. μετοχὴ ὁ λέγων. ἰστέον ὅτι πάντοτε
ὁ ποιητὴς τὸ ἐρέω προσφέρει. καὶ σημαίνει

τρία· τὸ ἐρωτῶ· τὸ λέγω· καὶ τὸ ἐπιθυ-
-μῶ.

Ἐρητύω· ἐκ τοῦ ἔρα· ὃ σημαίνει τὴν
γῆν· ἐρωτύω· καὶ ἐρητύω.

Ἐρημαῖος· ἐκ τοῦ ἔρημος· τοῦτο δὲ παρὰ
τὸ ἔραν μόνην ἔχειν· τὸ ρῆ· ῆ· τροπῇ
τοῦ ᾱ· εἰς ῆ· τὰ διὰ τοῦ ῑμος παράγω-
-γα διὰ τοῦ ῑ γράφονται· χωρὶς τῶν
παρὰ τὸ σῆμα· καὶ φήμη· καὶ χῆμα
συγκειμένων· ὧς ἔχει τὸ δεύσημος· εὔ-
-φημος· βλάσφημος· εὔχημος· καὶ ἐρη-
-μαῖος· τὸ μᾱι δίφθογγον· τὰ διὰ τοῦ
αῖος· ὑπὲρ δύο συλλαβὰς πρὸ μιᾶς ἔ-
-χοντα τὸν τόνον· διὰ τῆς αῑ διφθόγγου
γράφεται· οἷον ἀγοραῖος· ἀθηναῖος·
κορυφαῖος· ἀριδαῖος· οἷς ὅμοιον· καὶ
τὸ ὑμέναιος· κατὰ γραφὴν καὶ οὐχὶ
κατὰ τὸ ἡ ἔγρα φ εἰς τὸν κανόνα.

Ἔρημος· ἐρήμονος· ἢ διὰ τὸ ἠρεμεῖν,
ἤγουν ἡσυχάζειν· παρὰ τὸ ἔραν μόνην
ἔχειν.

Ἐρητύειν· κωλύειν· κατέχειν· ἐκ τοῦ
εἱρκτὴ γέγονεν εἱρκτύω· καὶ ἐξ αὐτοῦ
ἐρητύω· ὃ μέλλων ἐρητύσω· ὃ παρακεί-
-μενος ἠρήτυκα· τὸ παθητικὸν ἠρήτυ-
-μαι· ἐρητύθω· ἐρήτυθεν· οἱ Βοιωτοὶ

ἐπὶ τῶν ἐχόντων τὴν μετοχὴν εἰς σόξυτης ὅμηρος.

Ἐριβῶλαξ. ὄνομα θηλυκόν. εἰς τὸ βῶ περισπωμένην. τὰ εἰς αξ λήγοντα ἀρσενικὰ φύσει μακρὰ παραληγόμενα ἐκτείνουσι τὸ α. οἷον φαίαξ. οἴαξ. θῶραξ. τὰ δὲ θηλυκὰ συστέλλουσι. γίνεται δὲ ἐκ τοῦ ἐρι ἐπιτατικοῦ μορίου καὶ τοῦ βῶλος ὃ σημαίνει τὴν εὔγειον καὶ λιπαρὰν γῆν.

Ἐριβῶλακι. παρὰ τὸν βῶλον καὶ τὸ ἔρι τὸ ἐπιτατικὸν μόριον.

Ἐρίπναι. οἱ συραγχώδεις καὶ περιτεταμένοι τόποι. δι' ὧν μεγάλαι πνοαὶ εἰσαύνουσιν.

Ἐρίνεον. σῦκον. ἀπὸ τοῦ ἐρινέου τῆς Θετταλίας ὅπου πρότερον ὤφθη.

Ἐρεχθεὺς ὁ ἐριχθόνιος. ἀπὸ τοῦ σπᾶρθαι εἰς τῆς ἔραν. ὅ ἐστι τὴν γῆν.

Ἐρίζειν. κυρίως τὸ ἐπὶ τῆς γῆς διαφθείρεσθαι ἀπὸ τοῦ ἔρας. ὅθεν καὶ ἔριθοι οἱ θερισταί. οἱ δὲ ἔριθοι. ἀπὸ τῶν ἐρίων. ἢ φιλόνεικοι ἀπὸ τῆς ἔριδος.

Ἐριούνιος. ὁ μεγαλοφελής. ὀνῆσαι γὰρ τὸ ὀφελῆσαι. οἱ δὲ χθόνιον ἀπὸ τῆς ἔρας

Ἐρίγδουπος. μεγάλους ψόφους ποιῶν διὰ τῶν βροντῶν. καὶ ὁ μεγαλόηχος διὰ τὸν ἦχον τὰς βροντὰς. γίνεται δὲ παρὰ τὸ ὄπμων ἔρι. ἐπιτατικὸν μόριον καὶ τὸ δοῦπω ῥῆμα. ὅ σημαίνει τὸ κτυπῶ πλεονασμῶ δὲ τοῦ σ.

Ἐριδαίνω. φιλονεικῶ. ἐκ τοῦ ἔρις ἐρίδω. καὶ ἐριδαίνω. καὶ ἐριδανῶ. ἐριδῶ. εἰς τὸ κατορρωδηκότα.

Ἐρίζω. τοῦ ζηλῶ.

Ἐρίζω. τὸ κατὰ μάχης φιλονεικῶ. ἐπί τινι πράγματι ζηλῶ. τὸ σῶ ἐπιθυμία μιμῶ.

Ἐρίηρ. ὁ φιλόνεικος παρὰ τὸ ἔρι ἐπίρρημα. ὅπερ διὰ τοῦ ε γραφόμενον μαρτυρεῖται ἐκ τῆς χρήσεως.

Ἐριήρους. ἄγαν εὐαρμόστους καὶ μεγαλοφελεῖς, ὁμοτρόπους ἑταίρους. ἢ ἐριουργοῦς. ἢ σπουδαίους, γνησίους. ὠφελίμους. ἢ ἅρπαγας καὶ πλεονέκτας, καὶ μοιχοῦς. γίνεται παρὰ τὸ ἔρι ἐπιτατικὸν μόριον καὶ τὸ ἄρω τὸ ἁρμόζω. οἱονεὶ εὐάρεστος καὶ φίλος. ἢ παρὰ τὸ ἤρα ὅ σημαίνει τὴν χάριν.

Ἐρίηρες ἑταῖροι παρὰ τὸ ἄγαν ἀρηρέναι.

Ἔριθος· ἡ γεραά παρὰ τὸ ἔρια ἐργάζεσθαι.

Ἐρίθωδος· ἡ ἔνδοξος.

Ἐρικυδέας· παρὰ τὸ θύνω· τὸ ὁρμῶ.

Ἐρινεός· σημαίνει τὴν ἀγρίαν συκήν· ἀπὸ γὰρ τοῦ ἐρίζειν γέγονεν ἐρινός· καὶ κατὰ πλεονασμὸν τοῦ ε· ἐρινεός· ἐριστικὸν δὲ τὸ δένδρον· ἀνέρχεται γὰρ καὶ εἰς τοῖχον· καὶ εἰς ἕκαστον τόπον· ἔν τε πέτραις καὶ ὕδασιν· ὃ κατ᾽· τὰ διὰ τοῦ ἴζω ῥήματα διὰ τοῦ ι· γράφονται.

Ἔριον τὸ ρι· ι· δίφθογγον δηλοῖ τὸ παρὰ τοῖς ἀρχαίοις λεγόμενον ἔιριον.

Ἐρίθεια· ἡ μισθοφορία· καὶ ἐριθία ὁ ζῆλος ὅμηρος.

Ἐρινύες· καταχθόνιοι δαίμονες τιμωροὶ τῶν πρικῶν ἀσεβημάτων· ὧν τὰ ὀνόματα Ἀλεκτώ τις· ἡ φόνη· μεγαῖρα· εἴρηται δὲ παρὰ τὸ ἐκ τῆς ἔρας ὅ ἐστι τῆς γῆς εἶναι.

Ἔριον· ὅτι τῶ ἀέρι κείρονται τὰ πρόβατα.

Ἐρινύς· ὁ καταχθόνιος δαίμων· παρὰ τὸ τὰς ἀρὰς ἀνύειν· γέγονεν ἐρινύς· οἱονεὶ ἡ μεγάλως ἀνύουσα· ἢ παρὰ τὸ ἐλινύειν· τὸ σημαίνον τὸ ἡσυχάζω· γέγονεν ἐλινύς· καὶ ἐρινύς οἱονεὶ ἡ ἡσυχάσουσα.

Ἐρινὺς δὲ κατὰ ἀντίφρασιν. ἢ γοῦν ἢ μὴ ἡδυχάζουσα. ἢ παρὰ τὸ ἀπὸ ἐκ τῆς γῆς γεγενεῖσθαι. τιμωρεῖν.

Ἐρινύες. παρὰ τὸ διανύειν τὰς ἀράς.

Ἐρίπω ῥῆμα. σημαίνει δὲ δύο. τὸ πίπτω. ὡς τὸ

Ἠρίπε δ' ὡς ὅτε τις δρῦς ἢ ἀχερωΐς.

σημαίνει δὲ καὶ τὸ βάλλω.

ῥεῖ ὄχθοι καπέτοιο βαθείης. —

Ἔριον. παρὰ τὸ εἶρος. καὶ ὅμηρος.

— ἰοδνεφὲς εἶρος ἔχουσα.

τοῦτο παρὰ τὸ εἴρω τὸ συμπλέκω. ἢ παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ.

Ἔριθος. ὁ ἐργάτης. ὁ τὴν γῆν μισθῷ ἐργαζόμενος. κυρίως δὲ ἐπὶ γυναικῶν ἀνλέγοιτο τῶν τὰ ἔρια ἐργαζομένων.

Ἔρις. ἢ διὰ λόγων φιλονεικία. καὶ ἢ ἐπὶ τοῦ τρέχειν.

Ἐρισταί. ἐκ τοῦ ἐρίζω. ἢ εὐθεῖα ὁ ἐριστής. καὶ τὸ πληθυντικὸν οἱ ἐρισταί.

Ἔριον τὸ μάλλιον. παρὰ τὸ ἔρρω. ταλαιπωροῦσι γὰρ αἱ τοῦτο κάμνουσαι.

Ἔρις παρὰ τὸ εἴρω τὸ λέγω. ἢ διὰ λόγων φιλονεικία. τοῦ δὲ ἐρίζω ὁ ἀττικός. παρὰ τὸ ἐρήρικα, διὰ τοῦ τ. φυλάξει αὐτό. ἀπὸ δὲ τοῦ ἐρείδω. ἐρήρεισα, διὰ δίφθογγον.

ἵνα μὴ συνεμπέσῃ τῶν ἀπὸ τοῦ ἐρίζω μέ-
σῳ παρακειμένω.

Ἐρίθεια. ἡ μιαθοφορία. ἤτοι ἡ τῆς γε-
λίας δουλεῖα. ἐριαθία ὁ ζῆλος.

Ἐριρεισμένον. ἐρείδω τὸ ἐπιστηρίζω. ὁ
μέλλων ἐρείσω. ὁ παρακείμενος ἤρεικα.
ὁ παθητικὸς ἤρεισμαι. καὶ τὸ Ἀττικὸν
ἐρήρεικα. ἐρήρεισμαι. ἡ μετοχὴ ἐρη-
ρεισμένον

Ἐρίσαι τοῦ ζηλῶσαι διαφέρει. ζηλοῦν γὰρ
ἐστὶ τὸ σὺν ἐπιθυμίᾳ μιμεῖσθαι. ἐρίζειν
δὲ τὸ κατὰ μάχης φιλονεικεῖν ἐπί τινι —
πράγματι ὅμηρος.

Ἐρίσαντε ἐρίζω τὸ φιλονεικῶ ἐρίσω
ὁ μέλλων. ὁ ἀόριστος ἤρισα. ἡ μετοχὴ
ἐρίσας. ἐρίσαντος. τὸ δυϊκὸν ἐρίσαντε.

Ἐρίτιμον. ἐκ τοῦ ἐρι τὸ ἐπιτατικὸν
καὶ τοῦ τιμὴ. σημαίνει δὲ τὸν μεγαλό-
τιμον. ὡς ἐν τῷ τῆς ὑψώσεως κανόνι.
ἐν ἀσφαλεῖα τῆς ἐριτίμου δὲ. τὸ δὲ
ἐρι παρὰ τὴν περι πρόθεσιν. ἥτις ση-
μαίνει τὸ περισσός. ὡς τὸ
περιμὲν σε τίω. — δασύνεται.
ἀποβολῇ οὖν τοῦ π. γίνεται ἐρι

Ἔριφος. παρὰ τὸ ἐν ἀέρι φαίνεσθαι. —

δύο σημαίνει· τὸ ἐρίφιον τῶν αἰγῶν· καὶ τὸν ἀστέρα.

Ἔριφος· ὁ μικρὸς αἴξ· παρὰ τὸ ἔαρ καὶ τὸ φῶ· ῥῆμα· τὸ φαίνω· ὁ ἐν τῷ ἀέρι φαινόμενος· ὁ οὖν πρωΐμος χίμαρρος ὁ ἐν τῷ χειμῶνι τεχθείς· ἀέριφος· καὶ ἔρι:φος κατὰ συγκοπήν· ὡς τὸ ἄργυφος τοῦ φῶ ἐγκειμένου.

Ἐριχθόνιος· ὅτι ἡ Ἀθηνὰ ἐριῶτον θορὸν Ἡφαίστου ἀποκαταμάξασα ἔρριψεν· οἱ δὲ ὅτι ἐρίσσειν ἡφαίστου καὶ Ἀθηνᾶς· ὅθεν ἡ γονὴ προσεχήθη· οἱ δὲ ὅτι ἔρρηξε τὴν γῆν ὁ θορός· ἔστι δὲ τῆς γῆς παῖς.

Ἐριθόνιος ὁ ἑρμῆς· συντέθηται ἡ λέξις· ὥσπερ λέγομεν φθινόπωρον καὶ μετω:πωρον καὶ παφθινομετώπωρον καὶ ὡς συνομίλη ἡ οὕτως ἐριθόνιος ἑρμῆς, καὶ ἐριχθόνιος.

Ἐριώλη· ἡ πνοή· παρὰ τὸ ἐρι ἐπιτα:τικὸν μόριον καὶ τὸ ἄω τὸ πνέω· ἡ μεγάλως πνέουσα.

Ἕρκιον· τεῖχος· φραγμός· ἐκ τοῦ ἕρ:κος τὸ περίφραγμα· ὅπερ παρὰ τὸ ἐρύκω· καὶ τρέχω· καὶ κωλύω· ἕρκιον καὶ ἕρκος παροξύνονται· τὰ γὰρ ἀπὸ μακρᾶς

ἀρχόμενα ἔχει παροξυτονούμενα τὰ ὑπο-
-κυριστικά· τῦρος· τῦριον· τεῖχος τεῖχιον.
τὰ δὲ ἀπὸ βραχείων οὐκέτι· ῥάκον· ῥά-
-κιον· φάκος· φάκιον· σεσημείωται τὸ ἴχνος.
ἴχνιον· μὴ ποιοῦν μακρὰν τὴν ἀρχοῦσαν.
ὡς ὑγρὸν σύμφωνον ἔχον· γίνεται δὲ πα-
-ρὰ τὸ ἴγμαι ἴγνιον καὶ ἴχνιον· ὡς παίζω,
παίγνιον·

Ἕρκος· τεῖχος· ἀσφαλεῖα· διουσίος.
ψιλὸς ἀναγινώσκει· ἀπὸ γὰρ τοῦ ἐρύκειν
λέγεται·

Ἕρκος· παρὰ τὸ ἐρύκω· ἕρυκος καὶ ἕρκος·

Ἕρμαιον· εὕρεμα· ἕρμαιον· καὶ λόγου
πολλοῦ ἄξιον· ἐφαίνετο τὸ ἀπροσδόκητον.
κέρδος· ἀπὸ τῶν ἐν τοῖς ὁδοῖς τιθεμέ-
-νων ἀπαρχῶν· ἃς οἱ ὁδοιπόροι κατεσθί-
-ουσιν· ἢ ἀπὸ τοῦ ἐν ἔθει λεγομένου
κοινὸς ἑρμῆς· ἐπὶ τῶν εὑρισκόντων τί
οἷον κοινὸν τὸ εὕρημα· παρὰ τὸ οὖν
τὸ ἑρμῆς· ἕρμαιος· καὶ ἕρμαιον τὸ οὐδέ-
-τερον·

Ἕρματα· ἐνώτια· παρὰ τὸ ἐνήρεσθαι·

Ἑρμεῖος ὁ θεός· καὶ ὁ τοῦ λόγου ἡγού-
-μενος· ἀπὸ τοῦ ἑρμέως γέγονε κατὰ
πλεονασμὸν τοῦ ι· ἑρμεῖος δὲ·

Ἕρμαιον. τὸ κοινῶς λεγόμενον εὕρημα. ἀπὸ τοῦ ἑρμῆς. ἕρμος. καὶ τὸ εὐδέτερον ἕρμαιον.

Ἑρμῆς. ὅτι μέγιστον ἐστὶ πρὸς τὸν βίον ἕρμα περιποιεῖ γὰρ πλοῦτον.

Ἑρμαῖος. λόφος. τόπου ὄνομα. εἰώθασι γὰρ οἱ παλαιοὶ σωροὺς ἐκ λίθων ποιεῖν οὓς ἐκαλοῦν ἑρμαῖαν.

Ἑρμῆς. ὄνομα κύριον. παιδευτὴς λόγων.

Ἑρμῆς. ὅτι μέγιστόν ἐστιν ἑρματῶν περὶ τὸν βίον. περιποιεῖ γὰρ πλοῦτον. διὰ τὲ τοῦτο καὶ τὰ ἀπὸ τῆς τύχης ἀγαθά. καὶ τὰ κέρδη ἑρμαια καλεῖται. ἢ παρὰ τὴν ἑρμήνειαν. τὴν διὰ τοῦ λόγου τῶν ψυχικῶν. διανοιῶν καὶ λόγων ὧν ἐστιν εὑρετής.

Ἑρμηνεύς. παρὰ τὸ ἑρμῆς. ὅν τινα λέγουσιν εἶναι ἐφευρέτην τῶν λόγων. καὶ ἐντεῦθεν ἐτυμολογία. παρὰ τὸ ἐφευρεῖν τὸν ἑρμηνεύοντα.

Ἑρμηνεία. εἴρηται παρὰ τὸ ἑρμῆς.

Ἑρμίς. ὅ ποὺς τῆς κλίνης. ἀπὸ τοῦ ἐνίρεσθαι τοῦ ἐν πλατῷ. ἢ παρὰ τὸ ἑρμία ἔχειν. οἱ δὲ γράφοι ἔγραφον τὸν ἑρμῆν ἐν ταῖς κλίναις ὡς ἔφορον

ὀνείρου. ἵνα ἀγαθοὺς ὀνείρους πέμπῃ.

Ἑρμιδές οἱ κλινόποδες. παρὰ τὸ στηρί-
-ζεσθαι δι' αὐτῶν τὴν κλίνην.

Ἑρμίς. σημαίνει κραβοτόποδα. καὶ γρά-
-φεται διὰ τοῦ ῑ. ἐπειδὴ τὰ δικατά-
-λυκτα διὰ τοῦ ῑ. γράφεται. οἷον ἐλεν-
-σίς. ἐλευσίν. ἑρμίς. ἑρμίν. διὰ τοῦ ῑ.

Ἑρμίς δικατάλυκτος ὁ κλινόπους σημαί-
-νει δὲ τὸν κραβαττόποδα. παρὰ τὸ ἐ-
-νείρεσθαι. καὶ ἐμπλέκεσθαι ἐν τῇ κλίνῃ.

Ἑρμὴς. ὁ σημαίνει τὸν τοῦ λόγου ἔφορα.
τοῦτο παρὰ τὸ ἐρῶ τὸ λέγω.

Ἑρπετόν ἐστιν ἔρα γῆ. καὶ ἐξ αὐτοῦ γί-
-νεται ἕρπω τὸ σύρω. ἐξ οὗ καὶ ἑρπετὸν
τὸ συρόμενον ἐπὶ τὴν γῆν.

Ἑρπετόν. παρὰ τὸ ἑρέπειν τὸ καταπε-
-σεῖν τὸ μὴ ὀρθὸν περιπατοῦν. κυρίως
δὲ λέγεται ἐπὶ τῶν οὐρογάστρων ζώων.

Ἑρμονιείμ. ἑλιακείμ. ἰωακείμ. σεννα-
-χείμ. πλὴν τοῦ βενιαμὴν. ὀνόματα βαρ-
-βαρικὰ ἐθνικά.

Ἑρμῖνες. οἱ κλινόποδες. οἱονεὶ ἕρματα
ὄντες τάχα δὲ καὶ τετράγωνα ἦσαν. ἢ
εὕρημα. ἀπὸ τῆς ἑρμῆ γὰρ εὑρέθη

οἴκησις. ὅθεν κοινὸς ἑρμῆς. κοινὴ εὕρε
:σις.

Ἐρύγμηλος. ὁ φωνητικὸς καὶ ἐρίμυκος.

Ἕρσης. ὁ ἐν ὕδατι πεπνιγμένος. ἀπὸ
τοῦ εἴρειν καὶ ἐπέχειν τῶν ἀναπνοῶν.
ὅθεν καὶ εἱρκτὴ ἀπὸ τοῦ ἕρκος εἶναι.

Ἐρυθῖνος. ὄνομα πρὸ διὰ τοῦ ῑ. ὁ κατὰ
τὰ διὰ τοῦ ῑνος. πρὸ μιᾶς τὸν τόνον
ἔχοντα, ἀπὸ πλεονασμοῦ τοῦ ῑ. δι' αὐ
:τοῦ γράφεται. καὶ προπερισπᾶται.
οἷον σαβῖνος. μαρτῖνος. ἐρυθῖνος. τα
:ραντῖνος. κωνσταντῖνος. καὶ ἐκεῖθεν
ἐρυθῖνος, τὸ δὲ κερκίνος παροξύτονον.

Ἑρπετόν. διὰ τὸ ἕρπειν. ἤγουν σύρεσθαι
ἢ παρὰ τὸ σύρεσθαι πάνυ.

Ἑρπετά. παρὰ τὸ ἕρπω. ἑρπετῶ.
ἑρπετήσω. ἑρπητόν. καὶ ἑρπετόν.

Ἑρπηστικός. ὁ ἑρπητιστής. ὄφις. ἐκ
τοῦ ἕρπω. ἑρπετῶ. ἑρπετήσω. ὁ μέλ
:λων. καὶ ἐξ αὐτοῦ ἑρπητικός. καὶ πλε
:ονασμῶ τοῦ σ. ἑρπηστικός. ὡς χειρῶ
:σω. χειρωτής. καὶ πλεονασμῶ τοῦ σ̄
χειρωστής.

Ἕρπυλος. παρὰ τὸ ἕρπειν ἐν τῷ
αὐξάνεσθαι.

Ἕρπω. ἐστιν ἐρα γῆ. καὶ ἐξ αὐτοῦ γίνε-
-ται ἕρπω τὸ συρῶ.

Ἐρραγή. διεχίστη. παρὰ τὸ ῥῶ τὸ
φείρω. ὁ μέλλων ῥήσω. ὁ δεύτερος ἀό-
-ριστος ἔρραγεν. καὶ ὁ παθητικὸς ἐρρά-
-γην.

Ἐρρέαθη. ἐλαλήθη. ὡς ἀπὸ τοῦ ῥῶ τὸ
λέγω. ῥήσω. ἔρρηκα. ἔρρημαι. καὶ ὁ
ἀόριστος ἔρρησα. καὶ ὁ παθητικὸς ἐρ-
-ρέθη. τροπῇ τοῦ η. εἰς ε.

Ἔρρω. σημαίνει τὸ κάμνω.

Ἐρρώγη. συνερράγη. διελύθη. ἀπὸ τοῦ
ῥήσσω. ὁ μέλλων. ῥήξω. ὁ μέσος παρα-
-κείμενος ἔρρηγα. ὁ ὑπερσυντελικὸς
ἐρρήγην. καὶ τροπῇ τοῦ η. εἰς ω ἐρ-
-ρώγειν, καὶ συνερρώγειν.

Ἔρρομαι. παρὰ τὸ ῥῶ τὸ ὑγιαίνω. οὗ
ὁ μέλλων ῥώσω ὁ παρακείμενος ἔρρακα.
ὁ παθητικὸς ἔρρωμαι.

Ἔρσης γίνεται παρὰ τὸ εἴρω. ὁ σημαί-
-νει τὸ συμπλέκω. ἐξ οὗ καὶ σειρὰ ἡ
πλοκὴ. καὶ πλεονασμῷ τοῦ σ εἴρσω.
ἔρσης οὖν καὶ ἐνέρσης.

Ἔρσαι. δρόσοι. παρὰ τὸ ἔρσαι ὁ ἐστι
ποτίσαι.

Ἐρυθρά. ἀπὸ τοῦ ἐρυθροῦ τινος βασι:λέως ὀνομαζόμενα πεσόντος ἐκεῖ καὶ πνιγέντος. ἢ παρὰ τὸ ἀπὸ τῶν παρα:κειμένων ὀρέων ἐρυθρῶν εἶναι.

Ἐρυθρά. ἀπὸ τοῦ ἐρυθροῦ τινος βασι:λέως. ἔρριψε γὰρ αὐτὸν εἰς τὴν θαλάσ:σαν. καὶ ἐλάξευσεν ἐκεῖ λίθον καὶ ἐ:γράψεν οὕτως. β.

ἔνθα τύμβος ἁλὸς μέδοντος ἐρυθροῦ.

Ἐρυθρός. παρὰ τὸ ἐρεύθω τὸ βάπτω. καὶ ἀποβολὴ τοῦ ε. καὶ πλεονασμῶ τοῦ ρ. ἐρυθρός. πόθεν ἐκλήθη. ἐρυθραῖον πέλαγος. ἀπὸ τοῦ ἐρυθροῦ τινος βα:σιλέως. ἀποθανόντος γὰρ αὐτοῦ ἔρριψαν αὐτὸν ἐν τῇ θαλάσσῃ. ἐπιγράψαντες τῷ αὐτοῦ τάφῳ. οὕτως.

Ἐνθάδε τύμβος ἁλὸς παμμεδέοντος ἐρυθροῦ.

Ἐρύκω. σημαίνει τὸ κωλύω.

Ἔρυμα. κώλυμα. τὸ ἀσφάλισμα. καὶ τειχίον. καὶ ἔρυμα ὑψηλὸς τεῖχος.

Ἐρύμανθος. ὄρος Ἀρκαδίας. καὶ ποτὲ ἔνθα ὁ ἐρυμάνθης κάπρος. ἐν τούτοις δὲ λέων οὐ γίνεται.

Ἔρυμνος. τόπος. ἰσχυρός.

Ἔρυμα. ὑψηλὸς τεῖχος πρὸς φυλακὴν πόλεων πεποιημένον.

Ἐρυμνός τόπος ἰσχυρός καὶ σκοτεινός.

Ἔρυμα τὸ ἀσφάλισμα καὶ τειχίον καὶ ἔρυμα ὑψηλ᾽ τεῖχος.

Ἐρύμανθος

Ἔρυμα χροός. καὶ ἕρκος. καὶ τροπεῖ τοῦ ο̄ εἰς ῑ. ἄρκις. σημαίνει δὲ τὸ δίκτυον. ὅπερ τιθοῦσι πρὸς θήραν λέοντος. ἢ καὶ ἄλλων τινῶν.

Ἐρυμνώσας. ἰσχυροποιήσας. πυκνώσας. ἀσφαλισμὸς. ἀπὸ τοῦ ἐρυμνῶ. τὸ δὲ ἔρυμα παρὰ τὸ ἐρύω. ὃ σημαίνει τὸ ἀσφάλισμα. ἢ παρὰ τὸ ῥύω. ὃ σημαίνει τὸ φυλάσσω.

Ἐρυμνή. ὀχυρὰ. παρὰ τὸ ἐρύματα τάξιν ἔχειν. ἤγουν ἰσχυράν.

Ἔρυξαν. ἐκράτησαν ἐστιν ἐρύκω τὸ κωλύω. καὶ γίνεται παρὰ τὸ ἕρκος ἐρκύω. καὶ ἐν ὑπερβιβασμῷ ἐρύκω. ἔνθεν γίνεται ἔρυμα τὸ ἀσφάλισμα.

Ἐρυσάρματα. εἰς τὸ ἀνειμονῖ.

Ἐρυσίβη. σημαίνει τὴν γενομένην ἐν τῇ δυσαερίᾳ παχνῇ. καὶ φθείρουσα τοὺς καρπούς. γίνεται δὲ παρὰ τὸ ἐρύκω, τὸ κωλύω. καὶ τὸ βῶ. τὸ τρέφω. ἢ κωλύουσα τρέφεσθαι τὸν καρπόν. τὸ σῑ

ῑ διατί· τά ἀπό μελλόντων σιωτιθέμενα.
ὀνόματα τῶ ῑ· παραλήγοντα· διά τοῦ
ῑ γράφεται· τέρψω· τερψίβροτος· στήσω.
στησίχορος· ἐρύσω· ἐρυσίβη·
Ἐρυσίβη· γένος ἀκρίδος· ἀπό τοῦ ἔρα.
ὅ σημαίνει τήν γῆν· καί τοῦ σίνω τό
βλάπτω· ἐρασίβη· καί τροπῆ τοῦ ᾱ εἰς
ῡ ἐρυσίβη· ἤ τά ἐν τῆ γῆ βλαπτοῦσα.
Ἐρυσίβη· τό ἐκ τοῦ ἀέρος ἐπιγενόμενον
φθαρτικόν τῶν καρπῶν· ἀερϊσγίνη τίς
οὖσα· ἤ ἐκ τοῦ ἀέρος γινομένη· ἤ παρά
τό ἐρύειν καί γίνεσθαι· ἤ ἐπισκωπομένη
νόσος τῶν καρπῶν·
Ἐρυσίβη Δημήτηρ παρά γοργονίοις·
ἐστι δέ πρός τῶ ἑρμῶ ποταμῶ· καλοῦσι
δέ οὕτω τήν σταλύσιν ἐπανθοῦσαν·
ὦ χρίαν καί συγκονοῦσαν· τοῦς καρποῦς.
ἤν τινες αἰθαλίδας καλοῦσιν·
Ἐρυσίπτολις· οὐτό ξηλόκαστρον· ἀλλ' ἤ
σῶσουσα καί ῥύουσα δέ πόλις· ἤ τοι ἐρύ-
-ουσα καί ἀνθέλκουσα ἐν ταῖς μαχάχαις
τάς πόλεις· καί ἐρυσάρματας ἵππους
τοῦς ἕλκοντας τά ἅρματα· ἤ ἀπό τοῦ
ἐρύεσθαι τάς πόλεις· ἄμεινον δέ οὕτως·
ὅθεν καί πολυοῦχοι·

Ἐρυσάμενος. ἑλκύσας. ἢ φυλάξας μετοχὴ ἀόριστος πρῶτος. ποιη ϡ δδο σσ. τὸ θέμα ἐρδω. γίνεται ἐκ τοῦ ἕλω. ἑλδω. καὶ τροπὴ ἐρδω. ὁ παρατατικὸς εἴρδον. ὁ παρακείμενος εἴρηκα. εἴρημμαι. ἰωνικὴ π. εἴρδαται. ἢ παρὰ τὸ εἴρνυμι. ὁ παθητικὸς εἴρημαι. καὶ Ἀττικῶς εἴρδαται. ὁμ.

Ἐρχεαθον. ἀπέρχεαθον δεῖ.

Ἐρδω. ὁ μέλλων ἐρδσω, ὁ σημαίνει τὸ ἕλκω καὶ εἰς τὸ ῥυθμὸς καὶ ἔρυσαν. καὶ ἀψ.

Ἐρῶ τὸ ἐπιθυμῶ. εἰς τὸ εἰρῶσαθαι καὶ ἐξαίρετος. καὶ ἔρανος καὶ ἐρατεινὴ καὶ ἔρεθεν.

Ἐρωδιὸς. παρὰ τὸ ἕλος ἑλωδιὸς καὶ ἐρωδιὸς ἐστι δὲ ὄρνεον. φιλεῖ δὲ τὸ ἑλῶδεσι τόποις διατρίβειν: ἢ παρὰ τὸ ἔρως. ἔρωτος γίνεται παρώνυμον ἐρωτίδιος καὶ ἀποβολῇ τοῦ τ καὶ ἐν συγκοπῇ ἐρωδιός. σημαίνει δὲ τὸν πελαργόν.

Ἐρωδιός. εἶδος ὄρνεου ἐμφερὲς γερανῷ, ἔχον δὲ τὴν κεφαλὴν ἀκρόπτερον ὡς βασίλειον. ἐτυμολογεῖται διαφόρως. οἱ μὲν. παρὰ τὸ ἔιαρ τὸ σημαῖνον τὸ αἷμα, ὡς παρὰ τῶ κυριναίῳ. αἷμα γὰρ λύχνος

τὸ ἔλαιόν τι ἔλεξεν. ἐκ τοῦ ἔαρ γίνεται
ἔωρ. ὡς τέκμαρ τέκμωρ. ἀπὸ οὖν τοῦ
ἔωρ καὶ τοῦ ἰδίειν τοῦ συμαίνοντος τὸ
ἱδρόων γέγονε. ἐν γὰρ ταῖς μίξεσιν ὥς
φασίν. ὁ ἐρωδιὸς αἷμα ἱδροῖ. ἢ ἀπὸ τοῦ
ἕλους καὶ τὸ ἴδιον γίνεται ἐρωδιός —
κατ' ἔκτασιν τοῦ ο. εἰς ω. ἢ ἀπὸ τοῦ
ἔρως. ἔρωτος γίνεται παρ' ὁμοῖον ἐρω:
:τίδιος. καὶ ἀποβολῇ τοῦ τ. ἐρωΐδιος.
καὶ ἐν συγκοπῇ ἐρωδιός. συμαίνει τὸν
πελαργόν καὶ γὰρ ὥς φασίν. ἀφροδίσιον
ἐστι τὸ ὄρνεον. ὁ δὲ Ἡρωδιανὸς λέγει ὅτι
ὥσπερ ἀπὸ τοῦ ἁρμόζω γίνεται ἁρμόδιος.
οὕτω καὶ ἀπὸ τοῦ ῥοΐζω γίνεται ῥοΐδιος.
καὶ πλεονασμῷ τοῦ ε γίνεται ἐροΐδιος.
καὶ τροπῇ τοῦ ο εἰς ω ἐρωδιός. καὶ μέ:
:νει τὸ ι προσγεγραμμένον. ὀξύ. τὰ
εἰς ος καθαρὰ τῶν ι. παραλήγει ὑπὲρ Γ
συλλαβὰς ὀξυνεσθαι θέλουσιν. οἷον αἰ:
:γυπτιός βομμυλιός. χαραδριός οὕτως οὖν
καὶ ἐρωδιός. ὁμ.

Ἐρωήσει. ὑποχωρήσει. ὁρμήσει. διώξει.
καταπαύσει. παρὰ τὸ ῥῶ. ῥαίω τὸ
φθείρω. ἐξ οὗ καὶ ῥᾶον. ὡς γνῶ. γνώω.
ὅθεν τό. — ἐπερρώσαντο ἄνακτος.

γίνεται δὲ ῥωή. ὡς ζω. ζωή. πλεονασ-
μῶ τοῦ ε. ἐρωή. καὶ ἐξ αὐτοῦ γίνεται
ἐρωῶ ἐρωήσω. ἢ παρὰ τὸ ἐρῶ ἐρωήσω,
ἐρωήσει.

Ἐρωήσαντος. ὁ ὑποχορῶν καὶ ἐρωείσεμνος
ὁ ποθῶν.

Ἐρωή. ἡ ὑποχώρησις καὶ ἐρωή. ἡ ἐπιθυ-
μία.

Ἐρωήσει. δεῖ γινώσκειν ὅτι τὸ ἐρωήσει
σημαίνει τὸ περιρρυήσεται τῶ δόρατι.
ἔστι μέλλοντος πρώτης συζυγίας τῶν
περισπωμένων. ἐροῶ ἐροήσω.

Ἔρως πόθεν. ἀπὸ τοῦ ἑλεῖν τὸν ἐρῶντα.
ἕλως. οὕτως λέγεται. παρὰ τὸ εἴρειν
ὁ σημαίνει τὸ δεσμεῖν. ὁ συνδέων ἡμᾶς
πόθος.

Ἐρῶ σημαίνει τὸ ἐρωτῶ. συντάσσεται
μετὰ αἰτιατικῆς. ἐξ οὗ ἠρώμην. καὶ
ἠρώτων. σημαίνει δὲ τὸ λαλήσω. καὶ
συντάσσεται μετὰ δοτικῆς. καὶ τὸ ἐπι-
θυμῶ. συντάσσεται μετὰ γενικῆς. ἔρρω
τὸ φθείρω γὰρ μετὰ αἰτιατικῆς.

Ἔρως παρὰ τὸ ἐρᾶσθαι. ἤγουν ἐπιθυμεῖν.

Ἐρόμενος. ὁ ἐρωτῶν.

Ἐρώμενος δὲ ὁ ἐπιθυμῶν.

Ἐρείωμεν. ἐρωτοῦμεν.

Ἔρως καὶ πόθος διαφέρει. ἔρως μὲν γάρ ἐστιν ἐπὶ τῶν παρόντων. πόθος δὲ ἐπὶ τῶν ἀπόντων.

Ἐρῶ. σημαίνει τρία. τὸ λέγω. ὡς τὸ

Ἀλλ' ὧδέ τοι ἐρέω — καὶ τὸ ἐρωτῶ. πάντων γὰρ ἀργείων ἐρέων. καὶ τὸ ζητῶ. ὡς τὸ

στὰς ἐρέων ὀδυσσήϊ σιωήντετο — καὶ τὸ ἐπιθυμεῖν.

Ἐρωτήσατε. παρὰ τὸ ἐρῶ τὸ ἐπιθυμῶ. τοῦτο παρὰ τοῦ ἔρως. ἔρωτος ἐρωτῶ. ὁ μέλλων ἐρωτήσω. ὁ ἀόριστος ἠρώτησα. καὶ τὸ προστακτικὸν ἐρώτησον καὶ πληθυντικὸν ἐρωτήσατε. περὶ οὗ γάρ τις ἐπιθυμεῖ. περὶ τούτου καὶ ἐρωτᾶ.

Ἐρωτᾶν τοῦ πυνθάνεσθαι διαφέρει. πυν:θάνεσθαι μὲν γάρ ἐστι. τὰ κατὰ ἀκοῆν διεξοδικῶς ἀκούειν τὰ ὑπό τινος λεγό:μενα αὐτὸν οὐδὲν ἐρωτῶντα. ἐρωτᾶν δὲ τὸ θέλειν κεφαλαιῶδη τινὰ λαβεῖν ἀπόφασιν περὶ τοῦ ὑποκειμένου πράγμα:τος.

Ἐρώτησις καὶ πῖστις. καὶ ἀνάκρασις διαφέρει. ἐρώτησις μὲν γάρ ἐστι. σύντο:μος ἀπόκρισις. πῖστις δὲ μικρᾶς πράξεως ἀπαγγελία. ἀνάκρασις δὲ ὑποδεεστέρων ἐξέτασις.

Ἐρωτῶ. παρὰ τὴν ἔρωτος γενικήν. οἱ γὰρ ἐρωτῶντες ἐξ ἐφίενται μαθεῖν τοῖς ἐρῶσιν ἐοίκασιν. ἢ παρὰ τὸ ἔρως ἔρωτος. ὃ σημαίνει τὴν ἐπιθυμίαν. ἐρῶ τὸ ἐρω:τῶ. ὃ γὰρ ἐρωτῶν περὶ οὗ ἐπιθυμεῖ καὶ ἀκούει. τοῦτο δὲ παρὰ τὸ ρω τὸ λέγω ὅ μ.

τὸ ε μετὰ τοῦ σ.

. . . σαν ἦσαν ὑπῆρχον.

ῥῆμα. ἀόριστος δεύτερος τῶν εἰς μι. τὸ πρ. ὃ παρατατικὸν ἦν. τὸ πλυθυντικὸν ἦμεν. ἦτε. ἦσαν. καὶ συστολὴ τοῦ η. ἔσαν.

Ἔαθος. τὸ ἱμάτιον. παρὰ τὸν ἔσω μέλλον:τα. παρὰ γὰρ τὸ ἔαθος ἐσθής

Ἐς δ' ἐρέτας. ἐρέτης ὁ κωπηλάτης. ἐκ τοῦ ἐρέσω τὸ ἐλαύνω. ἐρεσία. ἡ κο:πηλασία. ἐρετμὸς γὰρ ἡ κωπή.

Ἐσθίω καὶ ἐσθὴς τὸ ε. ψιλόν. διὰ τὴν ἐπιφορὰν τῶν συμφωνῶν. σεσημείωται τὸ αἰσθάνομαι. ἐσθὴς τὸ ἱμάτιον. παρὰ τὸ ἕω τὸ ἐνδύομαι.

Ἐσθὴς ἱμάτιον. ἔνδυμα. ἔστιν ἕω. καὶ σημαίνει τὸ ἐνδύομαι. ὃ μέλλων ἔσω. ὃ παρακείμενος εἶκα. ὃ παθητικὸς

εἶσμαι· τό τρίτον εἶσαι· καί ἐξ αὐτοῦ
ἐστής· καί τροπῇ τοῦ τ̄ εἰς θ̄· ἐαθής·
ἐαθῆτος· τό δέ ἐάθησις ἐαθήσεος· σημαί-
-νον δέ αὐτό τήν ἐαθῆτα· γίνεται οὕτως·
ἕω· ἕσω καί πλεονασμῷ τοῦ θ̄· γίνεται
θέμα περιστώμενον ἐαθῶ· πρός ἀντιδιαστο-
-λήν τοῦ ἐάθω τό σημαίνοντος τό ἐαθίω·
ὁ μέλλων ἐαθήσω· καί ἐξ αὐτοῦ ἐάθησις
ἐαθήσεος· ἐξ οὗ καί τό ἦσαν ἄγγελοι
ἐν ἐαθήσεσιν ἀστραπτούσαις·

Ἐαθής· παρά τόν ἕσω μέλλοντα· ἐστής
καί ἐαθής· διό καί ἀμφιέσω· ὁ μ̄.

Ἐαθλά τά ἀγαθά· εἰς ἃ θέλει τις
ἐλθεῖν·

Ἐαθλόν· γενναῖον· ἀγαθόν· ἐπωφελές·
παρά τό ἐθέλον τί ἐστιν εἶναι· ὅπερ θέλει
ἕκαστος· ἔθελον οὖν· καί κατά συγκοπήν
τοῦ ε̄· καί πλεονασμόν τοῦ σ̄· ἐαθλόν
καί καταβιβασμόν·

Ἔσκαλε· σημαίνει τό ἐρεῦνα· ἐζήτει· γέγο-
-νε δέ ἀπό τοῦ σκάλλω· ὁ μέλλων σκαλῶ·
καί ὁ δεύτερος ἀόριστος ἔσκαλον· καί τό τρί-
-τον ἔσκαλεν· ἐξ αὐτοῦ δέ γίνεται καί τό
σκαλεύω· καί τό σκαλίζω· καί τοῦ σκάλλω·
ἀπό τοῦ σκαλῶ· καί τοῦ λῶ τοῦ σημαίνον-
-τος τό θέλω· γίνεται κάλλω· καί —

πλεονασμῶ τοῦ σ̄. σκάλλω. ὁ γὰρ ἐρευ-
-νῶν ὅπερ θέλει ἐκεῖνο καὶ ζητεῖ. τὸ δὲ ἐπὶ
τῆς λύπης ἔστιν ἄχος ἢ λύπη, καὶ ἐξ
αὐτοῦ γίνεται χάλλω καὶ πλεονασμῶ τοῦ
σ̄ σχάλλω. καὶ ἀσχάλλω.

Ἐσκαλευκότες. ἐφ' ἡμᾶς αὐτοὺς ἐσκαλευ-
-κότες. φαινόμεθα. σεσαλευκότες. ἐρευνή-
-σαντες, ἀπὸ τοῦ σκαλέω. τοῦτο δὲ πα-
-ρὰ τὸ σαλεύω. πλεονασμῶ τοῦ κ̄. καὶ
σαλεύω. ἀπὸ τοῦ σάλος. τὸ δὲ σάλος. ἀπὸ
τῆς ἅλς. ἁλός. πλεονασμῶ τοῦ σ̄ σάλος.

Ἐσάλπησαν. ἐκ τοῦ σύπω. σύψω. ὁ δεύτε-
-ρος ἀόριστος ἔσαπον. ὁ παθητικὸς ἐσά-
-πην. ἐσάπησαν τὸ τρίτον τῶν πληθυντι-
-κῶν. τὸ δὲ σύπω παρὰ τὸ σύς. ὁ σημαί-
-νει τὸν σκώληκα. καὶ κλίνεται σητός. τοῦτο
παρὰ τὸ σῶ. τὸ κινῶ. ὁ μέλλων σύσω.
ἀποβολῇ τοῦ ω̄ σύς.

Ἐσκόρπισεν. ἐκ τοῦ καρπός. καρπίζω.
ἐκ μεταφορᾶς τοῦ σίτου εἴρηται. καὶ
τιμετέχει. ἐπειδὴ ὁ γεωργὸς ἐκ τοῦ
κόλπου σκορπίζει τὰ σπέρματα.

Ἔστακα καὶ ἕστηκα, διαφέρει. ἕστακα μὲν
ἐγώ. ἕστηκα δὲ Ἐ:

Ἐσκευωρεῖσθαι. κατεστοχᾶσθαι. ἐπιβουλεύ-
-σασθαι. γέγονε δὲ ἀπὸ τοῦ σκευρῶ—

τοῦ τὸ ἀπὸ τοῦ κεῦθω· ὅ σημαίνει τὸ κρύ:
:βω· πλεονασμῶ τοῦ σ̄ καὶ ἐκβολῆ τοῦ
θ̄.

Ἐσμὲν ῥῆμα πληθυντικόν· πρώτου προ:
:σώπου τῶν ἑνικῶν· ἑνικοῦ ἀριθμοῦ· συζυ:
:γίας τῶν εἰς μι· χρόνου ἀορίστου προς:
:τακτικοῦ.

Ἐς μισάγκειαν· εἰς βάθος ὕδατος· παρὰ
τὸ μίσγω· καὶ τὸ ἄγκος ὅ σημαίνει τὸ
κοῖλον καὶ βαθῦ· τὸ δὲ ἄγκος γίνεται
ἐκ τοῦ κέω· ὅ σημαίνει τὸ κεῖμαι· καὶ
κατὰ συναλιφὴν γίνεται κῶ· καὶ ἐξ
αὐτοῦ ὄνομα μονοσύλλαβον γίνεται κός.
καὶ μετὰ τοῦ ἐπιτατικοῦ ᾱ· πλεονασ:
:μῶ τοῦ γ̄· ἄγκος· τὸ πάνυ κοῖλον
καὶ βαθῦ· ἐκ τοῦ ἀγκεία καὶ μισάγκεια

Ἐσμὸς κυρίως τὸ πλῆθος τῶν μελισσῶν.
παρὰ τὸ τὴν ἔσσιν ὁμοῦ ποιεῖν· κατα:
:χρηστικῶς δὲ τὸ πλῆθος.

Ἐσμὸς· κυρίως· ἐπὶ τοῦ σμήνους τῶν με:
:λισσῶν· παρὰ τὴν ἔσσην ὁμοῦ ποιεῖν·
καὶ μὴ διεστάναι ἀπ' ἀλλήλων διὸ καὶ
ὅμηρος

——— μελισσάων εὐδινάων.

παρὰ τὸ ἄδειν καὶ ἀθρόως πετᾶσθαι·
ἀγελαστί διὸ καὶ τὸν

——— βοτρυδὸν δὲ πέτονται.

ἔστω Βυβαντῖνος. καταχρηστικῶς δὲ τὸ πλῆθος ἑσμός. καὶ ὑπὸ τανάγραιον καὶ ἡ γεννῶσα καλεῖται. καὶ εἰς τὸ ἔσβην.

Ἑσμὸς σημαίνει πλήθων ὄχλον. συναθροισμὸν ὁδόν. δεσμόν.

Ἑσμὸς τὸ πλῆθος τῶν σμῆνων. παρὰ τὸ ἕπεσθαι ἀλλήλαις. ἢ παρὰ τὴν ἔσβην. ὡς γὰρ τίθημι. θήσω. θεσμός. δίδημι. δήσω. δεσμός. οὕτως ἵημι. ἥσω. ἑσμός.

Ἐνεῶται. τὸν πόλεμον μεταθέσθαι ἀντὸ ἐπιὸν ἔτος ἢ τὸ μέλλον. παρὰ τὸ ἔνος ὃ σημαίνει τὸν ἐνιαυτόν. ἔνωστα. καὶ ἀποβολῇ τοῦ σ̄ ἔνωτα. ἐκτάσει τοῦ ο̄. εἰς ω̄. καὶ ὑπερθέσει τοῦ ν̄. νεῶτος.

Ἔσω. ἔστιν. εἶμι. τὸ πορεύομαι. ὃ παθητικὸς ἐνεστῶτος ἔμαι. ὃ παρατατικὸς ἤμην. τὸ δεύτερον ἦσο, καὶ τοῦτου τὸ προστακτικὸν ἔσο.

Ἔσοπτρον. ἐκ τῆς εἰς προθέσεως καὶ τοῦ ὄπτω. τὸ βλέπω.

Ἑσπέρα. ἀπὸ τοῦ πέρας εἶναι τῆς ἑώ τουτέστι τῆς ἡμέρας. ἢ ἀπὸ τοῦ ἔσω ἡμᾶς περᾶν. Σαμφῶ φησίν.

β. Ἑσπέρα. ἀπὸ τοῦ ἔσω περᾶν πάντα τὰ ζῶα καὶ καθεύδειν. καὶ Σαμφῶ. —

Ἕσπερε πάντα φέρων ὅσα φαίνολις ἐσκέδασ' ἄνως.

αἱ δὲ ὅτι εἰς πέρας ἐλήλυθεν ἡ ἡμέρα. ἢ ὅτι ἕπεται τῇ τοῦ ἡλίου αὐγῇ.

Ἐς νεῶτα. ἐκ τοῦ ἠέως καὶ τοῦ ἄγω τὸ λάμπω.

Ἑσπέρα. τῆς ἑῶας πλήρωμα.

Ἑσπέρα καὶ ὀψὲ διαφέρει. ἑσπέρα μὲν γὰρ ἐστὶ δυομένου τοῦ ἡλίου. ὀψὲ δὲ βραδέως καὶ μεθόντινα οὓς χρὴ, διὰ τοῦτο καὶ προστιθέασιν ὀψὲ τῆς ἡμέρας.

Ἑσπέρα. παρὰ τὸ ἔσω φέρειν. ἐσοφέρα τίς οὖσα. καὶ ἑσπέρα. σελεύκου.

Ἕσπερος. εἴτε ὁ καιρὸς εἴτε ὁ ἀστήρ. ἐξ οὗ καὶ ἡ ἑσπέρα ἔσω μὲν καθὸ γίνου ἔσω δὲ.

Ἑσπερία θάλασσα. καὶ Ἀτλαντικὸν πέλαγος. ἐβασίλευσεν γὰρ αὐτῆς Ἄτλας καὶ Ἕσπερος. καὶ ἀπὸ μὲν Ἄτλαντος τὸ πέλαγος. ἀπὸ δὲ πλεονασμοῦ ἑσπέρου ἡ θάλασσα.

Ἕσπετο. ἠκολούθει. τῶν παραγώγων παρεμπτώσεος. καὶ τί ἐστι παρέμπτωσις. πλεονασμὸς συμφωνῶν. κατὰ τὸ μέσον οὐ ποιοῦσα συλλαβῆ. οἷον. πόλις. πτόλις. ἕπετο. ἕσπετο.

Ἔσσεται. ἔσται. γενήσεται. τρίχως προσφέρεται.

ἔσεται δι' ἑνὸς σ̄. κοινῶς ἔσσεται. διὰ δύο σσ̄. ποιητ̄ ἐσσεῖται Δωρικῶς. οἱ γὰρ Δωριεῖς ἐκβολὴν ποιοῦντες τοῦ σ̄. πλεο:νασμῶ τοῦ ῑ. καὶ περισπῶσιν αὐτό. οἷον. ἄρκιον ἐσεῖται. φυγεῖν. καὶ κατὰ συγκοπὴν ἔσται. τοῦ δὲ ἐσσεῖται ὁ κανῶν. ἐπὶ τῶν μελλόντων οἱ Δωριεῖς παρεντιθέντες τὸ ῑ. περισπωμένως προφέρονται. οἷον πλευσεῖται. ῥευσεῖται. ἐσσεῖται. ἔσσεται.

Ἔσσην. ὁ βασιλεῦς. ἀπὸ μεταφορᾶς τοῦ μελισσῶν βαλιλέως. ὧς εἴρηται. ἐσσὴν ἀπὸ τοῦ ἔσω ἐνέζεσθαι ἀεί. ἰωνικὴ δὲ ἡ λέξις.

Ἔσσην ὁ βασιλεῦς. παρὰ τὸ ὄσσειν. ὁ βλέπων πάντα.

Ἐσσομένοισι. γενομένοις. ἢ ἐνδεδυμένοις. μετοχὴ μέσου μέλλοντος πρώτου. τὸ ῥῆμα ἔω. ὁ μέλλων ἔσω. ὁ παθητικὸς ἔσομαι. ἢ μετοχὴ ἐσόμενος. τὸ πληθυντικὸν ἐσσομένοισι δύο σσ̄ ποιητικῶς.

Ἐστάθη. εἰς τὸ στῆσαι.

Ρη̄ Ἔσται τοῦ γενήσεται διαφέρει. ὅτι τὸ μὲν ἔσται ἐπὶ τῶν ὄντων νῦν τάσσεται. τὸ δὲ γενήσεται ἐπὶ τῶν οὐκ ὄντων. ὧς τὸ γενήσονται τοῦ πρεσβύτη παῖδες. οὐκ ὄντες γὰρ θέλουσι γένεσθαι. καὶ ὁ νέος πρεσβύτης ἔσται.

Ἔσται γίνεται· ἀπὸ τοῦ ἔω· ἔεις· ἔει· ὅ ἐστιν ὑπάρχει· καὶ ὁ παθητικὸς ἔομαι· καὶ ὁ μέσος μέλλων ἔσομαι· ἔσῃ· ἔσεται· καὶ κατὰ συγκοπὴν τοῦ ε· ἔσται·

Ἐσταότες· ᾱ· ῥῆμα τῶν εἰς μι· ἢ ἀπὸ τῶν εἰς ω· ἑστήκω· τὸ στῆ· η· διατί· ἐκ τοῦ ἕστακα· καὶ ἐξ αὐτοῦ ἑστάκω· ῥῆμα· τροπῇ αἰολικῶς τοῦ ᾱ· εἰς η ἑστήκω· ὁ παρακείμενος ἕστηκα· καὶ συστολῇ ἔσταα· ἑσταὼς ἡ μετοχὴ ἑσταότος· αἱ εἰς ος μετοχαί· ἀπαθεῖς οὖσαι, διὰ τοῦ ο κλίνονται· καὶ τὸ θηλυκὸν ἔχουσι διὰ τοῦ υᾱ· οἷον τετυφότος· τετυφυῖα· εἰ δὲ παθητικὰ κλίσιν ἔχουσι διὰ τοῦ ω· τότε τὸ θηλυκὸν εἰς ᾱ· οἷον βεβαῶτος· βεβῶσα· γεγῶτος· γεγῶσα· ἑστῶτος· ἑστῶσα·

Ἔσται· τοῦ γενήσεται διαφέρει· τὸ μὲν γὰρ ἐπὶ τοῦ ὑπάρχοντος· ὡς ἔσται γέρων ὧδε· τὸ δὲ ἐπὶ τοῦ μὴ ὄντος· ὡς γενήσεται παῖς·

Ἔσσιω· ὁ βασιλεὺς· ἀπὸ μεταφορᾶς τοῦ μελισσῶν βασιλέως· ὡς εἴρηται· ἐσσήν· ἀπὸ τοῦ ἔσω ἐνέζεσθαι ἀεί· ἰωνικὴ δὲ ἡ λέξις καὶ συμαίνει τὸν πρόβουλον παρὰ τὸ ἔζεσθαι· ἵν' ἢ ἐζῆν· καὶ ἐσσὴν ὁ προκαθήμενος· ἢ ἐσσὴν ὁ σεῦων καὶ περισκοπῶν τὰ τῆς πόλεως· ἢ ὁ κτίστης·

παρὰ τὸ ἔσσα. καὶ ἵδρυ ὅθεν ὅμηρος.

Εἴσσεν δ' ἐν χρείῃ ἑκὰς ἀλλήλων ἀριστάλ[ε]χ.
ἢ ὁ ἥσσων τοὺς ὑπ' αὐτοῦ ἀρχομένους.
καὶ ἥττονας ποιῶν, ἢ ἥττονας ἔχων τοὺς
ὑφ' αὐτόν. καὶ συστολὴ τοῦ η. εἰς ε. καὶ
τροπῇ τοῦ ω εἰς η ἐσσήν.

Ἐσπόμεθα. ἔστιν ἐνεστῶς παθητικός.
τὸ θέμα ἕπω τὸ ἀκολουθῶ. καὶ ὁ παθητι-
-κὸς ἕπομαι. καὶ τὸ πρῶτον τῶν πληθυν-
-τικῶν ἑπόμεθα. καὶ κατὰ πλεονασμὸν
τοῦ σ ἐσπόμεθα.

Ἐστὲ τὸ πηθυντικὸν δευτέρου προσώπου
τῶν ἑνικῶν. ῥῆμα ἐγκλίσεως προστακτι-
-κῆς χρόνου ἀορίστου. ἔστι τὸ ῥῆμα εἰμί.
ἡ μετοχή. εἷς. ἔντος. καὶ τὸ προστακτικὸν
ἔθι. ἔτω. καὶ πλεονασμῶ τοῦ σ ἔστω.
τὸ πληθυντικὸν ἔστε. βαρύτονον. τὰ εἰς
τε λήγοντα προστακτικὰ ὁμοιοκατάληκ-
-τα ὄντα τοῖς ὁριστικοῖς, ὁμότονα
καθεστήκασιν. οἷον ἤγετε. ἄγετε. ἐλέ-
-γετε. λέγετε. ἔπειτα οὖν ἔχει τὸ ἐστέ.
τὸ μὲν ὁριστικὸν ὀξύτονον. ὡς τὸ φάγετε.
τὸ δὲ προστακτικὸν βαρύνεται.

Ἔστεργεν. ἔστεγεν. ὑπέμενεν. ἠγάπα.
ἀπὸ τοῦ στέγω. πλεονασμῶ τοῦ ρ στέρ-
-γω. τὸ δὲ στέγω ἀπὸ τοῦ στέγω καὶ στέργω.

ὥς φω. φέβω. καὶ φέρβω. ὅ σημαίνει τὸ τρέ-
-φω.

Ἐστὴ. εἰς τὸ στῆναι.

Ἐστιάτωρ καὶ δαιτυμὼν διαφέρει. ἐστιάτωρ
μὲν ὁ ὑποδοχεὺς. δαιτυμόνες δὲ οἱ ἐστι-
-όμενοι. ἐστία καὶ ἐσχάρα καὶ μέγαρον δια-
-φέρει. ἐστία μὲν γὰρ σημαίνει τὸν οἶκον.
ἐσχάρα δὲ ἡ πρὸς βιωτικὴν χρῆσιν ἐπηγο-
-μένη. ἤγουν. ἤγουν ἀντὶ βωμοῦ κεῖται.
μέγαρον δὲ ἡ περιοκοδομημένη.

Ἐστία. ὁ χυτρόπους. ἡ πυροστάτης. πα-
-ρὰ τὸ ἑστάναι τῇ γῇ.

Ἐστία. ἡ θεὸς παρὰ τὸ ἕσασθαι ὅ ἐστιν ἱ-
-δρυσασθαι. αὐτὴ γὰρ ἡ πρώτη οἶκον
συνέστησεν. ἡ γὰρ πανταχοῦ ἵδρυται καὶ
τιμᾶται. ὅτι τὰ ἀγάλματα αὐτῆς ἱδρυ-
-οντο καθήμενα. παρὰ τὸ ἧσθαι. ἢ πα-
-ρὰ τὸ ἑστάναι ὅ ἐστιν ἐν ἑνὶ τόπῳ ἱδρυσθαι.
καὶ τοὺς οἴκους γὰρ πάλαι ἑστίας ἐκαλοῦν.
καὶ ὅμηρος.

ἱστία τ' ὀδυσσῆος ἀμύμονος.

καὶ ἡ εὐωχία. καὶ ἑστία λέγεται διὰ τὸ
συνέχειν. καὶ ἱδρύειν τὰ σώματα παντὸς.
ἀπὸ μὲν τοῦ ἴζω. ἱστία. ἀπὸ δὲ τοῦ ἕζω.
ἑστία.

Ἐστόρεσεν. ἔστρωσεν. γαλήνην ἐποίησεν.
σαν. ἦσαν.

Ἔστορος. πάσσαλος.

Ἑστία. πολλὰ σημαίνει. ὄνομα θεᾶς. καὶ τὴν οἰκίαν. ἱστία τὸ πῦρ. καὶ τὸν τόπον ὅπου τὸ πῦρ. καὶ τὴν πυρὰν καὶ τὸν βωμὸν. καὶ τὸν σκυθρόποιον. καὶ πυροστά=την. καὶ τὴν εὐωχίαν.

Ἐσχάρα. ὅπου ὀπτῶσιν.

Ἐστί. τρίτου προσώπου τῶν ἐνικῶν πόθεν γίνεται. ἐστί ῥῆμα. εἰμί. οὕτως ἀκόλουθον τρίτου προσώπου εἰσί. καὶ τροπῇ Δωρι=κῇ τοῦ σ εἰς τ. μετὰ ἀποβολῆς τοῦ ι. ἐστί. ἴσως ἵνα καὶ τὴν πρὸς τὸ πληθυν=τικὸν ἐκπτῶσιν ἀποφύγῃ. λέγω δὴ τοῦ αν. ποιοῦσι μετὰ ἀποβολῆς καὶ τροπὴν προσέλαβεν. ἵνα τὴν ὀφειλομένην μα=κρὰν ἀπολάβῃ. τὰ γὰρ εἰς ι. τρίτα πρόσωπα πάντα μακρὰ παραλήγει. τύπ=τουσι. δίδουσι. τίθουσι. καὶ ἄλλως τὸ ἔστιν ἀπὸ τοῦ εἰμι ἐστί. τὸ δεύτερον πρόσωπον ἔσσι. καὶ τρίτον ἐσσί. ἀποβο=λῇ τοῦ σ. καὶ προσθήκῃ τοῦ τ γίνεται ἐστίν. καὶ ἄλλως τὰ ἔστιν ἀπὸ τοῦ εἰμί ἐστί. τὸ δεύτερον γὰρ πρόσωπον τροπῇ τῆς εἰς μι. εἰς σ. γίνεται εἶς. καὶ τὸ τρίτον προσθέσει τοῦ ι. γίνεται εἰσί. καὶ

κατά διάλεκτον Δωρίδα τροπή τοῦ σ εἰς
τ γίνεται εἴτι. καί κατά ἀποβολήν τοῦ
ι. ἔτι. καί κατά προσθήκην τοῦ σ ἔστι.
ἐπειδή τά εἰς μι πάντοτε μακρά θέσει
παραλήγεσθαι.
Ἐστός. εἰς τό μεστός.
Ἔστον. ἔστι δυϊκόν. ἔστων. ἔστο.
Ἔστω. ἐκ τοῦ ἔω. τό ὑπάρχω. γίνεται
παράγωγον εἰμί. ὅμηρος.
Ἔστω ῥῆμα προστακτικόν. εἰμί τό ὑπάρχω.
ὅ παρατατικός ἦν. ἡ μετοχή εἰς ἔντος.
καί τό προστακτικόν ἔθι. τό τρίτον ἔστω.
καί πλεονασμῷ τοῦ σ ἔστω. καί ἐξ αὐτοῦ
γίνεται καί τό ἤτω. τροπῇ τοῦ ε. εἰς
η.
Ἑστῶτες μετοχή. ἵσαντο. παρά τό ἵστημι.
στήσω. ὅ παρακείμενος ἕστακα. ἡ μετοχή
ἑστακζ. ἀποβολή τοῦ κ. ἑστάωζω. ἑστώς.
τό στῶ μτ. διατί. τό α καί τό ω. εἰς
ω μέγα κιρνᾶται.
Ἐσύκαζεν. ἐσυκοφάντει. ἐλοιδώρει.
Ἐσχατιά ἡ ὁ ἀγρός. ἡ τό ἔσχατον τοῦ ἀγροῦ.
Ἔσσυται. ἔστι παθητικός παρακείμενος
τῶν εἰς μι. ἔστι γάρ τό ῥῆμα αὐτοῦ σω
τό σημαίνον τό ὁρμῶ. ἐκ τούτου παράγωγον

σδω. καὶ ἐκ τοῦ σδω ὁ μέλλων σδσω. ὁ παρακείμενος σέσυκα. ὁ παθητικὸς σέσυμαι. καὶ τὸ τρίτον σέσυται. καὶ ἐν ὑπερθέσει τοῦ ε. ἔσσυται. πάλιν ἐκ τοῦ σω γίνεται παράγωγον σεδω. καὶ ἐκ τοῦ τοῦ σδω. ὁ μέλλων σδσω. ὁ παρακείμενος σέσυκα. ὁ παθητικὸς σέσυμαι. καὶ τὸ τρίτον σέσυται. καὶ ἐν ὑπερθέσει τοῦ ε. ἔσσυται. ὁ ἐνεστῶς παθητικὸς σεδομαι, καὶ τὸ τρίτον τῶν πληθυντικῶν σεδονται.

κωδες θαλεροὶ τ' ἐξηοὶ.

Ἐσχάρα. ἡ οἰκία. εἰς τὸ ἑστία.

Ἔσχατος. παρὰ τὴν σχέσιν καὶ κώλυσιν ὁ τελευταῖος. ὕστατος δὲ ὅτι ὑπ' ἀντὸν ἐστιν ἡ στάσις. καὶ οὐκέτι προβῆναι δυνατὰ. ἀλλ' ὕστερος εἱστήκει. τοῦ πρώτου μὴ ἐόντος καὶ τοῦ ἀπόντος πεπαυσθαι. καὶ ἑτέρμιον τὸ ἔσχατον. τὸ ἀπὸ τοῦ τέρματος ὁ ἐστὶ τέλους

Ἔσχατος. παρὰ τὸ ἕω τὸ ἀκολουθῶ. ὁ νέος ἢ πρὸ ὀλίγου.

Ἔσχετο. εἰς τὸ ὑπέσχετο.

Ἔσω. εἰς τὸ ἔνδον.

Ἔσωσεν. παρὰ τὸ σωζω. ὁ μέλλων σωσω. ὁ ἀόριστος ἔσωσα. τὸ δὲ σω. ὅταν ἀπὸ τοῦ

σωΐζω ἐστιν· ἔχει τό ῑ· ὅταν δὲ ἀπὸ τοῦ
σάος· σαόζω· καὶ κράσει τοῦ ᾱ· ο̄· εἰς μέ-
-γα σώζω· ὁ μέλλων σώσω· ὁ παρακείμε-
-νος σέσωκα· ὁ παθητικὸς σέσωσμαι·
ἔστι καὶ ἄλλο· σῶ τό ὑγιαίνω· ἐξ οὗ ὁ παθη-
-τικὸς σέσωσμαι· σέσωσται· καὶ ἐξ αὐτοῦ
σῆρ· ἐστι δὲ σῶω· σώσω· ὡς γνῶω· γνώσω·
ἐξ οὗ ὁ παρακείμενος ἔγνωκα· ὁ παθη-
-τικὸς παρακείμενος ἔγνωσμαι ἔγνωσται·
καὶ ἐξ αὐτοῦ γωστός· ὁ ἴδιος· καὶ γὰρ
γνωστοὶ λέγονται οἱ γνώριμοι· γνωστοὶ δὲ
οἱ ἴδιοι·

Ἐτάζω σημαίνει τὴν ἀλήθειαν ἀνακρίνω·
γέγονε δὲ παρὰ τό ἐτεόν ὁ σημαίνει τὸ
ἀληθές· ὥσπερ παρὰ τό ἱπτῶ· ἱπτάζω·
οὕτως ἐτεόν ἐτεάζω· καὶ ἀφαιρέσει
τοῦ ε̄· ἐτάζω· ἐξ οὗ καὶ τό ἐξετάζω·
τό τὴν ἀληθεῖαν ἀνακρίνω· καὶ εἰς τὸ ἐξε-
-τάζω·

Ἑταῖρος ὁ προσφιλής· σημαίνει δὲ τρία
τὸν ἴδιον· τὸν φίλον· καὶ τὸν ἀλλότριον·
καὶ τὰ μὲν δεύτερα διὰ τοῦ ᾱ· τό δὲ
ε̄ν διὰ τοῦ ε̄· τὸ τᾶι· δίφθογγον· διατί·
τὰ εἰς ο̄ς καθαρά· ἀπὸ πρωτοτύπων τῶν
εἰς ο̄ς παρηγμένα διὰ τῆς αῑ διφθόγγου
γράφεται· οἷον μῆνος· λῃναῖος· δρόμος·

δρομαῖος. οὕτω καὶ παρὰ τὸ ἔθος ἐθαῖος. καὶ πλεονασμῷ τοῦ ρ̄ ἐθαῖρος. καὶ τροπῇ. τοῦ δασὺ εἰς ψιλὸν γίνεται ἑταῖρος. οἱονεὶ ὁ συνήθης φίλος. τὸ δὲ ἑτάρος. ἐκ τοῦ ἑταῖρος.

Ἕταρος. ὁ φίλος.

Ἑταῖρος. καὶ φίλος διαφέρει. ὁ μὲν γὰρ φίλος καὶ ἑταῖρος. ὁ δὲ ἑταῖρος οὐ πάντως φίλος.

Ἑταῖροι. οἱ σύμπλοοι καὶ οἱ συνναῦται.

Ἑταιρεῖα. ἡ τάξις. ἤτοι ἑταιρία καὶ ἡ φιλία.

Ἑταίρω. εἰς τὸ ἐθήρω.

Ἐτάν. εἰς τὸ ὦτάν.

Ἔταον εἰς τὸ τῇ.

Ἔτης. ὁ πολίτης. ἀπὸ τοῦ ἔθους. ἢ τῆς συνηθείας. ὅθεν καὶ ἕτερος παρῆκται. ὡς καὶ ξένος. ὁ ἐκτὸς ἐνωτητος ὤν.

Ἐτεά. ἐδόκει μεν. ἐτεὰ εἶναι καὶ τὰ ξυγκείμενα, ἀκριβῆ. ἀληθῆ. ἐστι δὲ ὄνομα οὐδέτερον, καὶ ἐπίρρημα ἀπὸ τοῦ ἀρσενικοῦ τοῦ ἐτεός, ὁ σημαίνει τὸ ἀληθές. ἀπὸ τοῦ εἰμὶ ῥήματος. ὁ σημαίνει τὸ ὑπάρχω. ὁ παθητικὸς ἐνεστῶς ἔμαι. τὸ τρίτον ἔται. καὶ ἐξ αὐτοῦ ἐτὸς. τὸ γὰρ ἀληθὲς ὑπάρχον

ἐστι καὶ πεπηγός.

Ἐτεόν. τὸ ἀληθές. ἀπὸ τοῦ εἰμί. ὁ μέλλων ἔσω. καὶ ὁ παθητικὸς ἔσομαι. καὶ ὧς θήσω. θετός. οὕτως ἔσω. ἐτός. καὶ πλεονασμῷ τοῦ ε. ἐτεός. τὸ γὰρ ἀληθὲς ὑπάρχον ἐστι καὶ πεπηγός.

Ἐτεόν. εἰς τὸ ἀληθές.

Ἐτεόν τὸ ἀληθές. τὸ ὂν μικρόν. διατί. τὰ ἀπὸ διαφόρων πτώσεων εἰς ἐπιρρηματικὴν μεταγόμενα σύνταξιν τὴν αὐτὴν γραφὴν ταῖς πτώσεσιν ἔχουσι. καὶ ἐκ πόσων πτώσεων μετάγονται τὰ ἐπιρρήματα. ἐκ πάντων. ἢ γὰρ ἀπὸ εὐθείας. ὥσπερ ὁ πρόφρων. πρόφρων.

πρόφρων δὴ Δαναοῖσι ποσειδάων ἐπάμυνεν. ἢ ἀπὸ γενικῆς. ὡς τὸ προιξ. προικός.

ἐργαλέον γὰρ ἕνα προικὸς χαρίσασθαι. ἢ ἀπὸ δοτικῆς. ὡς τό. ἰδία. τῆς ἰδίας. τῇ ἰδίᾳ. ἦλθον. δημοσιὰ ἐλάλησα. ἢ ἀπὸ αἰτιατικῆς. ὡς τό ἢ ἀπριάτη. τῆς ἀπριάτης. τῇ ἀπριάτῃ. τὴν ἀπριάτην καὶ ὅμηρος.

Ἀπριάτῃ ἀνάποινον ἄγειν θ' ἱερὴν ἑκατόμβην. καὶ ἡ πέρα τῆς πέρας τῇ πέρᾳ. τὴν πέραν. πέραν τοῦ χειμάρου. τῶν κέδρων. ἢ ἀπὸ κλητικῆς. Ἡρακλεής. ἡρακλείδης ὦ ἡράκλης.

ἐπίρρημα θαυμαστόν· ἀντὶ τοῦ ὦ τοῦ θαύματος· τοῦτο Λουκιανός· ἀντὶ τοῦ θαυμαστικοῦ ἐπιρρήματος παραλαμβάνει καὶ εἰς τὸ ἐξετάζω καὶ ἐτάζω.

Ἐτεκτήναντο· τεκτένω τὸ κατασκευάζω. ὁ μέλλων τεκτανῶ· βητ.· καὶ· ὁ ἀόριστος ἐτέκτανα· καὶ ἰωνικῶς ἐτέκτηνα· ὁ μέσος ἀόριστος ἐτεκτήνατο· καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἐτεκτήναντο· ὡς Ἀλεξάνδρω ἐτεκτήναντο.

Ἐτεός· εἰς τὸ ἄτη· καὶ ἔτος· καὶ ἐτῶσιον.

Ἑτερακέλαν· τὴν τοῖς ἑτέροις ἀλκὴν παρέχουσαν· ἤτοι δυνάμιν· παρὰ τὸ ἀλκῶ.

Ἕτερος· καὶ ἄλλος διαφέρει· ἕτερος μὲν γὰρ ἐστιν ἐπὶ δύο· ἄλλος δὲ ἐπὶ πολλῶν.

Ἑτερόφθαλμος· καὶ μονόφθαλμος διαφέρει· ἑτερόφθαλμος μὲν γὰρ ἐστιν ὁ κατὰ περίττωσιν πηρωθεὶς τὸν ἕτερον τῶν ὀφθαλμῶν· μονοφθαλμὸς δὲ ὁ μόνον ὀφθαλμὸν ἔχων· ὡς ὁ κύκλωψ.

Ἐτησίους τοὺς κατ' ἔτος ἐν τῷ καιρῷ τῆς ὀπώρας πνέοντας ἀνέμους· εὐθεῖα· ὁ ἐτησιὸς τοῦ ἐτησιοῦ· ἡ εὐθεῖα τῶν πληθυντικῶν αἱ ἐτήσιαι· τοῖς ἐτησίοις· τοὺς ἐτησίας· γίνεται ἐκ τοῦ ἔθος· ἐθησιος· καὶ ἐτησίας· οἱ ἔθος ἔχοντες· κατ' ἔτος.

ἐν τῷ καιρῷ τῆς ὁπώρας πνεῖν ἄνεμοι.
ἢ παρὰ τὸ ἔτος. Ἡσίοδος. μετὰ ν̄
ἡμέρας τῆς τροπῆς τοῦ θέρους πνέουσιν
οἱ ἄνεμοι. οἱ ἐτήσιοι. ὅτε ὁ ἥλιος ἢ
ἐν λέοντι. Ἕλληνες δὲ ὅτε ἐν καρκίνῳ τὸν
ἥλιον φασὶν εἶναι. Αἰγύπτιοι δὲ ἐν κριῷ.
Ἔτι. ἀκμὴν. ἐπίρρημα. ἐπὶ τάσεος δη
λωτικὴς. ἢ παρατάσεος. εἰ γὰρ εἴπομεν
τρέχοντος τινὸς ἔτι δραμεῖν. τοῦτο ἐπί
:τασις. εἰ δὲ νυκτὸς ὕσης. ἔτι νὺξ πα
:ράτασις. τὸ τι ῑ διὰ τί. τὰ εἰς ῑ
λήγοντα ἐπιρρήματα σωεσταλμένα βαρύ
:νονται δισύλλαβα ὑπάρχοντα. διὰ τοῦ
ῑ γράφονται. οἷον αὖθι. κεῖθι. νόσφι. ἄχρι.
ἦχι. ἔτι.
Ἔτνος. σημαίνει τὸ ὄσπριον καὶ δασυνε
:ται.
Ἔτνος. τὸ ἐρειχθὲν καὶ συγκοπὲν καὶ
ἐψηθὲν ὄσπριον. ἀπὸ τοῦ ἐρίκω τὸ χίζω.
Ἑτοιμασία. παρὰ τὸ ἑτοιμῶ. τὸ τοῖ
δίφθογγον. σημαίνει δὲ δύο τὸν πρόχει
:ρον. καὶ γίνεται παρὰ τὸ οἶμα τὸ ὅρμη
:μα. καὶ ὅμηρος.

οἶμα λέοντος ἔχων —

καὶ τοῦ ἔθους ἔθοιμος. καὶ ἐπεὶ ψιλὰ ψιλῶν
ἡγεῖται γίνεται ἕτοιμος. ὅ εἰς τὸ ὁρμῆσαι

καὶ πράξαι πρόχειρος ὤν.

Ἕτοιμος σημαίνει δύο τὸν πρόχειρον καὶ τὸν ἀληθῆ. καὶ εἰ μὲν σημαίνει τὸν πρόχειρον γίνεται παρὰ τὸ οἶμος. ὃ σημαίνει τὸ ὁρμημα. καὶ τὸ ἔθω. τὸ ἐξ ἔθους τι πράττομαι. ἔθοιμος καὶ τρυπῆ τοῦ δασυ εἰς ψιλὸν γίνεται ἕτοιμος. διὰ τῆς οι. εἰ δὲ σημαίνει τὸν ἀληθῆ. γίνεται ἐτήτυμος καὶ ἐν συγκοπῇ ἔτυμος τὸ τῦ ψιλόν.

Ἑτοίμη. ἐκ τοῦ ἕτοιμος. τοῦτο ἐκ τοῦ οἶμα καὶ τοῦ ἔθω. τὸ ἐξ ἔθους τι διαπράττομαι.

Ἔτυμος. καὶ ἕτοιμος διαφέρει. ἕτοιμος ὁ πρόχειρος. ἔτυμος ὁ ἀληθής. οἶμα καὶ οἴμη. οἶμα μὲν σημαίνει τὸ ὁρμημα. καὶ ὅμηρος.

οἶμα λέοντος ἔχων —

τὸ δὲ οἴμη σημαίνει τὴν ὠδὴν. ὅμηρος.

Ἑτοιμάσατε. παρὰ τὸ ἕτοιμος. τοῦτο δὲ ἡνίκα δηλοῖ τὸ ἡτοιμασμένον. διὰ διφθόγγου γράφεται καὶ δασυνεται. ἡνίκα δὲ τὸ ἀληθές. ψιλοῦται καὶ διὰ τοῦ υ ψιλοῦ γράφεται. οἷον.

ψεύσομαι, ἢ ἔτυμον ἐρέω κέλεται δέ με θυμός.

Ἔτος παρὰ τὸ ἔω τὸ ὑπάρχω. γίνεται ἐός καὶ ἔτος. διαφέρει δὲ ἔτος καὶ ἐτός.

καὶ βαρυτῆς μὲν σημαίνει τὸν χρόνον. ὀξυνόμενον δὲ τὸν ἀληθῆ. ἐξ οὗ καὶ ἐτεός. καὶ κατὰ πλεονασμὸν τοῦ ε. ἔτος. παρὰ τὸ ἔτι εἶναι καὶ ἰέναι. καὶ εἰς τὸ αὔτως καὶ ἐτεά.

Ἔτυμος. τὸ τῦ ψιλὸν καὶ σημαίνει τὸν ἀληθῆ. καὶ γίνεται παρὰ τὸ ἐτεὸν τὸ ἀληθὲς. ἐξ οὗ καὶ ἐτυμολογία. ἡ ἀλη:θολογία.

Ἐτυμολογία ἐστι. ἡ τῆς δυνάμεως τοῦ ὀνόματος ἐξ αὐτοῦ τοῦ ὀνόματος ἑρμη:νευομένη.

Ἐτύχθη. κατεσκευάσθη. ῥῆμα παθητι:κὸν ἀορίστου δευτέρου. ὁ παθητικὸς παρακείμενος τέτυγμαι. καὶ ὥσπερ ἀπὸ τοῦ πέφευγμαι. πέφυκται. γίνεται ποιητικῶς πεφυγμένος. πεφυγμένοι. κατὰ ἀστύας. οὕτω καὶ ἀπὸ τοῦ τέτευκται τέτυγμαι. ὁ ἀόριστος ἐτύχθην. ἀποβολῇ τοῦ ε. ἐκ τοῦ πέφυκται. γίνεται φυκτός. καὶ ἄφυκτος. ὃν οὐ δυνατάι τις διαλα:θεῖν. καὶ ὁ Ἰωάννης. σειραῖς ἀφύκτοις ὃν διαρθροῖ δακτύλοις. ὁ ἐνεστῶς ἐστι τεύχω. ἐστι δὲ καὶ περισπώμενον. ἐξ οὗ καὶ τὸ τετυχεῖσθαι. ἀραρὼν θαμέσις σταμίνεσιν ὁ παθητικὸς πα:ρακείμενος τέτυγμαι. τὸ τρίτον τέτυκται-

καὶ ῥηματικὸν ὄνομα τευκτός. καὶ ὥσπερ
ἀπὸ τοῦ σημός. σημαίνω καὶ μαργός
ὁ σημαίνει τὸν μωρόν. μαργαίνω. οὕτω
καὶ ἀπὸ τοῦ τευκτός τευκταίνω. μὴ
τέκταινε ἐπὶ σὸν φίλον κακά. καὶ ὁ
μέλλων τεκτανῶ καὶ ὁ ἀόριστος ἐτέκ-
-τανα. καὶ ἰωνικῶς ἐτέκτηνα. καὶ ὁ
μέσος ἀόριστος ἐτεκτηνάμην. καὶ τὸ
τρίτον ἐτεκτήνατο. καὶ ἀπὸ τοῦ τέ-
-τυκται ποιητικῶς γίνεται τυκτός.
καὶ ὁ ποιητής.

— τυκτὸν κακὸν ἄλλο πρόσαλλον.

Ἐτῶ θαζον. ἔσκοπτον. διέσυρον. σημαί-
-νει δὲ τὸ ἐχόλαζον. γίνεται δὲ τὸ θάζω.
παρὰ τὸ ὦθω ὠθάζω. καὶ τὸ θάζω. συν-
-τάσσεται μετὰ δοτικῆς καὶ αἰτιατικῆς.

Ἐτῶσιον. ἐπίρρημα μεσότητος. τὸ
τῶ μέγα. ἐκ τοῦ ἔω. τὸ ὑπάρχω. ἐτὸς
ὁ ἀληθινός, μετὰ τοῦ στερητικοῦ ᾱ
ἄετος. ἡ εὐθεῖα τῶν πληθυντικῶν
ἄετοι. ἀέτων. ἀετῶσιος. καὶ ἀφαίρε-
-σει ἐτῶσιος. κανῶν γάρ ἐστιν ὁ λέγων.
αἱ ἀπὸ γενικῆς πληθυντικῶν ὀνομάτων
γινόμεναι παραγωγαὶ διὰ τοῦ ιος διχῶς
χηματίζονται. διὰ τοῦ σ̄ καὶ διὰ τοῦ
ν̄. καὶ ἡ μὲν τῶν Ρηγίνων διάλεκτος

διά τοῦ σ̄. οἷον ἀέτων ἀετώσιος. ἡ δὲ τῶν αἰολικῶν διὰ τοῦ ν̄. οἷον ἑλίκη ἑλίκης. ἑλίκαι. ἑλίκων ἑλικώνιον

—— Ἑλικώνιον ἀμφὶ ἄνακτα.

Ἐτώσιον. τὸ πρακταῖον, μάταιον. ἐκ τοῦ ἀλήτης. ἀητώσιον καὶ ἐν συγκο:πῇ ἐτώσιον.

Ἐτώσιος ἀήτης. ὁ ἄνεμος. ἀητῶν. ἡ πληθυντικὴ γενικὴ. ἀποβολῇ τοῦ ᾱ καὶ τροπῇ τοῦ η̄ εἰς ε̄. ἐτῶν. ἐτώσιος. γίνεται δὲ παραγωγὴ ἀπὸ γενικῆς πλη:θυντικῆς διὰ τοῦ ιος̄. οἷον ἄνεμος. ἀνεμώλιος. ἡ δὲ ἑλίκη καὶ πλ[illegible] ὡς θῆβαι. ἔθεν

— Ἑλικώνιον ἀμφὶ ἄνακτα.

ὁ δὲ φιλόξενος καὶ τρόφων φασίν. ἐτὸς ὁ ἀληθὴς. ὅθεν ἐτεὸς ἐτώσιος. κατὰ ἀντίφρασιν ὁ μάταιος. ὥσπερ τὸ πλησίον τὸ ἐγγύς. κατὰ ἀντίφρα:σιν γίνεται. πλὴν τῷ παρ' ὁμήρῳ. ἐτώσιον. τινὲς οἴονται παρὰ τὸ ἐτῶν. ἐτώσιος. ἀλλὰ μάχεται ὁ νοῦς. οἱ δὲ οὕτως. ἀήτων ἀητώσιος τὸ χωριστικὸν ἐπίρρημα. συστολὴ ἐτόσιον. [illegible]. τοῦτο ἀφαιρετόσιον. ἢ οὕτως. ἐτὸς

ἀετός. ἀέτων. ἀετώσιος. ὁ μὴ ἀλη-
-θής. ἀλλὰ μάταιος. ὅμ.

—— ἐτώσιον ἄχθος ἀρούρης-
μάταιον βάρος. τῆς ἠρωτριασμένης
γῆς.

τὸ ε̄ μετὰ τοῦ ῡ.

Εὐαρεστῶ. ἐκ τοῦ ἐρετῶ γίνεται. κατὰ
πλεονασμὸν τοῦ σ̄. τοῦτο παρὰ τὸ
ἀρετή. τοῦτο παρὰ τὸ ἐρῶ τὸ ἐπι-
-θυμῶ. ἐρετή. καὶ ὑπερβιβασμῶ ἐρετή.
καὶ ἀρετή. καὶ εὐαρεστῶ.

Εὐαρεστήσω. ἐκ τοῦ εὐάρεστος. τοῦτο
παρὰ τὸ ἐρῶ. ἀρέσω. ἀρεστός. καὶ
εὐάρεστος. τοῦτο παρὰ τὴν ἀρὰν ὅ
σημαίνει τὴν εὐχὴν. πόσα σημαίνει.
δύο. τὴν εὐχὴν ὡς τὸ — ἀράων ἀΐων
καὶ τὴν βλάβην.

Ἐμεῖο δὲ δῆσεν ἄρης ἀρητῆρα γενέσθαι.

Εὐαγγέλιον. τὰς ἀγαθὰς ἀγγελίας
δωρούμενον.

—— εὐαγγέλιον δέ μοι ἔστω.

Εὔαδεν. ἤρεσκεν. ἐκ τοῦ ἥδω. ὁ δεύ-
-τερος ἀόριστος ἄδον. ἄδες. ἄδε. πλεο-
-νασμῶ τοῦ ε̄ κατ' ἀρχήν. ἢ παρὰ τὸ

ἦδον. ἦδες. ἦδε. διαλύσει τοῦ η. εἰς ε. καὶ α. εὖς ὁ καλὸς κατὰ Αἰολεῖς. παῖς. παῖς ὁμοίως.

Εὔαδεν. ἤρεκε. τῆς πρώτης συλλαβῆς ὑψιλωτέον. τῆς δὲ δευτέρας δασυτέον.

Εὖγε ἐπίρρημα σρωξ ἤγουν ἐμπαίγμου. ἢ ἐπίρρημα μεσότητος. καταχρηστικῶς δὲ καὶ ἀντὶ τοῦ καλῶς.

Εὐαγγέλιον. ἀγαθῆς ἀγγελίας δῶρον.

Εὖ ἐπίρρημα μεσότητος. ἐπὶ τάσεως καὶ στερήσεως

Εὐδαίμων. ὁ μακάριος. εἰς τὸ ὄλβιος.

Εὐδαιμονῶ. σημαίνει τὸ καλῶς γινώσκω πάντα. τὸ καλῶς πιστεύω. τὸ καλῶς σκευάζω. τὸ καλῶς ζῶ. τὸ εὐτυχῶς τὸ δαψιλῶς τρέφομαι καὶ πλουσίως καὶ μακαρίως. ἐξ οὗ καὶ εὐδαιμονία ἡ εὐτυχία. καὶ ὁ πλοῦτος. δι δαιμονία δὲ. ἡ φοθεία. ἢ τοι δεειδέναι τοὺς δαίμονας.

Εὐδία γαλήνη. ἄνεμος. εὐωδία τις ὀσμα. καὶ ἐν συγκοπῇ εὐδία.

Εὐδίνητον. σημαίνει τὸ εὔστροφον γέγονε δὲ παρὰ τὸ εὖ μόριον. καὶ τὸ δίνη ὁ σημαίνει τὴν συστροφήν. εὔδινος. καὶ

ἐξ αὐτοῦ εὐδινῶ. εὐδινήσω. εὐδίνηκα/
εὐδίνημαι. εὐδίνηται. καὶ τὸ εὐδίνητον
τὸ οὐδέτερον. δίνη δὲ παρὰ τὸ ἰῶ. τὸ
πορεύομαι. ἴνη καὶ δίνη. τὸ οὐδέτερον τὸ
Δῖνος. τοῦ δίνου. ταῖς δίνεσι. καὶ τροπῇ
τοῦ ε. εἰς ο. καὶ πλεονασμῷ τοῦ ι δίνοι-
σιν. ἤγουν τοῖς ἐγκάτοις. ὅμηρος.

Εὔβοια ὅτι καλοὺς καὶ λευκοὺς βοῦς
ἔχει. ὅμηρος. δὲ Ἄβαντας αὐτοὺς καλεῖ
ὡς τοὺς ἐξ ἰλίου οὐχ ἰλίεις ἀλλὰ τρῶας.
καὶ τοὺς ἐκ βιλείας τρῶας.

Εὐδοκία ἐστὶν ἡ ἀρίστη καὶ καλλίστη τοῦ
θεοῦ ἑκούσιος θέλησις. ὅθεν εὐδοκία κυ-
ρίως παρὰ τὸ εὖ καὶ καλῶς δεδέχθαι
προσαγορεύεσθαι.

Εὐδοκία. σύνθεσις. βούλησις ἢ βούλημα.
προαίρεσις. ἐπιθυμία. παρὰ τὸ καλῶς
καὶ εὖ δεδέχθαι. ἐστι δὲ ὄνομα πόλεως
καὶ κύριον ὄνομα. συμαίνει δὲ ἀποδοχὴν
καὶ θέλησιν. ὡς τὸ εὐδόκησας κε τὴν
γῆν σου ἀντὶ τοῦ ἠθέλησας.

Εὐδοκία βούλησις.

Εὐδιηνά. καὶ ἀνθινὰ ἐκ τοῦ εὐδία.
εὐδιανός. καὶ εὐδιηνός.

Εὐδοκῶ παρὰ τὸ εὖ μόριον καὶ τὸ δοκῶ.

τό δέ δοκῶ παρά τό δέχω γίνεται. ἅπερ γάρ δέξεται ὅ νοῦς. ἐκεῖνα καί δοκεῖ.

Εὐδόκησεν. ἠθέλησεν. ἐπεθύμησεν. ἠράθη.

Εὗδον. ἔλεγον ἐκ τοῦ ἕδω δασύνεται. ἐκ τούτου γίνεται ἕδος. ἡ καθέδρα. ἕδω οὖν τό ῥῆμα. καί ἵνα μή συνεμπέσῃ τῷ ἐαθίω. πλεονασμῷ τοῦ υ γίνεται εὗδω. καί εἰς τό εὗρυ.

Εὐειδοῦς. εἰς τό εὔμορφος.

Εὔειλος. σημαίνει τόν εὐάρεον τόπον. παρά τό εἴλη ὅ σημαίνει τήν θερμασί::αν.

Εὐεπίης. καλολεξίας. τροπολογίας. γέγονε δέ ἀπό τοῦ εὐεπής. ἐξ αὐτοῦ τό θηλυκόν εὐέπεια. τό πεῖ δίφθογγον. διατί. διότι τά ἀπό τῶν εἰς ης ἀρσε:νικά διά τοῦ εια παρηγμένα διά τῆς ει διφθόγγου γράφεται. τό δέ εὐέπης διά τοῦ η. παρά τό εὐ μόριον καί τοῦ ἔπω τό λέγω. τό δέ ἔπω σημαίνει τέσσαρα. ἔπω. τό λέγω. ὅμηρος.

Αὐτάρ ἐγώμιν ἀμειβόμενος προσέειπον. ἔπω τό ἀκολουθῶ.

Εἴσω ἐπόμην θάλαμον γνῶτε τέ λιπούσα. ἔπω τό διοικῶ.

Ἀλλά τό μέν πλεῖον πολυαΐκος πολέμου μοιο.

Χεῖρες ἐμέ διέπουσιν ——

ἔπω. τὸ κατασκευάζω.

Τὸν δ' εὗρε θαλάμω περικαλλὸ τεῦχε ἔποντα.

Εὐεργεσία. ἀγαθοποιΐα. ἐκ τοῦ εὐεργέ-
-της εὐεργετία. ὡς ἱκέτης ἱκετεῖα. καὶ
τροπῇ ἰωνικῶς τοῦ τ εἰς σ εὐεργεσία.

Εὐεργέτης. παρὰ τὸ εὖ μόριον καὶ τὸ
ἔργον γίνεται εὐεργέτης. πόθεν γίνεται
τὸ εὖ μόριον. παρὰ τὸ ἐὺς. ὃ σημαίνει
τὸ ἀγαθόν. κλίνεται ἑέος. τὸ οὐδέτερον
ἐΰ, καὶ κράσει εὖ. τὸ δὲ ἐΰς παρὰ τὸ
ἐω τὸ ὑπάρχω.

Εὐεργεσία. ἐπὶ μεγάλοις. χάρις ἐπὶ μικροῖς.

Εὔζωμον. παρὰ τὸ εἶναι εὔσωμον. ἔζωμον
εἶδος μαχάνου.

Εὐήθεια. μωρία. ἀνοία. ὁ δὲ Θουκυδίδης
ἐν τρισὶ τὸ εὔηθες ἐπὶ τοῦ βέλτιον λαμβά-
-νει. καὶ ὁ Φιλόσοφος.

Εὔθαρ. εἰς τὸ εἴθαρ.

Εὐθύνω. ῥῆμα βαρύτονον. σημαίνει ζ.
εὐθύνω παρὰ τὸ εὖ μόριον. ὡς καὶ τὸ
θύω. τὸ ὁρμῶ τὸ ἐξισῶ καὶ κανονίζω.
ἐξ οὗ καὶ εὐθύτης. καὶ εὐθυνατετὴν ὁδὸν
κυρίως. εὐθύνω τὸ ὁμοιῶ. ἐξ οὗ καὶ εὐ-
-θύτης ἡ ὁμοιότης.

Εὐθύνω τὸ ἐλέγχω. ἐξ οὗ καὶ ἐυθύνη ἡ ἔλεγξις.

Εὐθύνω τὸ κρίνω. ἐξ οὗ καὶ ἐυθύνη. ἡ κρίσις.

Εὐθύνω τὸ τιμωρῶ. ἐξ οὗ καὶ ἐυθύνη. ἡ τιμωρία.

Εὐθύνω. τὸ καταδικάζω. ἐξ οὗ καὶ ἐυθύνη ἡ καταδίκη.

Εὐθύνω τὸ ἀπολογοῦμαι. ἐξ οὗ καὶ ἐυθύνη ἡ ἀπολογία. ἐκ τούτου ῥῆμα γίνεται. ὄνομα μετοχ' τριγενὲς. ὁ ἐυθύνων ἀρσενικόν. θηλυκὸν ἡ ἐυθύνουσα. τὸ οὐδέτερον τὸ ἐυθύνον. ἔστι δὲ ἕτερον ῥῆμα παρὰ τὸ ἐυθυνῶ. ὅπερ διὰ τοῦ η. γράφεται. ἡ μετοχὴ ὁ ἐυθυνῶν ἡ ἐυθύνουσα. τὸ ἐυθυνοῦν. σημαίνει δὲ τὸ πλῆθος, καὶ τὸ βάρος. ἢ τοὶ τὸ καλῶς διακεῖσθαι.

Εὐθυνία. ἐκ τοῦ ἐυθὺς καὶ τοῦ ἡνίον.

Εὐλαβὴς. ὁ ἐν τῶν πραγμάτων ἐπιλαμβανόμενος. ἢ καὶ ὁ εἰς τὸ λαβεῖν ἐπιτήδειος. οἷον εὐλαβὴς μάχαιρα. καὶ εὐλαβὴς λίθος. τινὲς δὲ τὸν δῆλον. καὶ δειλὸς ὁ κακὸς καὶ δείλαιος ὁμοῖν εὐλαβὴς. ὁ ἐν προσλαμβάνων τὸ μέλλον.

Εὐλάβεια. παρὰ τὸ εὖ καὶ τὸ λαμβάνω ἢ τὸ καλὸν λαμβάνουσα.

Εὐλαβεία· εἴδη δύο· αἰδὼς καὶ ἁγνεῖα· αἰδὼς μὲν· εὐλάβεια ὀρθοῦ λόγου· ἁγνεία δὲ τῶν περὶ θῦ ἁμαρτημάτων.

Εὐέκτης ὁ πλούσιος· ἔστι δὲ ῥηματικὸν σύνθετον· ἀπὸ γὰρ τοῦ ἔχω ἕκτης· ὡς ψάλλω· ψάλτης· τρώγω τρώκτης· καὶ εὐέκτης

Εὐηνίνη· ἡ τοῦ εὐήνου γαμετή.

Εὐθὲς· ὑδέτερον· τὸ ἀρσενικὸν ὁ εὐθὴς παρὰ τὸ ἐν μόριον καὶ τὸ θέω τὸ τρέχω. εὐθὴς γάρ ἐστιν ὁ καλῶς τρέχων· ἢ παρὰ τὸ εὖ καὶ τὸν θήσω μέλλοντα· ὁ καλῶς διακείμενος πρὸς πάντα.

Εὐθὺς καὶ εὐθὺ καὶ εὐθὲν διαφέρει. εὐθὺς μὲν γάρ ἐστιν ὁ καλ. εὐθὺ δὲ τὸ γυμνάσιον· ἀντὶ τοῦ καθ' εὐθείαν τοῦ γυμνασίου. εὐθὲν δὲ ἀντὶ τοῦ χρονικοῦ ἐπιρρήματος.

Εὐθύωρον· τὸ ἀναχώρησιν ἐποίησατο. εὐθυτάτην· σύντομον· παρὰ τὸ εὐθὺ καὶ τὸ ὥρα· οἷον αὐτῇ τῇ ὥρα.

Εὔθυνος· ὁ ὑπεύθυνος.

Εὔκαιρος· ὁ ἐπιτήδιος.

Εὐθυνία· παρὰ τὸ εὔθυνος· τοῦτο παρὰ τὸ ἐν μόριον καὶ τὸ θύω τὸ ὁρμῶ· ἢ παρὰ τὸ θάλλω.

Εὐθυνούντων. ἐκ τοῦ ἐνθυνῶ. τοῦτο ἐκ τοῦ ἐνθυνος. τοῦτο ἐκ τοῦ θάλλω τὸ αὐξάνω.

Εὐθυνία. τὸ ν̄ ἀντὶ τοῦ λ̄. ἐνθῦς τὸ χρονικόν. ἐνθῦ δὲ τὸ τοπικόν.

Εὐίλατος. παρὰ τὸ ἐν μόριον. καὶ τὸ ἵλατος. τοῦτο παρὰ τὸ ἵλημι τὸ συγχωρῶ. ἐξ οὗ καὶ τὸ ἵλαθι θεαφῦ. ἵλαμαι. ἵλασαι ἵλαται. καὶ ἐξ αὐτοῦ ἵλατος. καὶ εὐίλατος.

Εὐλή. εἰς τὸ εἰλέως.

Εὐλογία. παρὰ τὸ ἐυλογῶ. τοῦτο παρὰ τὸ ἔυλογος. τοῦτο παρὰ τὸ ἐυ μόριον καὶ λόγος. τὸ δὲ ἐυ παρὰ τὸ ἐύς ὅ σημαίνει τὸ ἀγαθόν. τὸ ὑδέτερον τὸ ἐῦ. καὶ κράσει ἐῦ. τὸ δὲ λόγος παρὰ τὸ θέλω. ἃ γὰρ θέλει τις. ταῦτα καὶ λαλεῖ.

Εὐλογῆσαι. εὐλογήσεις ἐυκτικῆς. εἰ γὰρ ἦν ἀπαρέμφατος περιεσπᾶτο ἄν.

Εὐθῦς καὶ ἐνθῦ. ὦς ὄνομα καὶ ὦς ἐπίρρημα ἐυρίσκεται. παρὰ τὸ ἐν μόριον καὶ τὸ θῦω. τὸ ὁρμῶ. ταὐτὸν οὖν τὸ θυῦω καὶ θῦω. παρὰ τὸ ἐν καὶ τὸ θῦω ἐυθῦω. ὁ μέλλων ἐνθῦσω. ἀποβολὴ τοῦ ω̄ ἐνθῦς. ὦς δῶσω. δῶς. τὸ δὲ ἐνθῦ σημαίνει

τὸ καλῶς ὁρμῶ. τουτέστιν ὀρθῶς. καὶ τὸ παράχρημα καὶ τὸ ταχύ.

Εὐθηλεῖα. ὡς τὸ γαλαθηνὸν ἀντὶ τοῦ γαλαθηλόν.

Εὐκολίνη. ἡ ἑκάτη κατὰ ἀντίφρασιν. οἱ-ονεὶ ἡ μὴ ἔχουσα εὐχερῆς. ἔχω δὲ τὴν χρῆσιν παρὰ Καλλιμάχω.

Χαῖρε ἐευκολῖνὴ — διὰ τοῦ ῑ. τῶ λό-γω τοῦ εὐηνινὴ.

Εὔκολον. εἰς τὸ δύσκολον.

Εὔκολος. ὁ ἰσχυρὸς τῆς ἡσυχίας. ἤγουν ὁ ἥσυχος. ἐκ τοῦ ἑκῶν τὸ θέλων.

Εὐκνημῖδες. παρὰ τὸ εὐμόριον καὶ τὸ κνημίς. τὸ δὲ κνημίς. ἐκ τοῦ κνήμη. κνῆμαι αἱ τῶν ποδῶν. ἐκ τοῦ κινῶ. κινή-σω. κινήμη. κνήμη κατὰ συγκοπήν. αἱ ποιοῦσαι ἡμᾶς κινεῖσθαι. αἱ δὲ τῶν χειρῶν ἐκ τοῦ κνῶ κνήσω ὁ δηλοῖ τὸ κνήθω. τὸ εὐμόριον. ὅταν συντεθῇ μεθ' ἑτέρας λέξεως ἐρχομένης ἀπὸ δυοσύμ-φωνων. ἢ ἀπὸ διπλοῦ ἐν διπλασιάσει ἀναγινώσκεται παρ' ὁμήρω. εὔκνημις. εὐκνημῖς. εὔξοον. εὔξοον κνημίς. τὸ μῆς μακρόν ἐστι. διότι τὰ εἰς ῑ θηλυκὰ δι-σύλλαβα ἐὰν ἔχωσι τὴν γενικὴν —

παραλήφουσαν μακράν ἐκτείνει τὸ ῑ.
κρηπῖς κρηπῖδος. σφραγῖς σφραγῖδος.
κνημῖς κνημῖδος.

Εὐκτήριον. παρὰ τὸ ἔυκτιστον. ἢ παρὰ
τὸ καλὸν τηρεῖν. ἢ εὐχῆς οἰκητήριον.

Εὐλογημένος. κεχαριτωμένος. εὐλόγησον.
κεχαρίτωσον.

Εὐκτῶς. ὑγιῶς. ἐυκτικῶς. παρὰ τὸ εὐχή
γίνεται εὔχω. εὔξω. ἤυξα καὶ ὁ παθητικὸς
παρακείμενος ἤγμαι. ἤυξαι. ἤυκται καὶ ἐξ
αὐτοῦ εὐκτὸς ὄνομα. καὶ τὸ τῆς μεσότητος
ἐπίρρημα εὐκτῶς ἀντὶ τοῦ εὐκταιῶς.

Ευλαὶ οἱ σκωληκες παρὰ τὸ ἐυλῆσθαι
ὅ ἐστι κινεῖσθαι τοῦ δὲ τόνω ὡς εὐναί.

Εὐμαθής. εἰς τὸ ἐυφυής.

Εὐμαῖος ὁ τοῦ ὀδυσσέως δοῦλος. ἀπὸ τῆς
πρὸς τὸν δεσπότην εὐνείας. φιλίπιος δὲ
ὁ δυσσέως δοῦλος ἀπὸ τῆς πρὸς αὐτὸν φιλί-
-ας.

Εὐμαρής. ὁ εὐχερής. καὶ ἔυκολος. παρὰ
τὸ μαίρω τὸ λάμπω. μαρής καὶ ἐυμαρής
ὁ ἔυληπτος.

Εὐμενής. ὁ πρᾶος. φίλιος. ὁ εὖ τισὶ κα-
-τὰ ψυχὴν διακείμενος ὅπερ ἐστὶ μένος.
ἀντικεῖται δὲ αὐτῷ τὸ δυσμενής.

Εὔμορφος. ἐυειδοῦς διαφέρει. ἔυμορφος

μὲν γάρ ἐστιν ὁ τὴν μορφὴν εὖ ἔχων· ἤτοι εὐπρόσωπος· καὶ γὰρ τὸ τὴν ὄψιν πως σχηματίζειν καὶ μορφάζειν λέγομεν· εὐειδὴς δὲ ὁ τὸ εἶδος καλὸν ἔχων· οἷον ἅπαν τὸ σῶμα.

Εὐμενίδες· ἐρινύες· ὅτι πεμφθεῖσαι κατὰ ἡρακλέους ἐπραϋθησαν.

Εὔνη· κοίτη· ἡ γυνή.

Εὐνή· κοίτη· μονή.

Εὖνις· ἐπιδεής· ὀρφανός· ἡ γυνή· καὶ ὁ εὔνουχος.

Εὖνις ὁ ἔρημος· ὁ ἐστερήμενος παρὰ τὴν ἑνὸς γενικήν· ἑνὶς καὶ πλεονασμῷ τοῦ υ εὖνις· οὕτως εὗρον ἐν τῷ περὶ παθ.

Εὔνουχος· ὁ ἄγαμος· παρὰ τὸ εὐνοῦ ἔχειν. ἢ παρὰ τὴν εὐνὴν καθαρὰν ἔχειν ἢ φυλάττειν· ἔχω γὰρ τὸ φυλάττω· ἢ παρὰ τὸ εἷς· ἑνὸς ἔνουχος· καὶ εὔνουχος· ὁ μόνος ἔχων καὶ μὴ μετ' ἄλλων συνεζευγμένος· εὔνουχος ὁ εὔνους.

Εὔνουχος· παρὰ τὴν εὐνὴν ἔχειν καὶ ἐπιμελεῖσθαι· ἔχειν γὰρ τὸ φυλάττειν· ὁ μέρος.

ὅς μοι κῆπον πολυδένδρεον —

ὁ δὲ εὔνουχος παρὰ τὸ εὔτονον νοῦν ἔχειν.

ἐκκεκριμένον τοῦ μίγκαλαι· καὶ τῶν ἀφροδισί-
:ων· ὥσπερ Κλυναῖοι ἀνόητα ἐκάλουν.

Εὐνάς· τὰς ἀγκύρας· παρὰ τὸ ὠναίζειν καὶ
ποιεῖν τὴν γαῦν χαλᾶσαι εἰς τὸ ὕδωρ καὶ ἐὐνή 3 significat
ἵσασαι· τρία δὲ δύναται ἡ λέξις· παρὰ
τῶ ποιητῆ· τὴν κοίτην ὡς ὅταν λέγῃ
ἐὐνῇ ἐνὶ μαλακῇ· —— τὴν ἀγκύρων
ὧν καὶ
ἐκ δ' ὠνὰς ἔβαλον —— τὴν διατριβήν
ὡς τὸ ὅτι φαδίν
—— τυφλὸς ἐμμεναι ἠύνας·

Εὐναίζω τὸ κοιταίζω·

Εὖνις ὁ χῆρος· καὶ ἄρσην· ὁ ἔστιν ὠναζό-
:μενος· ἐξ οὗ τὸ ἀδυνάζοντα· ἢ παρὰ τὸ
ἑνὸς γίνεται ὦνις ὁ μεμονωμένος·

Εὔξεινος· ὁ ἐν δοτέρῳ τῷ πόντῳ· ἀπὸ τῶ
ξένος γίνεται ξαῖνος· κατὰ πλεονασμὸν τοῦ
Ι· καὶ καὶ κατὰ διωλυθὲν ὠξαινος ὁ ὦ καὶ
καλῶς τοὺς ξένους δεχόμενος

Ἐὔξοον· καλῶς κατεσκευασμένον· ὄνομα ἐκ
τοῦ ξέω· καὶ μετὰ τοῦ ἐὺ μορίου ἐύξοον
ἀναβιβάζει δὲ τὸν τόνον· τὰ εἰς ος ὀνό-
:ματα ἔχοντα τὸ ἐὺ μόριον κατ' ἀρχὴν ἅπαντα
προπαροξύνονται· οἷον ἐύμηνος· εὐθκοπος·
χωρὶς τῶν παρὰ τὸ ἔγον δοκιμασθέντων·
οἷον ὠκυεργός

Εἶτα κατ' αἶχος ἔχων ἀμυκτῆρι γναμψὶ·
καὶ εἰ κἀκεργὸς ἐὼν —

Εὔξω. εἰς τὸ ἐυκτῶς.

Εὐπορεῖν πλουτεῖν. ἀπὸ τοῦ πείρω γέγο-
-νε περῶ καὶ ἐξ αὐτοῦ πόρος καὶ πορίζω.
πάτειρα καὶ εἰς τὸ ὀλβιόδαιμον. ~~πάτειρα~~ διὰ τῆς
ει διφθόγγου. τῶ λόγω τῶν διὰ τοῦ εἰρα
προπαροξυνομένων.

Εὐπινής. ἐυειδής. πίνος γὰρ τὸ εἶδος.

Εὐνοῦχοι οἱ τὴν ἐυνὴν ἔχοντες καθαράν.
ὡς γεοῦχοι. ἐυνοῦχους δὲ Σοφοκλῆς καὶ τοὺς
β ὀφθαλμοὺς τοῦ ἐυνεῖς καὶ ὑπνοῦ μὴ μεταχόν-
-τας. τουτέστι τηροῦντας.

~~ἐκ~~ ὅπῃ λαμπάδες ἐυνύχοισιν ὄμμασιν.

Εὐράξ. πλευρὰς καὶ εἰς τὸ ὑπόδρα.

Εὑρεῖν. καὶ ἑυρᾶσθαι διαφέρει. ἑυρεῖν μὲν
γὰρ ἐν τῇ συνηθείᾳ. ἑυρᾶσθαι δὲ οἷον πορί-
-σασθαι.

Εὐρεία. διὰ τῆς ει διφθόγγου. ἑυρηται
γὰρ χωρὶς τοῦ ι ἑυρεά.

Εὑρέμεν. εὗρον τὸ ἀπαρέμφατον ἑυρεῖν.
καὶ οἱ ἰώνες καὶ οἱ ποιηταὶ διαιροῦσιν εἰς
ἐμεν.

Εὗρε. ῥῆμα ἀόριστος δεύτερος τρίτου προ-
-σώπου τῶν ἑνικῶν. ὁ γὰρ ἐνεστῶς οὐκ
ἐστι ῥητὸς ἀλλ' ὑπομνήσεως τοῦ μέλλοντος.
καὶ παρακείμενος λέγεται καὶ ὁ ἐνεστῶς.
ἐπεὶ οὐκ ἐστι ῥητός. καὶ οὐδὲ τοῦ ἐω τὸ

ὑπάρχω ἐστὶ ῥητὸς ὁ ἐνεστῶς. ἀλλ' ὑπομ-
-νήσεως ὡς εἴπομεν τοῦ ἦν δευτέρου ἀορίστου
ἐνεστῶτος καὶ τοῦ ἔω τοῦ ὑποτακτικοῦ.
καὶ ἐπινοεῖται ὁ ἐνεστῶς τοῦ ἀορίστου δευ-
-τέρου καὶ τῶν ἀορίστων δευτέρων ὑπο-
-τακτικῶν

ὄφρα μὴ οἷος ἀργείων ἀγέραστος ἔω —
οὕτως ἐστὶ καὶ τὸ ὑπόλοιπον.

Εὔριζον. καλόροιζον. παρὰ τοῦ εὖ μόριον
καὶ τὸ ῥίζα.

Εὔριζα. καλὰς ῥίζας. ἢ εὐθεῖα. εὔριζον. καὶ
γίνεται παρὰ τὸ εὖ μόριον καὶ τὸ ῥίζα. τοῦτο
παρὰ τὸ ἴζω τὸ καθέζομαι. ἴζα καὶ ῥίζα. ἢ
παρὰ τὸ ῥέειν. δι' αὐτῆς τὸ ζῆν

Ἐριπίδης. παρὰ τὸ εὔριπος γέγονε.

β Εὐριπίδης. διὰ τοῦ ῑ. ὁ δὲ λόγος. περὶ τῆς
ῥῑ συλλαβῆς. ἢ γὰρ περὶ συλλαβή.. βραχεῖα
ἐστι. διὰ τοῦ ῑ δὲ γράφεται. ἐπειδὴ παρὰ
τὸν εὔριπον φασὶ γενηθῆναι αὐτόν

Εὔριπος. παρὰ τὸ ῥιπίζω γέγονεν.

Εὔριπος. οἱονεὶ ὁ εὐχερῶς ῥιπιζόμενος καὶ
ἐπιφερόμενος. ἐστὶ δὲ πέλαγος στενὸν μεταξὺ
τῆς Ἀττικῆς καὶ Εὐβοίας. ὅπερ ἑπτάκις καθ'
ἡμέραν ἐναλλάττει τὴν ἰδίαν κίνησιν καὶ
πάντῃ ἐναντίως τῇ κινήσει τοῦ ἀνέμου

Aristotelis mors.

κινεῖται. ἐκεῖ δὲ ἐτελεύτησεν ὁ Ἀριστοτέ-
-λης. ἐλθὼν γὰρ ἐκεῖ καὶ μὴ εὑρηκὼς
τὴν αἰτίαν τῆς τοιαυτῆς κινήσεως ὀλιγο-
ψυχήσας ἀπέθανεν.

Εὖρος ὁ ἄνεμος διὰ τὸ πλατύ· εὖρος
γὰρ πλάτος ἐστὶν· ἢ παρὰ τὸ ἔω· τὸ
πορεύομαι· τὸ πορευόμενον εἰς πλάτος.
ἢ παρὰ τὸ εὐρύ καὶ σφυδρὼς τοῦ πνεύμα-
-τος.

Εὖρος ἐκ τοῦ πλάτους πνεῖ τοῦ κύκλου

Εὔριπος· διὰ τοῦ ῑ· παρὰ γὰρ τὸ ῥιπίζω.
εὔριπος· οἱονεὶ ὁ εὐχερῶς ῥιπιζόμενος,
καὶ ἐπιφερόμενος· ἢ παρὰ τὸ εὐρύ. εὔρι-
-πος· τροπῇ τοῦ υ. εἰς ῑ· οἱονεὶ ὁ πλα-
-τὺς κατὰ ἀντίφρασιν ὁ μὴ ὢν πλατύς.
καὶ γὰρ ὁ εὔριπος πέλαγος στενόν ἐστι με-
-ταξὺ τῆς Εὐβοίας καὶ τῆς Ἀττικῆς. ὅπερ
ἑπτάκις καθ' ἡμέραν μεταλάττει τὴν ἰδίαν
κίνησιν· τὰ λοιπὰ ἔγραφ.

Εὔριπος λέγεται ὁ πορθμὸς ὁ μεταξὺ τῆς
Ἀττικῆς καὶ τῆς Εὐβοίας· παρὰ τὸ εὐρίπιστον
καὶ ἀβούλευτον· ἐκ τοῦ μὴ ἔχειν βάθος ὑδάτων.
ἢ πέλαγος στενόν· ἢ τόπος ὑδατώδης μεταξὺ
δύο γαίων.

Εὐρώπη· ἀπὸ τοῦ ἄσσον εἶναι τοῖς ἀπ' εὐρώ-
-πην ἰούσιν· εὐρώπη δὲ ἀπὸ τοῦ εὔρους ὠνομάσθη.
ἐστὶν δὲ χώρα τοῦ ὀδυσσεώς.

Εὐρόνοπος· ὅτι μέσον εὔρου·

Εὔρυχρος· παρὰ τὸ εὐρὺ καὶ τὸ χῶρος· τὸ δὲ εὔρυος παρὰ τὸ εὖ μόριον· καὶ τὸ ῥύω τὸ ὁρμῶ· τὸ δὲ χῶρος παρὰ τὸ χῶ· το χωρῶ·

Εὐρόπεια· τῶ λόγω τῶν διὰ τοῦ εῖα προπαροξυτόνων· δευτέρω δέ· ὅτι τὰ διὰ τοῦ εῖα θηλυκά· ἐπὶ τοῦ αὐτοῦ σημαινομένου διὰ τῆς ει διφθόγγου γράφεται· οἷον ἡριγενής· ἡριγένεια· ἱπποδαβής· ἱπποδάβεια·

Εὐβέβεια· τῶ λόγω τῶν διὰ τοῦ εῖα προπαροξυτόνων·

Εὐρώπη ὄνομα κύριον· θυγατρὸς τοῦ ἀγήνωρος· ἀφ' ἧς ὁ ἀγήνωρ βασιλεύσας τῆς θράκης προσηγόρευσεν ἐκεῖ τὴν χώραν εὔροπον· καὶ ἐκεῖνα τὰ μέρη εἰς ὄνομα αὐτῆς εὐρώπια λέγεται δὲ ταύτην ὑπερβάλλουσαν·

Εὕροσαν· ἔστιν εὕρω· εὑρήσω· ὁ δεύτερος ἀόριστος εὗρον· καὶ τὸ τρίτον εὗρον· καὶ κατὰ διάλεκτον εὕροσαν·

Εὐρὺ τὸ πλατὺ παρὰ τὸ εὕδω ὅ ἐστι κοιμηθῆναι· πλάτος γὰρ χρήζει διὰ τὸ περιστρέφεσθαι ὁμοιώμενος·

Εὐρωτιῶν. ἐκ τοῦ ἐρῶς ἐρῶτος. ἐρῶστος
ἐκ τοῦ ῥῶ τὸ ὑγιαίνω.

Εὐρυάγυιαν. πλατείαν. μεγάλην.
ἔρυς ἐστὶ παρασώθετον παρὰ τὸ ἔρος.
τοῦτο παρὰ τὸ ἐρεῖνό ἐστι εὐκόλως
φέρεσθαι.

Εὖς ὁ ἀγαθός. παρὰ τὸ ἔω τὸ ὑπάρχω.
εὖς. ὦς ἥδω. ἥδυς. οὕτως ἡ γενικὴ
ἑέος. καὶ τὸ θηλυκὸν ἐή. ἐξ οὗ
——— δοτῆρες ἐάων
ὦς πύλαι πυλαχ. καὶ εἰς τὸ ἐνεργέτης.

Εὖς πάις. ἰδίωμα. Αἰολικὸν τὸ ἐὺς
καὶ τὸ παῖς. κατὰ διαίρεσιν ἐκφω:
:νούμενα. ἀλλ' οὐ κατὰ κρᾶσιν. τὸ
γὰρ ἐὺς. εὖς. καὶ τὸ πάϊς παῖς.
καὶ σημαίνει ὁ ἀγαθὸς παῖς.

Εὐσεβής. εἰς τὸ δίκαιος.

Εὐρωτιῶν. τὰ σάπαντα. ἔστιν. αὖρα
ἥνωτίς. καὶ ἐξ αὐτοῦ αὖρος καὶ τροπῇ
τοῦ α. εἰς ε. ἔρως ἐρῶτος: ἐρωτιῶ.
καὶ τὸν ἐρωτιόντα σῖτον. ὅμηρος.

Εὐσέλμοιο. εὐκαθέδρου, σέλματα γὰρ
αἱ ναυτικαὶ καθέδραι. ὄνομα σώθετον
εὔσελμος ἐκ τοῦ εὐμορίου καὶ τοῦ σέλμα.

ἢ τῶν ἐρεσσόντων καθέδρα. ὡς ἀπὸ τοῦ ἔρεισμα γίνεται σελλίς καὶ σημαί-νει τὴν καθέδραν. ἐξ αὐτοῦ σέλλα. ἢ γενικὴ σελλίδος. καὶ ἐξ αὐτοῦ ῥῆμα σε-λίζω. καὶ κατὰ παραγωγὴν σέλισμα. καὶ συγκοπῇ σέλμα. καὶ τροπῇ τοῦ ᾱ. εἰς ὃς ὡς σχῆμα ἔσχημος. σέλμα ἔσελμος. καὶ διαλύσει τῆς ευ διφθόγγου εἰς τὴν οι δίφθογγον. εὐσέλμοιο.

Εὐθὺς. καὶ ἐνθὺ καὶ ἐνθὲς διαφέρει. ἐνθεῖα ὁδός. ἢ βακτηρία. ἐνθὺς ἐὰν ἄρρεν. ὁ καλ. ἐὰν δὲ οὐδέτερον. ἐνθὺ τὸ ξύλον. οἱ γὰρ ἀρχαῖοι ἐνίοτε τὸ ἐνθὺ ἐτίθεσαν. τὸ ἐφ' ὁδοῦ τῆς τεινου-σης ἐπὶ τοῦ τόπου. οἷον ἐνθὺ τῆς στοᾶς. ἐνθὺ τῶν ἀρωμάτων. τὸ δὲ κατὰ τοὺς χρόνους ἐνθὺς ἦν τὰ ἄνω. οὐ λέγεται ἄλλως.

Εὐστάθεια. ἢ καρτερία καὶ παγιότης.

Εὔσπλαγχνος. παρὰ τὸ ἐν μόριον. ὃ ση-μαίνει τὸ καλὸν καὶ τὸ σπλάγχνον γίνε-ται ἔσπλαγχνος. σπλάγχνα δὲ διὰ τὸ πλησίον ἀλλήλων ὑπάρχειν. σπλάγχνον δὲ ἐτυμολογεῖται. οἱονεὶ πέλαγχνα. ἢ διὰ τὸ σπᾶν τὴν τροφήν.

Εὐστραφὴς τινὰ ὄντα εἰς ἐπιστροφήν.

Εὐτ' ἀν· ὁπόταν· δυο μέρη λόγου ἔυτε
ἐπίρρημα χρόνου δηλωτικόν· καὶ ἀν
συνδεσμος· καὶ γίνεται οὕτως· ὁ μὲν
Ἀπολλώνιος λέγει· ὅτι ἐκ τοῦ ὅτι ἐστί·
πλεονασμῶ τοῦ οὔτε· καὶ μεταθέσει τοῦ
ο· εἰς ε· γίνεται ἔυτε· ὁ δὲ Ἡρωδιανός
ὅτι ἐκ τοῦ ὅτε ἐστι πλεονασμῶ τοῦ
εο· εἰς τὴν ει δωρικῶς· γίνεται ἔυτε
ὅμηρος·

Εὐτείχιον· καλῶς τετειχισμένον· τὰ
εἰς ος ἀπὸ οὐδετέρων συνθετα ἀπὸ
εὐθείας συντίθεται· οἷον ξίφος· ῥίγος·
διόριγος· πλὴν τοῦ εὐτείχεος ἀπὸ
γενικῆς συνθέτου· ὤφειλε δὲ ἦ συνθε-
σις· ἀπὸ εὐθείας εἶναι· ἐγένετο δὲ
ἀπὸ γενικῆς διὰ τὸν κανόνα· γίνεται
δὲ ἐκ τοῦ τεῖχος τείχεος· καὶ κατὰ τοῦ
εὖ μορίου εὐτείχεος· καὶ εὐτείχιον·

Εὐτελὴς· ταπεινός· παρὰ τὸ εὖ
μόριον καὶ τὸ τέλος· τὸ δὲ εὖ μόριον
πολλάκις ἀντὶ στερητικοῦ α τίθεται·

Εὐτελὴς· τὸ τέλος πολλὰ σημαίνει
καὶ τὴν δαπάνην ἀφ' οὗ τὴν πολυτείαν
φῆ· καὶ εὐτελεῖς τινας τοὺς μὴ ἐπὶ
πολυ χαίροντας ταῖς δαπάναις καὶ τὸ
τελωνικὸν τέλος· συνθετον λε:

Εὖσαι τὸ χοιρίδιον. οἱ οὕτω λέγοντες. ἁμαρτάνουσι. δεῖ γὰρ θῦσαι λέγειν. καὶ παρ' ὁμήρῳ. εἰ δὲ καλῶς γέγραπτο

— σίαλούς τε ἔνοντας ἐν αὐλῇ

Εὐτραπελεία. ἡ ἀναισχυντία. καὶ ὕβρις παρὰ τὸ ἐντρέπεσθαι τὸν λόγον.

Ἐντραπελία. μορολογία. κουφότης. ἀ:παιδευσία. γέγονε δὲ ἀπὸ τοῦ στρέφω ῥήματος. ἢ τρέπω. οἱονεὶ ἐνέστρεπτος καὶ ἐντράπελος καὶ ἐντραπελῶ. ὡς φιλό:σοφος. φιλοσοφῶ. καὶ ἐξ αὐτοῦ ἐντραπε:λεῖα. καὶ εἰς τὸ κωμμα.

Εὔτυκτον. καλῶς κατεσκευασμένον ἐκ τοῦ τεύχω. τὸ κατασκευάζω. τέτευχα. τέτευγμαι. τέτευκται. ἀποβολῇ τοῦ ε τέτυκται. ὄνομα ῥηματικὸν τυκτός. καὶ μετὰ τοῦ ὦ μορίου. ἔντυκτος ὁ κατ'. τὰ εἰς ος σύνθετα κοινὰ εἰσι τῶν γένει. καὶ ὁμοφωνοῦσι τὰ θηλυκὰ τοῖς ἀρσε:νικοῖς.

Εὐφραίνειν. τὸ μετὰ ὠφελείας ψυχαγω:γεῖν.

Εὐτυχής. εἰς τὸ ὀλβιόδαιμον.

Εὔφρανεν. εἰς τὸ ἠύφρανεν.

Εὐφρόνη ἡ νὺξ παρὰ τὸ ἐνφρονεῖν ἐν αὐτῇ. ὡς Μένανδρος ἐν νυκτίβουλῇ. ὅπερ ἅπασι γίνεται διδοῦς ἐν αὐτῷ.

Εὐφυής. καὶ εὐμαθής. διαφέρει. εὐφυὴς μὲν γὰρ παρὰ Ἀττικοῖς λέγεται ὁ προκοπτικός. εὐμαθὴς δὲ ὁ εἰς μάθησιν ταχὺς. τὸν πρὸς μάθησιν. εὐπεφυκότα.

Εὐχερῶς. εὐκόλως. ῥᾳδίως. ὥσπερ ἐκ τοῦ ἐναντίου. δυσχερῆς. παρὰ τὸ δυς μόριον. καὶ τὸ χεῖρ. χειρός. γίνεται εὐχερῆς. τὸ μετ' εὐκολίας καὶ χωρὶς κόπου τῇ χειρὶ λαμβάνειν καὶ ἐπιθυμεῖν.

Εὐχή. διὰ τὸ εὐχεῖν ἤγουν καλεῖν.

Εὐχὴ καὶ προσευχή. διαφέρει. εὐχὴ λέγεται εὐαγγελία τινῶν τῶν κατ' εὐσεβείαν ἀφιερωμένων θεῷ. προσευχὴ δὲ δέησις μετὰ ἱκετηρίας τῷ θεῷ προσαγωμένη.

Εὐρόνοιτος. ὅτι μέσος εὔρου καὶ νότου ἐπί.

Εὐχωλή. παρὰ τὸ εὔχω. εὐχολή. παύσω παυσωλή. τέρπω. τερπωλή.

Εὐχή. παρὰ εὖ ἔχειν. ἢ τοῦ εὖ ἔχειν αἴτησις. ἤγουν καλῶς. τὸ γὰρ εὖ μωρίον ἀεὶ καὶ διὰ παντὸς ἀντὶ καλοῦ παραλαμβάνεται. πλὴν τοῦ εὐώνυμος.

Εὐχὴ καὶ προσευχὴ διαφέρει. εὐχὴ σημαίνει τὸ λεγόμενον ἁπλῶς. ὡς τὸ

Εὔχετο δ' ἐξ Ἰθάκης γένος ἔμμεναι. —
τὸ καυχῶμαι. ὃς τὸ ὃς μὲν ἔβαλε φθάμενος.
καὶ ἐπεύχεται σημαίνει τὸ εὔχομαι καὶ
ἱκετεύω. ὡς τὸ

Εὔχετο δ' Ἀπόλλωνι ἄνακτι Λυκηγενεῖ κλυτοτόξῳ.

Εὐχωλής. παραγωγῆς ὁ τρόπος. παρὰ τὸ
εὔχομαι. εὐχολή. ὥσπερ παύσω παυσω:
:λή.

Εὔχομαι καὶ ἐπεύχομαι διαφέρει. ἀντὶ
τῆς πρὸς. ὡς καὶ τὸ ἐπὶ ὅρκων ἀντὶ
τοῦ ὑπεράνω τὴν διανοίαν ἔχειν. καὶ
τὸ ἐπευχόμενος ἀντὶ τοῦ προσευχόμενος.
καὶ ἐπὶ γούνασιν ἀντὶ τοῦ προσευχό:
:μενος. καὶ ἐπὶ γούνασιν ἀντὶ τοῦ πρὸς
τοῖς γόνασιν. ἢ πρὸς τὰ γώνατα. ὁ
δὲ Ἡρωδιανὸς ὅτι ἴσως ἐκ τοῦ ἔχω πε:
:ποίηται. κατὰ πλεονασμὸν τοῦ υ. οἱ
γὰρ εὐχόμενοι ἐβιοῦσιν ἔχειν ὧν βού:
:λονται. τὸ ἐνεργητικὸν δὲ οὐκ ἔστι.
τότε γὰρ ἀπολιμπάνουσι τάτε ἐνεργη:
:τικὰ τάτε παθητικά. ἐν ὡρήματι
ἐναντίως ἔχειν. τὸ σημαινόμενον τοῦ
τῆς φωνῆς χαρακτῆρι. οἷον ῥίγω.
κάμνω. πυρέσσω. φρίσσω. πάσχω. ὁμοί:
:ως ἄλλομαι. εὔχομαι. ἱππάζομαι. φείδο:
:μαι. τύπον μὲν ἔχει παθητικοῦ, σημαι:
:νομένω δὲ ἐνεργητικοῦ.

Εὖχος. καύχημα. δόξα. ἐκ τοῦ αὐχῶ. ὅ σημαίνει τὸ μεγαλαυχῶ. καὶ καυχῶμαι. αὖχος. καὶ τροπῇ τοῦ ᾱ. εἰς ε̄. εὖχος. ἀντὶ τοῦ καύχημα. ἢ ἀπὸ τοῦ εὐχῇ ὅ σημαίνει τὴν καύχησιν. τοῦτο δὲ παρὰ τὸ εὔχομαι. τοῦτο παρὰ τὸ εὐχή. τοῦτο παρὰ τὸ εὖ ἔχειν.

Εὐώδης ὅ εὔοσμος. ἐκ τοῦ ἀώ. τὸ πνέω. ἀής. καὶ εὐαής. καὶ ἐξ αὐτοῦ εὐάνδης. καὶ κράσει εὐώδης. ἢ τὰ διὰ τοῦ ω̄ δυσμετουσιαστικὰ διὰ τοῦ ω̄ μεγάλου γράφονται. χωρὶς τῶν παρὰ τὸ πούς. οἷον τριπόδης. τετραπόδης.

Εὐώνυμος. ἢ χεῖρ. κατὰ ἀντίφρασιν ὡς καὶ τὸ ἀριστερὰ παρὰ τὸ ἄριστος.

Εὐωχία. εὐωλίας. ἤγουν παρὰ τὸ εὖ ἔχειν. ὅτε ἐπὶ τὰς τῶν θεῶν παράγον:ται τιμάς. βέλτιον δὲ ἀπὸ τοῦ τρο:φὴν ἡμῖν ἔχειν. καὶ γὰρ ἢ παραγωγή. ὅτι πολλὴ ὀχὴ πρόκειται. κατ' ὑπαύξη:σιν τοῦ ο̄. εἰς ω̄ εὐωχία.

Εὐδμητον. εὔτυκτον.

Εὖ. ὅ σημαίνει τὸ καλῶς.

——— εὖ δ' οἰκάδ' ἱκέσθαι.

παρὰ τὸ εὖς θεράπων εὖς ἰδομενῆος. ὡς γὰρ ἀπὸ τοῦ ταχὺς ἐπίρρημα ταχύ. καὶ ὄνομα τὸ ταχὺ παιδίον.

ὣς ἑωρδς. ἑωρδ

ὥστε ἑωρύ ῥέειν πυλίων διὰ γαίης.

οὕτως καὶ ἐῦς. ἐῦ. καὶ ἐν σωαιρέσει ἐῦ.

καὶ ὤφειλε κατὰ τὸν λόγον τῆς σωαι:

:ρέσεως ὀξύνεσθαι. ὅτι ἡ βαρεία εἰς ὀξεί:

:αν καὶ οὐχὶ εἰς περισπωμένην κεδίστα:

:ται. περισπᾶται δὲ κατὰ τοῦτον τὸν

λόγον. καθ' ὃν πᾶσα δίφθογγος μετὰ

τοῦ υ ἐπὶ τέλους κειμένη ἐφ' ἑαυτῆς

ἔχουσα τὸν τόνον περισπᾶται. σεσυ:

:μείωται τρία. τὸ ἰδοῦ. ἰοῦ. οὐ. χρῆω.

χρόνου παρατατικοῦ καὶ οὐχὶ ἐπίρ:

:ρημα.

Ἐφάμιλλος. ὁ σωαγωνιζόμενος. εἰς

τὴν ἅμιλλαν ἐξίσου.

Ἔφαν. εἶπον. οἱ Βοιωτοὶ ἐπὶ τῶν

μὴ ἐχόντων τὴν μετοχὴν εἰς σ ὀξύ:

:τονον. ἔβημεν. οὕτως ἔφαν. ἐκ τοῦ

φημί. ὁ παρατατικὸς ἔφην. τὸ πλη:

:θυντικὸν ἔφαμεν. ἀλλ' ἐπὶ τῶν παρα

τατικῶν τῶν εἰς μι τὸ τρίτον ἔφασαν.

βοιωτικῶς ἔφαν

Ἔφανεν. εἰς τὸ ἐξέφηναν.

Ἐφάνθησας. εἰς τὸ φάανθεν.

Ἔφασκον. ἔλεγον παρατατικὸς τὸ θέμα

φάσκω. γέγονε δὲ παρὰ τὸ φω. τὸ λέγω.

ἐξ οὗ καὶ φημί. οὗ ὁ μέλλων φάσω.

καὶ κατὰ πλεονασμὸν τοῦ κ φάσκω.

Ἔφη. ἀπὸ τοῦ φημί ἀορίστου δευτέρου

Ἐφημένον. ἐντεταλμένον. προτεταγ-
-μένον. ἀπὸ τοῦ ἐφίημι. ὁ μέλλων ἐφή-
-σω. ὁ παρακείμενος ἐφῆκα. ὁ παθη-
-τικὸς ἐφῆμαι. ἡ μετοχὴ ἐφειμένος.
τὸ οὐδέτερον ἐφειμένον.

Ἐφῆντο. ἐῶ ἐστι ῥῆμα καὶ σημαίνει τὸ
κορεννύω. ἐπεὶ κεῶμεν πολέμοιο.
ἀντὶ τοῦ κορεσθῶμεν. καὶ ἐξ αὐτοῦ παρά-
γωγον ἔημι. ὁ παθητικὸς ἐνεστῶς. ἔεμαι.
καὶ κράσει εἶμαι. καὶ ὁ παρατατικὸς
εἴμην. καὶ τὸ τρίτον τῶν πληθυντικῶν
εἶντο. καὶ μετὰ τῆς ἐπὶ προθέσεως.
ἐφεῖντο. ἀντὶ τοῦ ἀπολαύουσιν. ἐπεὶ
οὐκ εἶχον οὐδὲν τοῦ ἐφεῖντο.

Ἐφέστιος. ἔνοικος. πολίτης. αὐτόχθων
τὸ τί ῑ. τὰ διὰ τοῦ ῑος ἐπίθετα.
καλ.
ἢ καὶ ἀπὸ τόπου λαμβανόμενα. διὰ τοῦ
ῑ γράφεται. ἢ ἀπὸ τοῦ ἑστία. τοῦτο δὲ
ὅτι διὰ τοῦ ῑ ἀπαροξύτονα θηλυκά,
διὰ τοῦ ῑ γράφεται δασύνεται. τὸ ε
ἐπιφερομένου τοῦ σ, ὦ ὑποτέτακται
ἀντίστοιχον. ψιλοῦται.

ἔσχατος. δασύνεται. ἑστῶς
ἦν δὲ ὁ πέτρος ἑστῶς καὶ θερμαινόμενος.

Ἑπόμεθα. καὶ ἑστία. καὶ ἕστιος. καὶ ἐφέστιος. καὶ ποῖα εἰσὶ τὰ ἀντίστοιχα. τὰ ψιλά. καὶ τὰ δασέα.

Ἐφέτης. ὁ δικαστής.

Ἐφέσις. ἡ ἀπὸ τοῦ ἐλάττονος. ἐπὶ τὸ μεῖζον δικαστήριον. φυγὴ δὲ μετάθεσις. καλεῖται δὲ καὶ ἔγκλητος. καὶ παρὰ τὸ ἐγκαλεῖσθαι καὶ παραιτεῖσθαι καὶ φεύγειν τὸ πρῶτον καὶ ἔλαττον δικαστήριον.

Ἐφετμέων. τουτέστιν ἐντολῶν. ἐπὶ δὲ γενικῆ τῶν πληθυντικῶν. κατὰ πλεονασμὸν τοῦ ε̄. κλίνεται δὲ οὕτως. ἡ ἐφετμή. τῆς ἐφετμῆς. ἡ γενικὴ τῶν πληθυντικῶν ἐφετμῶν. καὶ κατὰ πλεονασμὸν τοῦ ε̄. ἐφετμέων.

Ἐφετμή. ἐντολή. νουθεσία. ἐπιστολή. πρόσταγμα. παρὰ τὸ εἰμὶ ἔσω. καὶ ὄνομα ῥηματικὸν ἐτμή. καὶ ἐν συνθέσει ἐφετμή.

Ἔφηβος. εἰς τὸ γερῶν.

Ἐφόλκιον. πλοιάριον. πηδάλιον ἀπὸ τοῦ ἐφέλκεσθαι τὴν ναῦν. ἡ ἐφέλκεσθαι ἀπὸ τῆς νεώς.

Ἐφημέροις. διὰ τὸ ἐν μετάβλητον πρὸς τὴν ἑκάστην ἡμέραν κατάστασιν. καὶ ὅμηρος.

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.

Ἐφυνεν· εἰς τὸ ἐξ ἐφυνεν.

Ἐφῆπται· ἐπικρέμαται· παρὰ τὸ ἅπτω τὸ ἀρτῶ.

Ἐῆμμαι· ἧψαι· ἧπται καὶ ἐφῆπται.

Ἐφιάλτην· τὸν ἐν διάθετον καὶ ἐκ φύσεως παρεπόμενον λόγον τοῖς ἀνθρώποις· ἢ τὸν ἐφαλλόμενον ἄνθρωπον ἀτάκτως· ἔστι δὲ μετοχή· ἐστι δὲ ὄνομα κύριον καὶ ὁ ἀγαθὸς δαίμων.

Ἐφιείς· ἐπιπέμπων· μετοχὴ ἐνεστῶτος· ἀπὸ τοῦ ἵημι· ἵεις· ἱέντος· καὶ συνθέσει ἀφιείς· καὶ διείς.

Ἐφίεσθαι· ἐκ τοῦ ἵημι· τὸ παθητικὸν ἵεμαι· τὸ δεύτερον ἵεσαι· τὸ τρίτον ἵεται· τὸ ἀπαρέμφατον ἀφίεσθαι.

Ἐφίκεσθαι· ἐκ τοῦ ἵκω· ἵκεσθαι· τὸ καταλαβεῖν· ἐξ οὗ ἐφικτὸν καὶ ἀνέφικτον· καὶ δυσέφικτον.

Ἐφίζον· τὸ καθίζον· μετοχὴ οὐδετέρου· τὸ θέμα ἵζω τὸ σημαῖνον τὸ καθέζομαι· καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπίζω καὶ ἐφίζω· ἢ μετοχὴ ἐφίζων· ἐφίζοντος καὶ τὸ οὐδέτερον ἔφιζον· τὸ δὲ ἵζω ἀπὸ τοῦ ἕω· τὸ καθέζομαι.

Ἐφύχθη· ῥῆμα παθητικὸν ἀορίστου

δευτέρου· ὁ παθητικὸς παρακείμενος πέφευγμαι· πέφυκται ποιητικῶς· καὶ ἡ μετοχὴ πεφευγμένος· πεφυγμένοι κατὰ συστολήν· ἡ μετοχὴ ὁ πεφευγὼς τοῦ πεφευγότος· ἡ αἰτιατικὴ· τὸν πεφευγότα·

Ἐφύμνια· οἱ ὕμνοι· οἱ μετ' ὀργάνων καὶ τέχνης ἀδόμενοι· ἐκ τοῦ ἐφύμνιος· τοῦτο δὲ παρὰ τὸ ὕμνος· ὕμνιος· καὶ ἐφύμνιος· τὸ δὲ ὕμνος· παρὰ τὸ ὑπομένω ὑπομονός τις ὤν· καὶ ὕμνος τὸ μνι· ι· διατί· τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ειος· ἐπὶ τῷ αὐτοῦ συμαινομένου παρυγμένα· εἰ μὲν βαρύνεται, διὰ τοῦ ι γράφεται· οἷον κάπρος· κάπριος· ὕμνος ὕμνιος· εἰ δὲ ὀξύνεται διὰ τῆς ει διφθόγγου· οἷον ἀρνὸς ἀρνειός· θαμβὸς θαμβειός· ἀδελφὸς· ἀδελφειός· εἰ δὲ προπαροξύνεται διὰ τοῦ ι γράφεται· οἷον Αἴτωλος, Αἰτώλειος

Τοῖος ἔην Τυδεὺς Αἰτώλιος —

ὀρθὸς· ὄρθιος· βοιωτὸς· βοιότιος·

Ἔφθον· ὀπτὸν μὲν ἐστι τὸ ἐμμέσως τῶ πυρὶ ὁμιλοῦν· ἔφθον δὲ τὸ . . αὐτὸ ἐψισμένον·

Ἐχθές. ἐπίρρημα. καιρου δηλωτικόν.
παρατατικόν γίνεται δὲ παρὰ τὸ ἐκτός.
ἐκτὸς δὲ εἴρηται. ὁ παρελήλυθος χρό-
-νος. ἐκτὲς ὅμω καὶ ἐχθές. ἢ παρὰ
τὸ ἐκθέω τὸ τρέχω. ἐκθές. καὶ ἐχ-
-θές καὶ ἢ ἐνθεῦσαβα. καὶ παρελθου-
-σα ἡμέρα. ἢ παρὰ τὸ ἐκθεῖν ὅ ἐστι
παραδραμεῖν. τοῦτου χάριν καὶ ἔστιν
ἀναλογώτερον τὸ ἐχθὲς τοῦ χθές.

Ἐχέτλη. τὸ κράτημα τοῦ ἀρώτρου.
παρὰ τὸ ἔχω τὸ κρατῶ. καὶ τὸ τρῶ
τὸ βαστάζω.

Ἐχθὲς ὁ Ἀπολλώνιος. παρὰ τὸ ἐκτὸς
τοῦ χρονου γεγονὸς κατάστημα ἐκτὲς
εἶτα τῶν φιλῶν εἰς δαβέα με τα πεβόν-
-των ἐχθές. τὸ γὰρ ἀπόβλητον, καὶ
ἐκτὸς ἡμῶν.

Ἐχέγγυος. τὸ ἐγγύημα. ἤτοι ἔχων
ἐγγυήν.

Ἐχθήρων. ἐκ τοῦ ἐχθρὸς ἐχθραίνω,
καὶ ἐχθήρω. ἐχθήρων, μισῶν. ἀποστρέ-
-φων βδελυσσόμενος.

Ἔχθιστος παρὰ τὸ ἔχθος.

Ἔχθιστος ὁ μισητός. ἐκ τοῦ ἐχθρὸς-

ἐτυμολογεῖται δὲ ἐκ τοῦ θορῶ. τὸ
πηδῶ. καὶ ἐκθορῶ. ὃ μέλλων ἐκθορήσω.
ἐκθορᾶς. καὶ συγκοπῇ ἐχθρός. ὃ ἔξω
ἡμῶν προσερχόμενος. ἢ παρὰ τὸ ἐχ-
θὺς γέγονεν ἐχθιστότερος τὸ συγκριτι-
κόν. τὸ ὑπερθετικὸν ἐχθρότατος.
καὶ ὃ δεύτερος τύπος ἔχθιστος.
Ἐχθὸς τὸ μῖσος. παρὰ τὸ ἀπόβλη-
τον καὶ ἐκτὸς ἡμῶν εἶναι. ψιλοῦται.
πᾶν φωνῆεν. πρὸ δασέως ψιλοῦται.
καὶ εἰς τὸ ἀπεχθής.
Ἐχθρός. παρὰ τὸ ἔξω ἡμῶν θορεῖν.
ἤγουν πηδᾶν καὶ εἶναι.
Ἐχθρός. πολεμίου καὶ δυσμένου διαφέ-
ρει. ἐχθρὸς μὲν ὁ ποτὲ τρότερον φί-
λος. πολέμιος δὲ ὃ δι' ὅπλων χωρῶν
πρὸς τὸν πέλας. δυσμενὴς δὲ, ὃ χρό-
νιον τὴν πρὸς τὸν ποτὲ φίλον ἔχ-
θραν διατηρῶν. καὶ δὺς δι' ἀλλ' ἔχων.
Ἔχιδνα. παρὰ τὸ ἔχις, ὃ σημαίνει
τὸν ὄφιν γέγονεν ἔχια. καὶ πλεονασ-
μῶ τοῦ συμφώνου γίνεται ἔχιδνα.
ἐν αὐτῇ τὸν ἰὸν ἔχουσα.

Ἔχυς. ὁ τῶν ἐχιδνῶν ἄρρην.

Ἔχυστος ὁ πλούσιος. τινὲς δὲ καὶ εἶδος ὄφεως.

Ἔχυνος τὸ ζῶον. παρὰ τὸ συνέχειν ἑαυτὸ στρογγυλούμενον. τὸ δὲ θαλάσσιον καθ' ὁμοιότητα τῶν ἀκανθῶν καὶ τῶν ὀρνίθων, κατὰ ποιότητα σχήματος. κακῶς δὲ Καλλίμαχος τῶν βοῶντας κοιλίας εἶπεν.

Ἔχματα. κωλύματα. οἱονεὶ ἐχέματα. ἐρείσματα. ἐφράγματα. στηρίγματα.

Ἐχῖνος. διὰ τοῦ ῑ. τῶ λόγω τῶν διὰ τοῦ ῑνος προπερισπωμένων. τὸ δὲ ἐχῖνος πολλὰ σημαίνει. τὸν θαλάσσιον ἐχῖνον καὶ τὸν χερσαῖον. τὸν λεγόμενον ἀκανθόχειρον. ἔστι δὲ καὶ εἶδος χυτρας. καὶ λέβητος. καὶ μέρος γαστρός. ἢ παρὰ τὸ ἔχειν πολὺν ἐχῖνον. ἢ παρὰ τὸ ἀνέχεσθαι πλησίον ἀλλήλων.

Ἐχῖνος χερσαῖον ζῶον. καὶ αἱ παροιμίαι. πολλὰ δ' ἀλωπηξ ἀλλ' ἐχῖνος ἓν μέγα εἴρηκεν.

παρὰ τὸ ἔχειν. ἐν γὰρ τὸ ἀλέξασθαι

τὸν ἐπερχόμενον συνκλούμενον. τὸ τῶν ἀκανθῶν περίβολον προβάλλεται ὡς ἔρυμα. καὶ χῖνος δὲ ἡ γαστήρ. ὅτι μάλιστα βοῶν θέουσιν ἐχῖνοι. καὶ αὐτοὶ δὲ παρὰ τὸ ἔχειν ἐν αὐτῇ τὴν τροφήν. καὶ ὁ λέβης ὁμοίως ἐχῖνος καλλικὴν ἔξονται δ' οὐχ ἵππον ἀέθλιον. ἡ μὲν ἐχῖνον βουδόκον ἀντὶ τοῦ λέβητα. τὸν δὲ θαλάσσιον ὁμοίως ἀπὸ τοῦ ἔχειν ἐν ἑαυτῷ ἀφαν τ̃ σαρκ̃ γ̃. ἢ ἐχῖνος κατ' ἀντίφρασιν ἀπὸ τοῦ δύνασθαι διὰ τὰς ἀκάνθας. ὃ ἐστὶν ἀκράτητος.

Ἔχις ὁ ὄφις. ὅτι μόνον τῶν ὄφεων μὴ ὠοφῆσα τίκτει καὶ παρ' ἑαυτῷ κατέχει. καὶ ζωοφορῆσα τίκτει οὐκ ὠόν. ἀλλὰ τέλεια τὰ ἑρπετά. ἀπὸ τοῦ κατέχειν ὄιω. ἔχις.

Ἐχίων. ὁ ὄφις. ἀπὸ τοῦ ἔχις. ἔχιος. ὁ ἐστιν εἶδος ὄφεως. γέγονε ἔχιον καὶ ἐς τὸ ἰζίων.

Ἐχόμενος. περιπατῶν ἥρα τ̃ χρηβάμην. εἰς τὸ χρῆμα.

Ἐχυρός. ὁ ἀσφαλής, παρὰ τὸ ἔχω. ἐχυρός. ὅθεν καὶ ἀνέχω. ἐνέχυρον.

Ἔχω. εἰς τὸ δυσκάθεκτον. καὶ ἐκεχείρια καὶ ἴχω. καὶ ὀχμάσας.

Ἐχυρόν παρὰ τὸ ἐχυρόν.

Ἔχω τὸ κρατῶ καὶ κατέχω. ἐξ οὗ ἔχειν.
τὸ κρατεῖν. καὶ ἔχετο ἀντὶ τοῦ ἐκρά-
-τει. ἔχω τὸ οἰκῶ ἐξ οὗ καὶ ἔχειν τὸ οἰκεῖν.
καὶ ἔχοντες οἱ οἰκοῦντες. ἔχω τὸ ἐλαύνω.
ἐξ οὗ καὶ ἔχειν τὸ ἐλαύνειν. καὶ εἴχετο
ὁμοίως. ἔχω τὸ φυλάσσω. καὶ φροντίζω
ἐξ οὗ καὶ ἔχου, μεταποίου. φρόντιζε.
μιμνήσκου. ἔχω τὸ γαμῶ. ἐξ οὗ καὶ ἔχει
τὸ γαμεῖν. καὶ ἔχετο ἐγαμεῖτο. ὡς καὶ
ἐχομένη γαμουμένη.

Ἐχόμενα. ἐπιρρήματος μεσότης. ἀντὶ
τοῦ παραπλησίως. ἐκ τοῦ ἔχω τὸ πλη-
-σιάζω. ἐχόμενα τρίβου σκάνδαλα.
Ἔχω σημαίνει τρία.

τὸ ε̄ μετα τοῦ ψ̄.

Ἐψήσω. ἔψηον. ἔψημα.

Ἐψεύσθησαν. πόθεν. ἀπὸ τοῦ ψεύθω. ψεύ-
-σω. ὡς νήθω. νήσω. ὁ παθητικὸς ἐνεστῶς.
ψεύθομαι. ἐψεύσμαι. ὁ παρακείμενος
παθητικός. ὁ ἀόριστος ἐψεύσθω. καὶ
τὸ τρίτον τῶν πληθυντικῶν ἐψεύσθησαν.
ὥσπερ ἐνέσθησαν.

Ἔψω. εἰς τὸ ἄψ. ψῶμισεν. ἐκ τοῦ ψωμίζω.

τοῦτο παρὰ τὸ ψῶ ψωμός. τοῦτο παρὰ τὸ ψῶ. τὸ κόπτω. εἰς μικρὰ κεκομένος ἄρτος.

Ἔψια τὰ ἀπολοῦ. ἔχοντα παίγνια. οἷον Ἰπιὰ καὶ Φιλέψιος. δαβυνομένη δὲ φιλοπαίγμων. ψιλουμένη δὲ φιλόλογος.

Ἕω. εἰς τὸ ἀνειμένος. καὶ ἄποινα. καὶ ἐανοῦ. καὶ ἔιαρ. καὶ εἶεν. εἵμασι καὶ ἔιματα. καὶ εἰμί καὶ εἶσι. καὶ ἐμπεδῶσαι. καὶ ἐννύω. καὶ ἔπεισι. καὶ ἐαθής. καὶ ἔτος. καὶ ἐτῶσιον. καὶ εὕρεκι. καὶ εὖρος καὶ ἐφεῖντο. καὶ ἑῶλον καὶ ἥμην. καὶ ἠΰς. καὶ ἵεναι. καὶ ἴντες. καὶ ἴφι. καὶ ἰών. καὶ κεῖσθαι καὶ λευχείματος. καὶ μετοπὴ. καὶ νεανικόν. καὶ περιπέβια. καὶ τελεῖ.

Ἑῶκει. ὁμοίως ἦν. ῥῆμα. ὑπερβυντέλικος. ὁ παρακείμενος ἔοικα. βημαίνει τρία. ὁ ὑπερβυντέλικος ὤφειλεν ἤοικειν. ἀλλ' οὐδέποτε λέξις ἑλληνικὴ ἀπὸ τοῦ η ἀρχομένη ἐπιφέρεται τὸ ο χωρὶς εἰ μὴ ἐν διφθόγγω. εἴη κατὰ διάλεκτον. ἢ οὖς δὴ καὶ μᾶλλον. οὕτως οἶω καὶ τὸ ἑώρταβον ἐγένετο. ἢ ἔσωθεν μακρόν — ἢ ἔξωθεν βραχύ. ὅμως καὶ

τό ἐώλπειν καί τό ἐώργειν.

Ἔωλος. ὁ χθεσινός. ἐκ τοῦ ἕω. ὅ σημαίνει τήν ἡμέραν. καί τό λύω. ὁ ὑπό πολλῶν ἡμέρων λυθείς.

Ἔωλον. τό χθεσινόν. παρά τό ἕω. ῥῆμα ὅ σημαίνει τό περιπατῶ.

Ἔωλον ἀργόν. ἄπρακτον. χθεσινόν ἀκάθαρ:τον. ἐωλοκρασία.

Ἐωλοκρασία. ἡ χθεσινή μέθη. ὅταν συμ:ποσίω πινόντων ἀνδρῶν καί καθευδόντων ἐνίων ἄλλοι τήν τρυγίαν παρέχουσιν. ἔθος ἦν τοῖς νέοις δειπνοῦσι καί νυκτερεύ:ουσι καταχεῖν τῶν κοιμωμένων τῶν ἐώλων δείπνων τοὺς ζωμοὺς πρός τήν τοιαύτην παιδίαν. τετραμμένοι. ἐγώ δὲ μᾶλλον νομίζω πεποιεῖσθαι τό ὄνομα. ὑπό τοῦ ῥήτορος. ἀπό τῶν ἐώλων. ἅ ἐστιν ἀρχαῖα. ὅτι τά πράγματα τά ἀρ:χαῖα. συγκεράσας κατηγόρει ὁ Αἰσχίνης. ἡ ὀωλοκρασία. ἡ χθεσινή μέθη. ἔωλον γάρ τό χθεσινόν. παρά τήν ἕω ἐλλάθεσθαι. ἡ ἔωλον τό λιτόν. ἡ τό μή πρόσφατον. ἀλλά χθεσινόν. παρά τό ἕω. ὅ σημαί:νει τό περιπατῶ.

Ἕων. εἰς τὸ ἢ τοιόσδε.

Ἕων. ὑπῆρχον. μετοχὴ. ἀορίστου δευτέρου. διότι οὐδέποτε μετοχὴ ἐνεστῶτος ὀξύνε:ται. πλὴν τοῦ ἑκῶν. καὶ οὐδέποτε μετοχὴ δευτέρου ἀορίστου βαρύνεται. πλὴν τοῦ πέφνων. ὥστε τὸ ἑῶν δευτέρου ἀορίστου ἐστίν.

Ἕως. εἰς τὸ ἥλιος. καὶ ἠώς.

Ἑωσφόρος. ἑῶας φόρος. διὰ τὸ ἐκ τῆς ἑῶας φέρεσθαι. ὁ ἀνατολικὸς ἀστὴρ. ὁ πρωϊνός. ὁ τὴν ἑῶαν φέρων. ὁ αὐτὸς καὶ φωσφό:ρος. καλεῖται.

Ἕως. εἰς τὸ ἥλιος. ἕως οὗ ἐπιστρέψῃ ὑποτακτικὸν τὸ ἕως. ἐπίρρημα ἀνα:φορικὸν μετὰ τῆς οὗ ἀρνήσεως εὑρισκό:μενον. ὑποτάσσει.

Ἕολος κύριον. καὶ αἴολος. ὁ ποικίλος.

Ἕω τὸ καθέζομαι. ζητ' εἰς τὸ ἕ-τοῦ.